373

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ΠΥΘΑ

Ο ΔΩΡΙ

ΒΙΒΛΙΟΘΗΚΗ ΜΟΥΣΕΙΟΝ ΗΓΕΜΟΝΙΑΣ ΣΑΜΟΥ
1537

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΟΛΟΓΙΟΝ

## ΤΟ ΜΕΓΑ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

'Α

ΠΥΘ

ο ἰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ευχολόγιον Μέγα. [illegible]

οἱ Ἐθνικοί ·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου




# ΕΥΧΟΛΟΓΙΟΝ

## ΤΟ ΜΕΓΑ

ΠΕΡΙΕΧΟΝ ΣΥΝ ΘΕΩ ΑΓΙΩ

ΤΑΣ ΤΩΝ ΕΠΤΑ ΜΥΣΤΗΡΙΩΝ ΑΚΟΛΟΥΘΙΑΣ.
ΤΑΣ ΤΑΞΕΙΣ ΤΩΝ ΧΕΙΡΟΤΟΝΕΙΩΝ, ΚΑΤΑ ΤΗΝ ΕΝ ΤΩ ΑΡΧΙΕΡΑΤΙΚΩ ΕΡΜΗΝΕΙΑΝ·
ΤΩΝ ΕΓΚΑΙΝΙΩΝ ΤΟΥ ΝΑΟΥ ΤΗΝ ΑΚΟΛΟΥΘΙΑΝ, ΚΑΤΑ ΤΗΝ ΕΝ ΒΟΥΚΟΥΡΕΣΤΙΩ ΕΚΔΟΣΙΝ·
ΤΑΣ ΤΕ, ΑΛΛΑΣ ΑΚΟΛΟΥΘΙΑΣ ΚΑΙ ΕΥΧΑΣ,
ΚΑΙ ΤΑ ΑΠΟΣΤΟΛΟΕΥΑΓΓΕΛΑ ΤΩΝ ΕΠΙΣΗΜΟΤΕΡΩΝ ΕΟΡΤΩΝ·

ΕΞ ΑΡΧΑΙΩΝ ΕΚΔΟΣΕΩΝ ΚΑΙ ΧΕΙΡΟΓΡΑΦΩΝ
ΔΙΟΡΘΩΘΕΝ ΚΑΙ ΕΞΑΚΡΙΒΩΘΕΝ

ΣΠΟΥΔΗ ΚΑΙ ΕΠΙΣΤΑΣΙΑ
ΙΩΑΝΝΟΥ ΤΕ ΚΑΙ ΣΠΥΡΙΔΩΝΟΣ ΤΩΝ ΑΥΤΑΔΕΛΦΩΝ ΒΕΛΟΥΔΩΝ.

**ΕΚΔΟΣΙΣ ΤΡΙΤΗ,**

ἐπιμελῶς ὑπὸ τῶν αὐτῶν ἀναθεωρηθεῖσα.

γνοι...

ΕΝ ΒΕΝΕΤΙΑ
...τοῦ ...ΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΟΥ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ.
...ιστάνη τοῦ ἰδίου Τυπογραφείου.
1865

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΧΩΡΑΣ · ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΓΥΜΝΑΣΙΟΝ ΣΑΜΟΥ · ΠΥΘΑΓΟΡΕΙΟΝ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΠΡΟΣ ΤΟΥΣ

# ΟΡΘΟΔΟΞΟΥΣ ΧΡΙΣΤΙΑΝΟΥΣ.

Μετὰ τὴν ἐσχάτως γενομένην ἔκδοσιν τῶν τῇ καθ' ἡμᾶς Ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ἀναγκαιοτέρων ἱερῶν Βίβλων, πρὸ πάντων δὲ τῶν Μηναίων, ὧν ἡ ἐξακρίβωσις ἐφιλοπονήθη παρὰ τοῦ ἀοιδίμου Διδασκάλου Βαρθολομαίου Κουτλουμουσιανοῦ, (*) μόνον σχεδὸν ἐκ τῶν ἱερῶν ἐκείνων τευχῶν ἡ τοῦ Εὐχολογίου ἐξέλειπεν ἀνατύπωσις. Καὶ ἦν μὲν εὐκταῖον, καὶ ὄντως ἐπωφελὲς, μετὰ παρέλευσιν μάλιστα δώδεκα περίπου ἐτῶν, τύποις ἐκδοθῆναι καὶ τοῦτο τὸ πατροπαράδοτον κειμήλιον τῶν θείων τῆς Ὀρθοδόξου ἡμῶν Ἀνατολικῆς Ἐκκλησίας τελετῶν, καὶ ἀχώριστον τῶν Ἱ[illegible]έων συνέκδημον.

Κα[illegible] τὸ μὲν τῆς Βίβλου δυσεύρετον γνόντες οἱ διευθυνταὶ τοῦ ἐπ' ὀνόματι τοῦ ἁγίου Γεωργίου ἀρτισυστάτου ἐνταῦθα Ἑλληνικοῦ Τυπογραφείου, βουλόμενοι δὲ ἔκδοσιν αὐτῆς παρασκευάσαι, οὐ μόνον χαρακτήρων μεγέθει καὶ καλλονῇ τῶν ἄλλων ἁπασῶν ὑπερέχουσαν, ἀλλὰ (τὸ κράτιστον) ὅση δύναμις, διωρθωμένην, προέτρεψάν με εἰς τὴν περὶ τὴν τύπωσιν ἐπιστασίαν. Καὶ δὴ καὶ τὴν πρόσκλησιν ἀπεδεξάμην. Ἀλλ' ἔστι πρὸ πολλοῦ τοῖς πᾶσι δῆλον καὶ φανερὸν, ὅτι εἰς τὰ ἀνέκαθεν καὶ ἐφεξῆς τετυπωμένα ἱερὰ τῆς [illegible]κλησιαστικῆς ἡμῶν Ἀκολουθίας Βιβλία εἰσεῤῥύησαν κατ' ἄγνοια[illegible]αδρομὴν, ἔστι δ' ὅπου καὶ κατὰ γνώμην αὐθάδη καὶ τολμηρὰν

[illegible] τούτων δευτέρα Ἔκδοσις ἀνεφάνη, ἐπιστασίᾳ ἡμετέρᾳ, τῷ 1852 [illegible]πογραφείου τοῦ Ἁγίου Γεωργίου· ἥτις καὶ βεβαίως ἀπέβη [illegible] πληρεστέρα τῆς πρώτης, ἕνεκα τῶν πολλῶν ἐπιδιορ[illegible]ηθεὶς Βαρθολομαῖος α[illegible]έστειλεν ἡμῖν ἐκ τοῦ ἁγίου [illegible]ολόγῳ προτεθείσης Ἐπιστολῆς τῶν Πανο[illegible] τῆς Ἱερᾶς Μονῆς τοῦ Κουτλουμούση.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἀμαθεστάτων διορθωτῶν, παχυλὰ καὶ περίτρανα σφάλματα· ἐξ ὧν πολλάκις τὸ ἀκραιφνὲς καὶ γνήσιον τοῦ θεσπεσίου κειμένου, καὶ τὸ περὶ τὸν λόγον εὐφραδὲς ἐκεῖνο καὶ εὔρυθμον τῶν θεοπνεύστων Ἀσμάτων ἐν οὐκ ὀλίγοις ἠλλοίωται καὶ παραμεμόρφωται. Ὅθεν, γνωρίσας κἀγὼ τὴν καὶ τοῦ Μεγάλου Εὐχολογίου πολλαχοῦ παρεισπεσοῦσαν τοιαύτην ἀλλοίωσιν καὶ διαφθορὰν, πρόσθες καὶ τὴν διὰ τοῦτο δικαιοτάτην τῶν Ἱερέων δυσφορίαν, ἐπορισάμην, πρὶν ἢ ἅψασθαι τοῦ ἔργου, τὰς παλαιοτέρας ἐκείνου ἐκδόσεις· ὥστε, διὰ τῆς πρὸς ταύτας ἐπιμελοῦς παραβολῆς τῶν ἐμπεριεχομένων, διακρῖναι τὴν ἀλήθειαν, κἀντεῦθεν ἐπανορθῶσαι, ὅσον τὸ ἐφ' ἡμῖν, τὰ προφανέστερα σφάλματα.

Πρώτιστον δὲ παντὸς ἄλλου, λέγομεν ὀλίγα τινὰ περὶ τῶν Ἐνετίῃσι κατὰ καιροὺς γενομένων ἐκδόσεων τοῦ Εὐχολογίου. Ἐτυπώθη (τὸ πρῶτον, ὡς οἶμαι) κατὰ τὸ 1526. Ὕστερον δὲ ἐξεδόθη τῷ 1544 καὶ 1545, ἴσως ὑπὸ Ἀνδρέου τοῦ Κουνάδου, τὴν πατρίδα Πελοποννησίου· οὗτινος δαπάνῃ καὶ τύποις πλεῖστα ἐξεδόθησαν Ἐκκλησιαστικά τε καὶ ἄλλα, ἐξ ὧν καὶ τὸ σπανιώτατον Τυπικὸν (1544). Τῷ δὲ 1550, 1553, 1558 καὶ 1560 ἐξέδωκε Χριστοφόρος ὁ Ζανέττης· καὶ τῷ 1566 Ἀνδρέας Ἰουλιανός. Ἀκολούθως δὲ πολλάκις ἀνετυπώθη, οἷον τῷ 1570, 1571, 1580, 1600, 1602, 1616. Ὡσαύτως ἐξεδόθη τῷ 1649 ὑπὸ Ἀντωνίου τοῦ Πινέλλου, διορθώσει Νικηφόρου Ἱερομονάχου τοῦ Πασχαλέως. Ἀλλὰ καὶ τῷ 1622, ἐπιστατήσαντος Θεοφυλάκτου Ἱερομονάχου τοῦ Τζανφουρνάρου, παρ' οὗ καί τινες Εὐχαὶ προσετέθησαν, ὡς αὐτὸς οὗτος μαρτυρεῖ. Τῷ δὲ 1625, 1629, 1638, καὶ 1642 ὑπό τε Ἀντωνίου καὶ Ἰωάννου Πέτρου τῶν Πινέλλων· καὶ τέλος τῷ 1720 —. Ἐκ δὲ τῶν ἡμετέρων Τυπογράφων, ὁ ἀείμνηστος Νικόλαος ὁ Γλυκὺς ἐξέδωκε τῷ 1691, διορθώσει Ἰωάννου Γεροδιακόνου Ἀβραμίου, τοῦ Κρητός· καὶ ἑξῆς πολλάκις. Νικόλαος δὲ ὁ Σάρος τῷ 1740 ἀνετύπωσε, διορθωθὲν ὑπὸ Ἀλεξάνδρου Καγκελλαρίου. Τῷ δὲ 1777 καὶ 1811 ἐκδοθὲν εὕρομεν ὑπὸ Δημητρίου, καὶ Πάνου Θεοδοσίου· ὧν ἡ πρώτη καὶ πασῶν τῶν εἰρημένων ἡ καλλίστη. Ἐξέδωκε τέλος, τῷ 1839, καὶ Φραγκῖσκος ὁ Ἀνδρεώλας, δαπάνῃ τοῦ φιλογενοῦς Γεωργίου τοῦ Διαμαντίδου —. Ἀλλὰ καὶ τῷ 1799 ἐξεδόθη εἰς 8.ον μέγα ἐν Κωνσταντινουπόλει ὑπὸ τοῦ ἀοιδίμου Διδασκάλου Νικο[illegible] Ἁγιορείτου· τῷ δὲ 1803 ἀνετυπώθη ἐν τῷ ἐκεῖσε τοῦ Πατ[illegible]πογραφείῳ. Παραλείπομεν τὴν ἐν Παρισίοις τῷ 1645 [illegible] λατινιστὶ ἔκδοσιν, περὶ ἧς οὐκ ἔστιν εἰπεῖν· μᾶλλον δὲ [illegible] ὅτι τὸ Εὐχολόγιον Ῥωσσιστὶ μετέφρασεν ὁ ἀοίδι[illegible] Μητροπολίτης Κιαιβίας καὶ Ἔξαρχος τοῦ [illegible] ἐτύπωσεν ἐν τῇ τῆς Κιαιβίας Μονῇ τῷ 16[illegible]



Τούτων οὖν τῶν ἐκδόσεων τὰς ἀρίστας πρὸ ὀφθαλμῶν ἔχοντες, ἠρξάμεθα τῆς διορθώσεως· καὶ τινων μὲν λέξεων τὸ ἐπισφαλὲς καὶ ἠλλοιωμένον ἐθεραπεύσαμεν, τινῶν δὲ καὶ τὴν ὁλοτελῆ ἔλλειψιν ἀνεπληρώσαμεν. Πλὴν, καὶ ἄλλα οὐκ ὀλίγα εἰσέτι ἔμενον, ἔνθα μὲν τὴν σύνταξιν διαφθείροντα, ἔνθα δὲ καὶ τὴν ἔννοιαν, τὰ πολλὰ δὲ καὶ τῶν Κανόνων τὴν μελῳδίαν παρατρέποντα· καθότι αἱ τῶν Ἐκκλησιαστικῶν μάλιστα Βιβλίων ἐκδόσεις, καίτοι ἐκ τῶν παλαιοτέρων, ἐμπορίας χάριν, ὡς ἐπὶ τὸ πλεῖστον, γενόμεναι, ἑπομένως δὲ συνεχῶς τε καὶ ἀπαραλλάκτως ἀνατυπωθεῖσαι, ταὐτὰ σφάλματα πάντως ἔχουσι πᾶσαι, καὶ τὰς αὐτὰς σχεδὸν παραδρομάς. Ὅθεν, πρὸς ἐξακρίβωσιν τῶν τοιούτων, ἠναγκάσθημεν τά τε διεφθαρμένα παραβαλεῖν, καὶ τὰ ἐλλείποντα ἀναπληρῶσαι πρὸς τὰ ἐν τῇ τοῦ Ἁγίου Μάρκου Βιβλιοθήκῃ σῳζόμενα Χειρόγραφα τοῦ ιε'. καὶ ιϛ'. αἰῶνος, περιέχοντα, πρὸς τοῖς ἄλλοις, καὶ τὰς Νεκρωσίμους Ἀκολουθίας· ἐξαιρέτως δὲ πρὸς ἐπίσημον τοῦ Εὐχολογίου Κώδημα τοῦ ΙΔ'. αἰῶνος, καὶ τοῦτον δὲ, σὺν ἑτέροις πολλοῖς τε καὶ πολυτίμοις, λάφυρον νικητῶν, τῶν εἰς τοὺς αἰδεσιμωτέρους καὶ ἁγιωτέρους τῆς Ἀνατολῆς τόπους εἰσχωρησάντων, ὅπου ἀκέραια ἐτηροῦντο καὶ ἀλώβητα τὰ ἱερὰ τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας τεύχη (*).

Οὐ τοίνυν τὴν κατὰ τὸ δοκοῦν ἐξουσίαν ἐσφετερισάμεθα τοῦ μεταπλάττειν, μᾶλλον δὲ νοθεύειν τοῦ κειμένου τὴν γνησιότητα (οὗπερ οὐδέν ἐστιν αὐθαδέστερον καὶ καταγνωστότερον), ἀλλ' αὐτὰ βάσιν ἔσχομεν καὶ ὁδηγὸν, τὰ προῤῥηθέντα χειρόγραφα· ἐξ ὧν, μετὰ λιπαρᾶς καὶ εὐσεβοῦς ἐπιμελείας ἡμῶν ἀντιβαλόντων, καὶ τὰ προφανέστατα τῶν ἁμαρτημάτων ἐπανορθωσάντων κατά τε τὴν λέξιν, καὶ τὴν σύνταξιν, καὶ τὸν ῥυθμὸν, ἄλλα τε, καὶ τὰ περὶ στίξιν καὶ ὀρθογραφίαν, εἰς τὴν ἀρχαίαν καλλονὴν καὶ ἀκεραιότητα τὸ κείμενον, ὡς ἐφικτὸν, ἐπανήχθη. Περὶ δὲ τυπικῆς διατάξεως, ἢ καὶ ἀναγνωσμάτων οὐσιωδῶν, εἴπου εὑρέθησαν παραλλαγαὶ (τὰ γὰρ χειρόγραφα πρὸς τὰ ἐκδεδομένα πολλάκις πολλαχοῦ διέστηκε), ταύτας μόνον πρὸς τῇ ᾤᾳ τῆς σελίδος ὑπετάξαμεν, μηδὲν ἐγκαταχωρίσαι τολμήσαντες. Τῶν δ' ἄλλων, ἐπεὶ τινὰ μὲν πλείω, ἢ τῶν τετυπωμένων ἐνίοτε ἀπαντῶνται, τινὰ δὲ καὶ ἐλάττω, ἢ καὶ διαφόρως ὁπωσοῦν

(*) [illegible] λόγος, χειρόγραφον Εὐχολόγιον ἦν ποτε κτῆμα τῆς ἐν τῷ [illegible]ᾶς Μονῆς τῆς Ἁγίας Σπηλιοτίσσας, ὡς ἐκ τῆς ἐν τῷ [illegible]ως δῆλον. Ἔστι δὲ εἰς χάρτην· σύγκειται δ' ἐκ φύλλων [illegible]σου· κομψῶς τε ἅμα καὶ εὐκρινῶς γεγραμμένον, φέρον [illegible] ἐπιγραφὰς καὶ τὸ τυπικόν. Καὶ Πίνακα μὲν ἔχει [illegible]ῆς σελίδος τοῦ ὀγδόου φύλλου, ὑστέρᾳ χειρὶ ἐ[illegible]ονάχου τοῦ Καλαματιανοῦ.

Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἔχοντα, παρελίπομεν τὴν ὑπόμνησιν, εἰδότες, ὅτι ἡ τῶν Ἱερῶν Βίβλων διόρθωσίς τε καὶ μεταῤῥύθμισις, μᾶλλον δὲ τοῦ τοσαύτην ὕλην ἐμπερικλείοντος Εὐχολογίου, οὐχ ἡμέτερον, ἀλλὰ μόνον τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας ἔργον.

Ἐπὶ τούτοις δὲ, ἡ τοῦ Μεγάλου Ἁγιασμοῦ Ἀκολουθία ἐκ τοῦ Μηναίου, πρὸς τὸ σύμφωνον, ἐτυπώθη· ὡσαύτως ἐκ τοῦ Πεντηκοσταρίου ἡ τῆς Γονυκλισίας Ἀκολουθία, καὶ ἐκ τοῦ Ὡρολογίου ὁ Παρακλητικὸς τῆς Θεοτόκου Κανών. Ἐν δὲ τῷ τέλει καὶ Πίνακα προσεθήκαμεν εὐμεθόδως πως ἀναταχθέντα, ὅπως ἔχοιεν οἱ μεταχειριζόμενοι τὰ παρ' αὐτῶν ζητούμενα ῥᾳδίως εὑρεῖν.

Οὕτω, τέλος, τῶν πολλῶν σφαλμάτων ἐκκαθαρθεῖσα, καὶ, τὸ κατὰ δύναμιν, ἐξακριβωθεῖσα, ἡ παροῦσα Ἱερὰ Βίβλος ἀνατετύπωται· οὐ μέν τοι ἀκριβής τε κατὰ πάντα καὶ ἀνελλιπὴς, ἀλλ' οὖν ἁπασῶν τῶν προτέρων ἐκδόσεων ἡ ἐπιμελεστέρα τε καὶ ὀρθοτέρα.

Ἐνετίῃσι, τῇ $\frac{α'}{13}$ Νοεμβρίου, αων'.

Ἰωάννης ὁ Βελούδης.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΔΙΑΤΑΞΙΣ

## ΤΗΣ ΙΕΡΟΔΙΑΚΟΝΙΑΣ,

ΗΤΟΙ

### Πῶς ὑπηρετεῖ ὁ Διάκονος μετὰ τοῦ Ἱερέως, ἔν τε τῷ Μεγάλῳ Ἑσπερινῷ, τῷ Ὄρθρῳ τε, καὶ τῇ Λειτουργίᾳ·

ΣΥΝΤΕΘΕΙΣΑ ΠΑΡΑ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ, ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ ΦΙΛΟΘΕΟΥ.

Ἰστέον, ὅτι ὁ Διάκονος οὐδέποτε ἄλλοτε ἐνδύεται ἐν τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ, εἰμὴ ἐν τοῖς Ἑσπερινοῖς τῶν Σαββάτων, καὶ τοῖς Ὄρθροις τῶν Κυριακῶν τοῦ ὅλου ἐνιαυτοῦ. Ὁμοίως ἐν τοῖς Ἑσπερινοῖς, καὶ τοῖς Ὄρθροις τῶν Δεσποτικῶν Ἑορτῶν, καὶ Θεομητορικῶν. Ὡσαύτως ἐνδύεται καὶ ἐν [illegible]σπερινοῖς, καὶ ταῖς Προηγιασμέναις τῆς ἁγίας καὶ με[illegible]αρακοστῆς· καὶ ἐν τῇ Ἑορτῇ τοῦ Εὐαγγελισμοῦ, [illegible]νίᾳ τῶν ἁγίων Παθῶν, καὶ ἁπαξαπλῶς, εἰς [illegible]ινοὺς τοὺς ἔχοντας Εἴσοδον. Ὁμοίως καὶ [illegible]οὓς ψάλλεται μεγάλη Δοξολογία, καὶ [illegible]ίας τοῦ ὅλου ἐνιαυτοῦ, εἴπερ βουλη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΔΙΑΤΑΞΙΣ ΤΗΣ ΑΓΡΥΠΝΙΑΣ.

Τοῦ καιροῦ ἐπιστάντος, τοῦ Μεγάλου Ἑσπερινοῦ δηλονότι, ἀπέρχεται ὁ Ἱερεὺς σὺν τῷ Διακόνῳ, καὶ ποιοῦσι Μετανοίας γ΄. εἰς τὴν Εἰκόνα τοῦ Δεσπότου Χριστοῦ, πάντων τῶν Ἀδελφῶν καθημένων· ὁμοίως ποιοῦσι καὶ εἰς τὴν τῆς Θεοτόκου Εἰκόνα Μετανοίας γ΄., εἰς τὴν μέσην μίαν, καὶ εἰς τοὺς Χοροὺς πρὸς μίαν. Εἶτα εἰσέρχονται εἰς τὸ Ἱερατεῖον. Καὶ λαβὼν τὸ Στοιχάριον αὐτοῦ ὁ Διάκονος, καὶ τὸ Ὡράριον, καὶ προσκυνήσας κατὰ ἀνατολὰς γ΄., προσέρχεται τῷ Ἱερεῖ, καὶ φησιν· **Εὐλόγησον, Δέσποτα, τὸ Στοιχάριον σὺν τῷ Ὡραρίῳ.** Καὶ ὁ Ἱερεὺς εὐλογεῖ αὐτὰ, λέγων· **Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.** Εἶτα ἐνδύεται ἑκάτερος τὰς οἰκείας στολάς. Τοῦτο νῦν οὐχ οὕτω γίνεται, ἀλλ' ὁ Ἱερεὺς μόνος προσκυνεῖ, καὶ μόνος ἐνδύεται Ἐπιτραχήλιον, καὶ Φελόνιον, καὶ ἄρχεται θυμιᾷν, Ἀναγνώςου, ἢ Εὐταξίου τὴν λαμπάδα κατέχοντος, καὶ τὸ, **Κελεύσατε,** ἐκφωνήσαντος. Καὶ προπορευομένου αὐτοῦ μετὰ λαμπάδος, θυμιᾷ ὁ Ἱερεὺς τὸν Ναὸν ἅπαντα, ὡς σύνηθες, ἐκ τῶν θυρῶν ἐξερχόμενος· καὶ ἐκφωνήσαντος τοῦ Εὐταξίου ἔμπροσθεν τῶν ἁγίων Θυρῶν τὸ, **Κελεύσατε,** πάντες ἀνίστανται. Θυμιάσας δὲ ὁ Ἱερεὺς τὸν Ναὸν ἅπαντα, ἐξέρχεται καὶ εἰς τὸν Νάρθηκα· καὶ θυμιάσας κἀκεῖσε, εἰσέρχεται διὰ τῶν ὡραίων Πυλῶν, καὶ ἐκφωνεῖ μετὰ μέλους τὸ, **Κύριε εὐλόγησον.** Καὶ θυμιάσας πάλιν τὰς ἁγίας Εἰκόνας, εἰσέρχεται διὰ τῶν ἁγίων Θυρῶν, καὶ θυμιῶν τὴν ἁγίαν Τράπεζαν, ἐκφωνεῖ· **Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.** Καὶ μετὰ τὸ, **Ἀμὴν,** ὁ Προεστὼς, ἢ ὁ ταχθεὶς Μοναχὸς, ψάλλει τὸν Προοιμιακόν. Ὁ δὲ Ἱερεὺς κλείσας τὰ ἅγια Θύρια, ἵσταται ἐντὸς τοῦ ἁγίου Βήματος. Ὅταν δὲ ἄρξωνται ψάλλειν τὸ, **Ἀνοίξαντός σου τὴν χεῖρα,** ἐξέρχεται μετὰ τοῦ Κανονάρχου, καὶ ποιοῦσι μετάνοιαν εἰς τὴν μέσην μίαν, καὶ οὕτως ἀπέρχεται ὁ Ἱερεὺς εἰς τὸν ἴδιον τόπον· ὁ δὲ Κανονάρχης λέγει τοὺς Στίχους, ἱστάμενος ἐν τῷ μέσῳ τοῦ Νάρθηκος. Ὅταν δὲ

ψάλλωσι τὸ, **Πάντα ἐν σοφίᾳ ἐποίησας**, ἀπέρχεται ὁ Ἱερεὺς, καὶ λέγει τὰς εὐχὰς τοῦ Λυχνικοῦ, ἱστάμενος ἀσκεπὴς ἔμπροσθεν τῶν ἁγίων Θυρῶν· καὶ μετὰ τὴν συμπλήρωσιν, λέγει τὴν μεγάλην Συναπτήν. Ὁ δὲ Διάκονος ἐνδύεται εἰς τὸ γ'. Ἀντίφωνον τοῦ Ψαλτηρίυ, καὶ λέγει τὴν μικρὰν Συναπτήν· εἰδὲ μὴ ἔστι Στιχολογία, ἐνδύεται, τοῦ Προοιμιακοῦ λεγομένυ, καὶ λέγει τὴν μεγάλην Συναπτήν· Ταῦτα μὲν οὕτω γίνεται, Ἀγρυπνίας οὔσης· εἰδὲ μὴ ἔστιν Ἀγρυπνία, οὐδὲν τοιοῦτο γίνεται· οὔτε μετανοίας ποιοῦσιν, οὔτε θυμιᾷ πρῶτον ὁ Ἱερεὺς, οὔτε τὰ ἅγια Θύρια ἀνοίγονται· ἀλλ' ἱστάμενος ἔμπροσθεν τῶν ἁγίων Θυρῶν ἀσκεπὴς, ἐνδεδυμένος Ἐπιτραχήλιον, ἐκφωνεῖ, τὸ, **Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων**. Καὶ ὁ Προεστὼς, ἢ ὁ ταχθεὶς Μοναχὸς, λέγει τὸν Προοιμιακὸν Ψαλμὸν, χύμα· καὶ λέγει ὁ Ἱερεὺς τὰς Εὐχὰς τοῦ Λυχνικοῦ. Μετὰ δὲ τὴν συμπλήρωσιν, λέγει ὁ Ἱερεὺς, ἢ ὁ Διάκονος, ἱστάμενος ἐν τῷ συνήθει τόπῳ, τὴν μεγάλην Συναπτὴν, τὸ, **Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν**· καὶ τὰ λοιπά. Ἰςέον, ὅτι τὰ ἅγια Θύρια οὐδέποτε ἀνοίγονται, εἰμὴ εἰς τὴν ἀρχὴν τοῦ μεγάλου Ἑσπερινοῦ, ὅτε θυμιᾷ μόνον ὁ Ἱερεὺς, εἰς τὰς Εἰσόδους πάσας, ἤγουν τῶν Ἑσπερινῶν, τῆς Λειτουργίας, καὶ τοῦ ἁγίου Εὐαγγελίου. Ὡσαύτως ἀνοίγεται καὶ ἀπὸ τοῦ, **Οἱ Κατηχούμενοι προέλθετε**, μέχρι συμπληρώσεως τῆς θείας Λειτουργίας. Ἰςέον ὅτι, εἰμὴ φορέσῃ ὁ Διάκονος εἰς τὴν ἀρχὴν τοῦ Ἑσπερινοῦ, ἐνδύεται ψαλλομένου τοῦ γ'. Ἀντιφώνου τοῦ Ψαλτηρίου, εἰ ἔςι Στιχολογία· εἰ δὲ μὴ, τοῦ Προοιμιακοῦ ψαλλομένου, ὡς εἴρηται· ἐνδύεται δὲ οὕτω. Ποιεῖ μετάνοιαν τῷ Προεστῶτι, καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ ἅγιον Βῆμα, ἔνθα εὑρίσκει τὸν Ἱερέα ἱστάμενον· προέρχεται γὰρ οὗτος. Καὶ λαβὼν τὸ Στοιχάριον αὐτοῦ ὁ Διάκονος, προσέρχεται τῷ Ἱερεῖ, καί φησιν· **Εὐλόγησον, Δέσποτα, τὸ Στοιχάριον σὺν τῷ Ὠραρίῳ**. Ὁ δὲ Ἱερεὺς εὐλογεῖ αὐτὰ, λέγων· **Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τους αἰῶνας τῶν αἰώνων**. Καὶ οὕτως ἐνδυσάμενος αὐτὰ ὁ Διάκονος, πληρωθείσης τῆς Στιχολογίας, ἐξέρχεται, καὶ ἵσταται ἐν τῷ συνήθει τόπῳ, καὶ λέγει τὴν μικρὰν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Συναπτήν, τό, **Ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν·** καὶ τὰ λοιπά· καὶ ἐκφωνεῖ ὁ Ἱερεύς· **Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.** Καὶ οὕτω ψάλλεται τὸ, **Κύριε ἐκέκραξα·** οὗ ψαλλομένου, λαβὼν ὁ Διάκονος τὸν Θυμιατὸν, καὶ Θυμίαμα βαλὼν, πρόσεισι τῷ Ἱερεῖ, ἐντὸς ὄντι καὶ αὐτῷ τοῦ ἁγίου Βήματος, καὶ φησιν· **Εὐλόγησον, Δέσποτα, τὸ Θυμίαμα.** Καὶ ὁ Ἱερεὺς εὐλογεῖ αὐτὸ, λέγων· **Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.** Καὶ θυμιᾷ ὁ Διάκονος τό,τε Ἱερατεῖον, καὶ τὸν Ναὸν ἅπαντα· καὶ ὑποστρέψας, τίθησι τὸν Θυμιατὸν, καὶ περιμένει ἐκεῖσε. Ὅταν δὲ ψάλλωσι τὸ, **Δόξα, καὶ νῦν,** εἰσέρχεται ὁ Ἱερεὺς, καὶ ἐνδύεται Ἐπιτραχήλιον, καὶ Φελόνιον, καὶ γίνεται Εἴσοδος· ὅτε, λαβὼν ὁ Διάκονος τὸν Θυμιατὸν, καὶ Θυμίαμα βαλὼν, καὶ αἰτήσας εὐλογίαν, ὡς εἴπομεν, ἐξέρχεται ἅμα τῷ Ἱερεῖ διὰ τοῦ βορείου κλίτους· καὶ ἀνοιγομένων τῶν ἁγίων Θυρῶν, καὶ προπορευομένων Ἀναγνωστῶν δύω μετὰ λαμπάδων, καὶ μετ' αὐτοὺς τοῦ Διακόνου μετὰ τοῦ Θυμιατοῦ, ἐξέρχεται ὄπισθεν καὶ ὁ Ἱερεὺς, κεχαλασμένον ἔχων τὸ Φελόνιον, καὶ ἀπέρχονται εἰς τὸν συνήθη τόπον· ἔνθα οἱ μὲν Ἀναγνῶσται τιθέασι τὰ Μανουάλια εἰς τὸ μέσον τοῦ Ναοῦ παρ' ἑκάτερα τὰ μέρη· ὁ δὲ Ἱερεὺς ἵσταται καταντικρὺ τῶν ἁγίων Θυρῶν· ἵσταται δὲ καὶ ὁ Διάκονος ἐκ δεξιῶν τοῦ Ἱερέως μικρὸν ἐκ πλαγίου· καὶ κύψας μικρὸν, κρατῶν καὶ τὸ Ὡράριον αὐτοῦ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς, λέγει μυστικῶς, ὅσον μόνον ἀκούειν τὸν Ἱερέα· **Τοῦ Κυρίου δεηθῶμεν.** Ὁ δὲ Ἱερεὺς λέγει μυστικῶς τὴν Εὐχὴν ταύτην· **Ἑσπέρας, καὶ πρωῒ, καὶ μεσημβρίας,** κτλ. καὶ μετὰ τὴν Εὐχὴν, ἀνίστανται, καὶ λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα, δεικνύων ἅμα καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ Ὡραρίου, κρατῶν αὐτὸ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός· **Εὐλόγησον, Δέσποτα, τὴν ἁγίαν Εἴσοδον·** καὶ ὁ Ἱερεὺς εὐλογεῖ κατὰ ἀνατολὰς, λέγων· **Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου, Κύριε.** Εἶτα ὁ Διάκονος απεργεται, καὶ θυμιᾷ τὴν ἁγίαν εἰκόνα, τὴν εἰς τὸ στασείδιον τοῦ Προεστῶτος, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

αὐτὸν τὸν Προεστῶτα, καὶ πάλιν ἵσταται, ἐν ᾧ τόπῳ πρότερον ἵστατο, περιμένων τὴν τοῦ Στίχου ἐκπλήρωσιν. Πληρωθέντος δὲ, ἔρχεται ὁ Διάκονος εἰς τὸ μέσον, καὶ χαράξας Σταυρὸν μετὰ τοῦ Θυμιατοῦ, ἐκφωνεῖ· **Σοφία, ὀρθοί.** Καὶ εὐθὺς ὁ μὲν Προεστὼς, ἢ ὁ ταχθεὶς Μοναχὸς, ψάλλει τὸ, **Φῶς ἱλαρόν·** Οἱ δὲ Ἀναγνῶσται, αἴροντες πάλιν τὰς λαμπάδας, προπορεύονται μέχρι τῶν ἁγίων Θυρῶν. Ὁ δὲ Διάκονος εἰσελθὼν ἐντὸς τοῦ ἁγίου Βήματος, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν. Ὁ δὲ Ἱερεὺς, προσκυνήσας ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, καὶ ἀσπασάμενος αὐτὰς, εἰσέρχεται, καὶ κλείονται τὰ ἅγια Θύρια· μετὰ δὲ τὸ τέλος τοῦ, **Φῶς ἱλαρόν·** ψάλλεται τὸ Προκείμενον τῆς ἡμέρας· οὗ πληρωθέντος, ( εἰ ἔστιν Ἀναγνώσματα ) λέγει ὁ Διάκονος· **Πρόσχωμεν·** καὶ πάλιν ὁ αὐτός· **Σοφία, πρόσχωμεν·** καὶ ἑξῆς τὰ Ἀναγνώσματα· εἰ δὲ οὐκ ἔστιν, εὐθὺς μετὰ τὸ Προκείμενον, ὁ Διάκονος ἐξελθὼν, καὶ σταθεὶς ἐν τῷ συνήθει τόπῳ, λέγει· **Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν,** καὶ τὰ λοιπά· καὶ μετὰ τὴν Ἐκφώνησιν, λέγει ὁ Προεστὼς τὸ, **Καταξίωσον, Κύριε.** Εἶτα ὁ Διάκονος τὸ, **Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν,** κτλ. Μετὰ δὲ τὴν Ἐκφώνησιν, λέγει ὁ Ἱερεύς· **Εἰρήνη πᾶσι·** ὁ Διάκονος· **Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν·** καὶ ὁ Ἱερεὺς λέγει τὴν Εὐχήν· **Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς·** καὶ ἐκφωνεῖ· **Εἴη τὸ κράτος τῆς Βασιλείαν σου εὐλογημένον.** Καὶ μετὰ τὴν Ἐκφώνησιν, ψάλλονται τὰ Στιχηρὰ τῆς Λιτῆς· ὧν ψαλλομένων, εἰσελθὼν ὁ Διάκονος, καὶ λαβὼν τὸν Θυμιατὸν, καὶ θυμίαμα βαλὼν, καὶ αἰτήσας εὐλογίαν συνήθως, ἐξέρχεται ἅμα τῷ Ἱερεῖ διὰ τοῦ βορείου μέρους, κεκλεισμένων οὐσῶν τῶν ἁγίων Θυρῶν, καὶ προπορευομένων τῶν λαμπάδων· καὶ διελθόντες διὰ τῶν ὡραίων πυλῶν, καὶ μετ' αὐτοὺς πάντες οἱ Ἀδελφοὶ, ἵστανται ἐν τῷ Νάρθηκι· ψαλλόντων δὲ τῶν Ἀδελφῶν, ὁ Διάκονος θυμιᾷ πάντας συνήθως. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν Στιχηρῶν, στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει· **Σῶσον, ὁ Θεὸς, τὸν Λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου,** ἄχρι τέλους· καὶ ψάλλεται τὸ, **Κύριε ἐλέησον** γ'. εἶτα πάλιν λέγει· **Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων Βασιλέων·** καὶ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ψάλλεται τὸ, **Κύριε ἐλέησον** γ΄. Καὶ πάλιν λέγει· **Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ** (τοῦ δεῖνος) **Ἱερομονάχου, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος·** καὶ τὰς λοιπὰς δύω αἰτήσεις· τὴν, **Ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην·** καὶ τὴν, **Ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν Ὀρθοδόξων·** εἶθ' οὕτω λέγει ὁ Ἱερεύς· **Εἰρήνη πᾶσι·** ὁ Διάκονος· **Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν·** καὶ ὁ Ἱερεὺς στραφεὶς πρὸς δυσμὰς, ἱσταμένου τοῦ Διακόνου ἐκ δεξιῶν αὐτοῦ, κρατοῦντος τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς αὐτοῦ, λέγει τὴν Εὐχὴν ταύτην μεγαλοφώνως· **Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν.** Καὶ ψαλλομένων τῶν Ἀποστίχων, προπορευομένων τῶν λαμπάδων, εἰσέρχονται πάντες ἐν τῷ Ναῷ· καὶ τὰ μὲν Μανουάλια τίθενται παρ' ἑκάτερα τοῦ προευτρεπισθέντος τετραποδίου, ἐν ᾧ κεῖται μετὰ σίτου καὶ πέντε Ἄρτων δίσκος, ὧν ἔχομεν ἔθος προσφέρειν ἐν τῇ Ἐκκλησίᾳ· παρ' ἑκάτερα δὲ τοῦ δίσκου, ἀγγεῖα δύω μεγά, τὸ μὲν, οἴνου, τὸ δὲ, ἐλαίου· κεῖται δὲ, ὁ μὲν οἶνος, ἐξ ἀριστερῶν, τὸ δὲ ἔλαιον, ἐκ δεξιῶν. Ὁ δὲ Ἱερεὺς ἅμα τῷ Διακόνῳ ἵστανται ἔσωθεν τῶν ὡραίων Πυλῶν· πληρωθέντων οὖν τῶν Ἀποστίχων, λέγεται τὸ, **Νῦν ἀπολύεις,** καὶ τὸ Τρισάγιον, καὶ μετὰ τὸ, **Πάτερ ἡμῶν,** ἐκφωνεῖ ὁ Ἱερεύς· **Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία·** καὶ ψάλλεται τὸ Ἀπολυτίκιον τῆς ἡμέρας, καὶ τὸ **Θεοτοκίον,** εἰ μὲν ἐστι Κυριακή· εἰ δὲ Ἁγίου μνήμη μεγάλη, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου ἐκ δευτέρου, καὶ τὸ **Θεοτοκίον·** εἰ δὲ Δεσποτικὴ Ἑορτὴ, ἢ Θεομητορικὴ, τὸ τῆς Ἑορτῆς, ἐκ τρίτου. Ψαλλομένου οὖν τοῦ τελευταίου Ἀπολυτικίου μεγαλοφώνως καὶ ἀργῶς, ὁ Διάκονος, πρότερον εὐλογίαν αἰτήσας ἐπὶ τῷ Θυμιάματι παρὰ τοῦ Ἱερέως, καὶ λαβὼν, θυμιᾷ κύκλωθεν τοὺς Ἄρτους σταυροειδῶς, εἶτα τὸν Ἡγούμενον, καὶ πάλιν τοὺς Ἄρτους ἔμπροσθεν μόνον· πλησιάσαντος δὲ τοῦ Ἱερέως, ἵσταται παρὰ τὸ δεξιὸν αὐτοῦ μέρος ὁ Διάκονος, κρατῶν τῇ μὲν ἀριστερᾷ χειρὶ τὸν Θυμιατὸν, τοῖς δὲ τρισὶ δακτύλοις τῆς δεξιᾶς τὸ Ὠράριον· καὶ πληρωθέντος τοῦ Ἀπολυτικίου, δεικνύων μετὰ τοῦ Ὠραρίου τοὺς πέντε Ἄρτους λέγει· **Τοῦ Κυρίου δεηθῶμεν.** Ὁ δὲ Ἱερεὺς τὴν Εὐχήν·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε Ἄρτους· καὶ λεγομένου παρὰ τῶν Ἀδελφῶν τοῦ, Εὐλογήσω τὸν Κύριον, εἰσέρχεται ὁ Ἱερεὺς ἅμα τῷ Διακόνῳ εἰς τὸ ἅγιον Βῆμα· λέγουσι δὲ τὸν Ψαλμὸν οἱ Ἀδελφοὶ μέχρι τοῦ, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ· ὁ δὲ Ἱερεὺς ἔνδοθεν τοῦ ἁγίου Βήματος ἐκφωνεῖ· Εὐλογία Κυρίου, καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· καὶ οὕτως ἐνδύονται τὰς ἱερατικὰς στολὰς, καὶ ἐξέρχονται· καὶ τιθεμένης Ἀναγνώσεως, λέγει ὁ Ἱερεύς· Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν. Εἰ μέν τοι οὐκ ἔχει Ἀγρυπνίαν, μετὰ τὴν τῶν Ἀποστίχων συμπλήρωσιν, ὁ μὲν Ἱερεὺς εἰσέρχεται ἐντὸς τοῦ ἁγίου Βήματος, καὶ μετὰ τὸ Τρισάγιον, ἐκφωνεῖ· Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα· καὶ ψάλλεται τὸ Ἀπολυτίκιον· ὁ δὲ Διάκονος μετὰ τοῦτο, ἔξωθεν ἱστάμενος, ἐκφωνεῖ· Εὐλόγησον· καὶ ὁ Ἱερεὺς ἔνδοθεν· Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· καὶ ψάλλουσι τὸ, Στερεῶσαι Κύριος ὁ Θεὸς τοὺς Βασιλεῖς· καὶ ὁ Ἱερεὺς λέγει ἡσύχῳ φωνῇ· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς· οἱ Ἀδελφοί· Τὴν τιμιωτέραν· καὶ πάλιν ὁ Ἱερεὺς ἡσύχως· Δόξα σοι, ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι· καὶ λέγουσιν οἱ Ἀδελφοί, Δόξα, καὶ νῦν· Κύριε, εὐλόγησον. Ὁ δὲ Ἱερεὺς, ἀνοίξας τὰ ἅγια Θύρια, χαλάσας τε τὸ Φελόνιον, ἱσταμένου τοῦ Διακόνου ἔξωθεν ἐκ δεξιῶν, καὶ τὸ Ὠράριον κρατοῦντος συνήθως, λέγει τὴν Ἀπόλυσιν ταύτην· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι, καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Εἰ δὲ Δεσποτικὴ Ἑορτή ἐστι, ποιεῖ τὴν Ἀπόλυσιν καταλλήλως τῇ Ἑορτῇ· εἰ δὲ μεγάλου τινὸς Ἁγίου μνήμη, ἐκφωνεῖ ἐν τῇ Ἀπολύσει καὶ τὸ τοῦ Ἁγίου ὄνομα. Εἰ μέν τοι ἐστὶ Λιτὴ, μετὰ τὴν Ἀπόλυσιν, λαβὼν ὁ Διάκονος τὸν Θυμιατὸν, ἐξέρχεται ἅμα τῷ Ἱερεῖ εἰς τὸν Νάρθηκα, λαμπάδων προπορευομένων, καὶ γίνεται ἀπαραλλάκτως, καθὼς προεγράφη ἐν τῷ μεγάλῳ Ἑσπερινῷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Εἰ μὲν ἐστιν Ἀγρυπνία, μετὰ τὸ τέλος τῆς Ἀναγνώσεως, εὐθὺς ὁ Προεςὼς, ἢ ὁ ταχθεὶς Μοναχὸς, λέγει τὸν Ἑξάψαλμον· εἰδὲ μὴ ἐστιν Ἀγρυπνία, ἔστι δὲ Κυριακὴ, ψάλλεται ὁ Τριαδικὸς Κανὼν, καὶ εἰς τὸ τέλος, τὸ **Ἄξιόν ἐστιν ὡς ἀληθῶς**. Ἰστέον, ὅτι ἐν τῷ Μεσονυκτικῷ, ἔξω τῶν ἁγίων Θυρῶν γίνεται ἡ μεγάλη Ἐκτενής· καὶ ὁ Ἱερεὺς, ἱστάμενος ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, ποιεῖ Ἐκτενῆ μεγάλην· **Ὑπὲρ τȣ̃ διαφυλαχθῆναι τὴν Πόλιν** (ἢ τὴν Μονὴν) **ταύτην**· καὶ ψάλλεται τὸ, **Κύριε ἐλέησον** μ'., καὶ γίνεται Ἀπόλυσις, καὶ τίθεται Ἀνάγνωσις. Ὁ δὲ Ἱερεὺς, εἰσελθὼν ἐν τῷ ἁγίῳ Βήματι, καὶ βαλὼν Ἐπιτραχήλιον, καὶ ἀνοίξας τὸ Βημόθυρον μόνον, ἐκφωνεῖ· **Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων**· καὶ ψάλλεται τὸ Τρισάγιον, καὶ οἱ συνήθεις Ψαλμοὶ, καὶ πάλιν τὸ Τρισάγιον· ὁ δὲ Ἱερεὺς θυμιᾷ, τούτων ψαλλομένων, τό τε Ἱερατεῖον, καὶ τὸν Ναὸν ἅπαντα, ἐξερχόμενος ἀπὸ τοῦ βορείȣ κλίτους, καὶ τοὺς Ἀδελφοὺς καὶ τὸν Νάρθηκα· ἐκφωνεῖ δὲ καὶ εἰς τὰ δύω Τρισάγια, μετὰ τὸ, **Πάτερ ἡμῶν**, τὸ, **Ὅτι σοῦ ἐςιν ἡ Βασιλεία, καὶ ἡ δύναμις**. Ὀφείλȣσι δὲ ἔχειν ἀκρίβειαν οἱ ψάλλοντες, καὶ ὁ θυμιῶν, ἵνα, ὅταν λέγῃ τὰς Ἐκφωνήσεις, εὑρίσκηται ἔμπροσθεν τῆς Εἰκόνος τοῦ Χριστοῦ. Μετὰ δὲ τὸ θυμιάσαι ἅπαντα τὸν Ναὸν, πληρωθῆναί τε καὶ τὰ συνήθως ψαλλόμενα Τροπάρια, ἔνδοθεν τοῦ ἁγίου Βήματος ἐκφωνεῖ ὁ Ἱερεὺς τὸ, **Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι**· καὶ εὐθὺς ὁ Προεςὼς, ἢ ὁ ταχθεὶς Μοναχὸς, λέγει τὸν Ἑξάψαλμον.. Ὅταν δὲ ἄρξηται τȣ̃, **Κύριε ὁ Θεὸς τῆς σωτηρίας μȣ**, ἐξέρχεται ὁ Ἱερεὺς, καὶ ἵσταται ἔμπροσθεν τῶν ἁγίων Θυρῶν ἀσκεπὴς, καὶ λέγει μυστικῶς τὰς ἑωθινὰς Εὐχάς. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ Ἑξαψάλμου, λέγει τὴν μεγάλην Συναπτήν· καὶ οὕτω ψάλλεται τὸ, **Θεὸς Κύριος**, καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες· εἰς ἑνὸς δὲ ἑκάστου συμπλήρωσιν Καθίσματος, ποιεῖ ὁ Ἱερεὺς μικρὰν Συναπτὴν, καὶ ἐκφωνεῖ, εἰς μὲν τὸ πρῶτον Κάθισμα, **Ὅτι σὸν τὸ κράτος, καὶ σȣ̃ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις**· εἰς δὲ τὸ δεύτερον, **Ὅτι**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

**ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις**· μετὰ δὲ τὸν Πολυέλεον, ἢ τὸν Ἄμωμον· **Ὅτι εὐλόγηται, καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς Ὄνομά σου.**

Τῶν δὲ Ἀναβαθμῶν ψαλλομένων, εἰσέρχεται ὁ Ἱερεὺς ἅμα τῷ Διακόνῳ ἐντὸς τοῦ ἁγίου Βήματος, καὶ εὐλογήσαντος τοῦ Ἱερέως τὸ Στοιχάριον, ἐνδύεται τοῦτο ὁ Διάκονος συνήθως· ὁμοίως καὶ ὁ Ἱερεὺς ἐνδύεται Ἐπιτραχήλιον καὶ Φελόνιον. Καὶ μετὰ τὴν συμπλήρωσιν τῶν Ἀντιφώνων, ψάλλεται τὸ Προκείμενον τῆς Ἑορτῆς, ἢ τῆς Κυριακῆς· καὶ μετὰ τοῦτο λέγει ὁ Διάκονος· **Τοῦ Κυρίου δεηθῶμεν**· καὶ ἐκφωνεῖ ὁ Ἱερεύς. **Ὅτι Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν Ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν**· καὶ ψάλλεται τό, **Πᾶσα πνοή**· καὶ ὁ Διάκονος· **Σοφία, ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.** Ὁ δὲ Ἱερεύς· **Εἰρήνη πᾶσι.** Καὶ εὐθὺς ἐπιφέρει· **Ἐκ τοῦ κατὰ** (τόνδε) **ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα**· καὶ ὁ Λαός· **Δόξα σοι, Κύριε, δόξα σοι**· ὁ Διάκονος· **Πρόσχωμεν.** καὶ ἀναγινώσκει ὁ Ἱερεὺς τὸ Εὐαγγέλιον. Οὗ πληρωθέντος, ὁ Προεστώς, ἢ ὁ ταχθεὶς Μοναχός, λέγει τό. **Ἀνάστασιν Χριστοῦ θεασάμενοι** (εἰ ἔστι Κυριακὴ δηλονότι), καὶ ψάλλουσιν οἱ Ἀδελφοὶ τὸν Πεντηκοστὸν μετὰ μέλους. Ὁ δὲ Ἱερεὺς χαλάσας τὸ Φελόνιον, καὶ βαστάζων τὸ ἅγιον Εὐαγγέλιον ἔμπροσθεν τοῦ στήθους, ἐξέρχεται, καὶ ἵσταται εἰς τὸ μέσον τοῦ Ναοῦ, καὶ ὁ Ἀναγνώστης, ἢ ὁ Εὐταξίας, ἵσταται δεξιόθεν αὐτῷ, κατέχων Μανουάλιον μετὰ λαμπάδος ἡμμένης, καὶ γίνεται ὁ Ἀσπασμὸς τοῦ ἁγίου Εὐαγγελίου παρὰ τῶν Ἀδελφῶν συνήθως. Ἐν ἄλλῃ δὲ Ἑορτῇ οὐ γίνεται ὁ Ἀσπασμός, εἰμὴ μόνον ἐν Κυριακῇ· οὗ πληρωθέντος, ψάλλονται τὰ συνήθη Τροπάρια. Καὶ ἐξερχόμενος ὁ Διάκονος, ἵσταται ἐν τῷ συνήθει τόπῳ, καὶ λέγει μεγαλοφώνως· **Σῶσον, ὁ Θεός, τὸν Λαόν σου.** κ.τ.λ. (Ὅρα ἔμπροσθεν ἐν τῷ Ἑσπερινῷ Σελ. 20). Καὶ ψάλλεται τό, **Κύριε ἐλέησον** ιβ΄. καὶ οὕτως ἐκφωνεῖ ὁ Ἱερεύς· **Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ**, κ.τ.λ.

Τῶν δὲ Κανόνων ψαλλομένων, ὁ μὲν Ἱερεὺς ἐξέρχεται, καὶ ἵσταται ἐν τῷ δεξιῷ Χορῷ, εἰς τὸν συνήθη τόπον. Ὁ δὲ Διάκονος, λαβὼν πρότερον εὐλογίαν ἐπὶ τῷ θυμιάματι, θυμιᾷ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

πρῶτον τὸ Ἱερατεῖον ἅπαν· εἶτα ἐξέρχεται διὰ τοῦ βορείου κλίτȣς, καὶ χαράττει Σταυρὸν ἔμπροσθεν τῶν ἁγίων Θυρῶν· καὶ θυμιᾷ, πρῶτον τὰς Εἰκόνας, τὰς ἐν τῷ δεξιῷ μέρει ἱσταμένας, πάσας, καὶ ἀπέρχεται εἰς τὸν Ἅγιον τῆς Μονῆς, καὶ χαράξας ἐν αὐτῷ Σταυρὸν, στρέφεται πρὸς δυσμάς· καὶ στὰς ἐν τῷ μέσῳ τȣ͂ Ναοῦ, χαράττει Σταυρὸν, καὶ ἀπέρχεται, καὶ θυμιᾷ πρῶτον τὴν Εἰκόνα, τὴν εἰς τὸ στασείδιον τοῦ Προεστῶτος ἱσταμένην, εἶτα τὸν Προεστῶτα, καὶ καθεξῆς τοὺς Ἀδελφοὺς τοῦ δεξιοῦ Χοροῦ. Μετὰ δὲ τὸ θυμιάσαι πάντας τοὺς ἐν αὐτῷ, ἵσταται εἰς τὸ μέσον τοῦ Χοροῦ, καὶ βλέπων πρὸς νότον, ποιεῖ Σταυρόν. Θυμιῶν δὲ, προσκυνεῖται παρ᾽ ὧν θυμιᾷ, καὶ ἀντιπροσκυνεῖ μικρόν. Μετὰ δὲ τὸ ποιῆσαι τὸν Σταυρὸν, ἀπέρχεται εἰς τὸν ἀριστερὸν Χορὸν, καὶ θυμιάσας κἀκεῖ τὰς ἁγίας Εἰκόνας, θυμιᾷ καὶ τοὺς Ἀδελφοὺς, ἄνωθεν ἀρχόμενος ἀπὸ τῶν Εἰκόνων, καὶ ἀπερχόμενος ὡς πρὸς τὰς ὡραίας πύλας, προσκυνούμενος ὁμοίως, καὶ ἀντιπροσκυνῶν μικρόν. Πληρώσας δὲ κἀκεῖνον τὸν Χορὸν, πάλιν ἵσταται εἰς τὸ μέσον, βλέπων πρὸς ἄρκτον, καὶ ποιῶν Σταυρὸν, ἐξέρχεται εἰς τὸν Νάρθηκα· καὶ θυμιάσας κἀκεῖσε πάντας, εἰσέρχεται διὰ τῶν ὡραίων Πυλῶν· καὶ χαράξας Σταυρὸν κατὰ ἀνατολὰς, θυμιᾷ τὸν Προεστῶτα· καὶ πάλιν εἰς τὸ μέσον χαράττει Σταυρὸν, καὶ θυμιάσας τὰς ἁγίας Εἰκόνας, εἰσέρχεται εἰς τὸ Ἱερατεῖον, καὶ ἀποτίθησι τὸν Θυμιατόν· ἐξερχόμενος δὲ, προσκυνεῖ μικρὸν τὸν Προεστῶτα μακρόθεν, καὶ ἵσταται ἐν τῷ συνήθει τόπῳ.

Μετὰ δὲ τὸ τέλος τῆς γ΄. Ὠδῆς, λέγει ὁ Διάκονος· **Ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον,** κ.τ.λ. **Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης.** κ.τ.λ. Καὶ ἐκφωνεῖ ὁ Ἱερεύς· **Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν αναπεμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων.** Καὶ μετὰ τὴν ἕκτην, ποιεῖ ὁ Ἱερεὺς ἐκτενῆ μικρὰν, ἱστάμενος ἔμπροσθεν τῶν ἁγίων Θυρῶν ἀσκεπὴς, καὶ ἐκφωνῶν· **Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν,** κ.τ.λ. Εἰς δὲ τὴν ὀγδόην, ποιεῖ μετά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

νοιαν ὁ Ἱερεὺς μετὰ τοῦ Διακόνου τῷ Προεστῶτι, καὶ εἰσέρχονται ἐντὸς τοῦ Βήματος, καὶ ἐνδύονται συνήθως. Τῆς δὲ ὀγδόης πληρωθείσης, ψάλλει ὁ Διάκονος μεγαλοφώνως· **Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς, ἐν ὕμνοις τιμῶντες, μεγαλύνωμεν.** Καὶ στιχολογεῖται ἡ Τιμιωτέρα· εἰ δὲ μὴ, ψάλλει τὴν ἀρχὴν τοῦ Εἱρμοῦ τῆς Θ'. Ὠδῆς τῆς Ἑορτῆς· καὶ οὕτως ἐξερχόμενος ὁ Ἱερεὺς, ἵσταται ἐν τῷ συνήθει τόπῳ. Ὁ δὲ Διάκονος θυμιᾷ πάντας συνήθως, καὶ ὑποστρέψας, ἵσταται ἐν τῷ τεταγμένῳ τόπῳ. Μετὰ δὲ τὴν Θ'., ποιεῖ ὁ Διάκονος μικρὰν Συναπτήν· καὶ ἐκφωνεῖ ὁ Ἱερεύς· **Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι,** κτλ. Τῆς δὲ Δοξολογίας ἀρχομένης, εἰσέρχεται ὁ Ἱερεὺς ἐντὸς τοῦ ἁγίου Βήματος. Ὁ δὲ Διάκονος, ταύτης πληρωθείσης, λέγει· **Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ·** καὶ τὰ λοιπά· καὶ εὐθὺς λέγει ὁ Ἱερεύς· **Εἰρήνη πᾶσι.** Ὁ Διάκονος· **Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν·** καὶ ὁ Ἱερεὺς τὴν Εὐχὴν μυστικῶς· **Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν** κτλ., καὶ ἐκφωνεῖ· **Σὸν γάρ ἐςι τὸ ἐλεεῖν, καὶ σώζειν ἡμᾶς, Χριςὲ ὁ Θεός·** Ὁ Διάκονος· **Σοφία·** Ὁ Ἱερεύς· **Ὁ ὢν εὐλογητὸς Χριςὸς ὁ Θεὸς ἡμῶν, πάντοτε·** καὶ ψάλλεται τὸ, **Στερεῶσαι ὁ Θεὸς τοὺς Βασιλεῖς·** Ὁ Ἱερεύς· **Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς·** καὶ ψάλλεται ἡ Τιμιωτέρα· εἶτα πάλιν λέγει· **Δόξα σοι, Χριστὲ ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι·** καὶ γίνεται Ἀπόλυσις· εἰ μὲν ἐστι Κυριακὴ, **Ὁ ἀναςὰς ἐκ νεκρῶν Χριςὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντȣ αὐτȣ̃ Μητρὸς, τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων τοῦ Ἁγίων, ἐλεῆσαι, καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος·** εἰ δὲ ἐςι Δεσποτικὴ Ἑορτὴ, ἢ μεγάλου Ἁγίου μνήμη, δίδοται καὶ τὸ ἅγιον ἔλαιον οὕτω· Πάντων συναγομένων πλησίον τῆς Εἰκόνος τοῦ προσκυνήματος, καὶ ψαλλόντων, ὁ μὲν Διάκονος θυμιᾷ κύκλῳ, ἀπὸ τοῦ Προεστῶτος ἀρξάμενος, πρῶτον θυμιάσας τὴν Εἰκόνα τοῦ Ἁγίου. Ὁ δὲ Ἱερεὺς, ἱστάμενος πλαγίως τῆς Εἰκόνος, κατέχων ἀλειπτρον, χρίει τοὺς προσιόντας ἐν τῷ μετώπῳ, καὶ εὐλογεῖ. Ὅταν δὲ χρισθῶσι πάντες, ἐκφωνεῖ· **Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακρὰν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἰρήνη πᾶσι. Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. Καὶ κρατοῦντος τοῦ Διακόνου τὸ Ὠράριον, ὡς ἔθος, λέγει ὁ Ἱερεὺς, χαλάσας τὸ Φελόνιον, τὴν Εὐχὴν ταύτην· Δέσποτα, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, διὰ πρεσβειῶν τῆς πανυπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας. Ζήτει ταῦτα εἰς τὴν Λιτήν.

Κατὰ δὲ τὴν Ἑορτὴν τοῦ Εὐαγγελισμοῦ, τῶν Βαΐων, καὶ τῆς λαμπρᾶς Κυριακῆς τοῦ Πάσχα, γίνονται ἔξω τῆς Μονῆς, καὶ γίνεται ἐν αὐταῖς ὁμοίως τῇ προγραφείσῃ Λιτῇ· γίνονται καὶ ἁγιασμοὶ τῶν Φώτων, καὶ ἀφ' ἑσπέρας, καὶ πρωΐ· καὶ κατὰ τὴν πρώτην τοῦ Αὐγούστου, ἔνθα ὁ Διάκονος βαστάζων τὸν Σταυρὸν ἐξέρχεται, τοῦ Ἱερέως ἐφεπομένου, καὶ θυμιᾷ· λέγει δὲ μόνον ἐν ταῖς εὐχαῖς· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ Ἱερεὺς ποιεῖ πάντα, καθὼς ἐστιν ἔθος, καὶ ἐν τοῖς Τυπικοῖς εἰσὶ γεγραμμένα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΛΥΧΝΙΚΟΥ.

### Εὐχὴ Α'.

Ἀναγινώσκονται δὲ αἱ Εὐχαὶ αὗται ὑπὸ τοῦ Ἱερέως, ὡς προείρηται ἐν τῇ Διατάξει τῇ Ἱεροδιακονικῇ, σελ. 3.

Κύριε, οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τὰς καρδίας ἡμῶν, εἰς τὸ φοβεῖσθαι τὸ Ὄνομά σου τὸ ἅγιον· διότι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια· σὺ εἶ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε· δυνατὸς ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν, καὶ σῴζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ Ὄνομά σου τὸ ἅγιον. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Εὐχὴ Β'.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν. Ὁδήγησον ἡμᾶς ἐπὶ λιμένα θελήματός σου. Φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν, εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σάμου

Εὐχὴ Γ'.

Κύριε, ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον Ὄνομά σου, καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου, ἀλλὰ χάρισαι ἡμῖν, Κύριε, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾷν καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Δ'.

Ὁ τοῖς ἀσιγήτοις ὕμνοις, καὶ ἀπαύστοις δοξολογίαις ὑπὸ τῶν ἁγίων Δυνάμεων ἀνυμνούμενος, πλήρωσον τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς σου, τοῦ δοῦναι μεγαλωσύνην τῷ Ὀνόματί σου τῷ ἁγίῳ· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον μετὰ πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ, καὶ φυλασσόντων τὰς ἐντολάς σου· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Ε'.

Κύριε, Κύριε, ὁ τῇ ἀχράντῳ σου παλάμῃ συνέχων τὰ σύμπαντα, ὁ μακροθυμῶν ἐπὶ πάντας ἡμᾶς, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, μνήσθητι τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου· ἐπίσκεψαι ἡμᾶς ἐν τῇ σῇ ἀγαθότητι· καὶ δὸς ἡμῖν διαφυγεῖν καὶ τὸ λοιπὸν τῆς παρούσης ἡμέρας ἐκ τῶν τοῦ πονηροῦ ποικίλων μηχανημάτων, καὶ ἀνεπιβούλευτον τὴν ζωὴν ἡμῶν διαφύλαξον, τῇ χάριτι τοῦ παναγίου σου Πνεύματος· Ἐλέει, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Ϛ'.

Ὁ Θεὸς, ὁ μέγας καὶ θαυμαστὸς, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ, καὶ πλουσίᾳ προνοίᾳ διοικῶν τὰ σύμπαντα· ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

καὶ τὰ ἐγκόσμια ἀγαθὰ ἡμῖν δωρησάμενος, καὶ κατεγγυήσας ἡμῖν τὴν ἐπηγγελμένην βασιλείαν, διὰ τῶν ἤδη κεχαρισμένων ἡμῖν ἀγαθῶν· ὁ ποιήσας ἡμᾶς καὶ τῆς νῦν ἡμέρας τὸ παρελθὸν μέρος ἀπὸ παντὸς ἐκκλῖναι κακοῦ, δώρησαι ἡμῖν καὶ τὸ ὑπόλοιπον ἀμέμπτως ἐκτελέσαι, ἐνώπιον τῆς ἁγίας δόξης σου, ὑμνοῦντας σὲ τὸν μόνον ἀγαθὸν, καὶ φιλάνθρωπον Θεὸν ἡμῶν. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Ζ'.

Ὁ Θεὸς, ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ διαχωρίσας ἀναμέσον τοῦ φωτὸς, καὶ ἀναμέσον τοῦ σκότους, καὶ τὸν μὲν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς, καὶ ἐπὶ τῆς παρούσης ὥρας, προφθάσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει, καὶ τὴν ἑσπερινήν σοι δοξολογίαν προσαγαγεῖν· αὐτὸς, φιλάνθρωπε Κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας. Παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου· καὶ δὸς ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναὶ, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ· ἵνα καὶ ἐπὶ ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν ἐν νυκτὶ τοῦ Ὀνόματός σου· καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει ψυχῆς διαναστῶμεν πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων, καὶ παντὸς τοῦ λαοῦ σου· ὃν, ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου, ἐν ἐλέει ἐπίσκεψαι. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Πληρουμένου δὲ τοῦ Προοιμιακοῦ Ψαλμοῦ, λέγει αὐτὸς ὁ Ἱερεὺς, ἢ ὁ Διάκονος, εἰ ἔστιν·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων Βασιλέων ἡμῶν, παντὸς τοῦ Παλατίου, καὶ τοῦ Στρατοπέδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς (ἢ τῆς Πόλεως) ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίȣ δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορȣ́ντων, νοσȣ́ντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντȣ, ὑπερευλογημένης, ἐνδόξȣ, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοὶ, Κύριε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

Εἶτα τὸ Κάθισμα τοῦ, Μακάριος ἀνήρ. Καὶ μετὰ τοῦτο λέγει τὴν μικρὰν Συναπτήν.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, κ.τ.λ.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, κ.τ.λ.

Ὁ Χορός· Σοὶ, Κύριε. Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα τὸ, Κύριε ἐκέκραξα. Ἔπειτα τὰ Στιχηρά. Δόξα, καὶ νῦν.

Εὐχὴ τῆς Εἰσόδου.

Ἑσπέρας, καὶ πρωῒ, καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καὶ δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε· Κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας· ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σὲ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν· μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα εὐλογεῖ τὴν Εἴσοδον, καὶ λέγει ὁ Διάκονος·

Σοφία, ὀρθοί· τὸ, Φῶς ἱλαρὸν ἁγίας δόξης. Μετὰ δὲ τὴν Εἴσοδον, βαλὼν τὴν συνήθη μετάνοιαν ὁ ταχθεὶς Μοναχὸς, ψάλλει τὸ τῆς ἡμέρας Προκείμενον δίστιχον. Εἰ δέ ἐστι Σάββατον Ἑσπέρας, λέγει τὸ, Ὁ Κύριος ἐβασίλευσεν, Στίχ. Ἐνεδύσατο ὁ Κύριος. Στίχ. Καὶ γὰρ ἐστερέωσε. Στραφεὶς δὲ ὁ Ἱερεὺς πρὸς δυσμὰς, δεδεμένας ἔχων τὰς χεῖρας, ἵσταται περιμένων τὴν πλήρωσιν τοῦ Προκειμένου· εἶτα βάλλει Μετάνοιαν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

καὶ ἀπέρχεται εἰς τὸν τόπον αὐτοῦ. Μετὰ δὲ τὸ Προκείμενον, λέγει ὁ Διάκονος, εἰ ἔστιν·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν· Ὁ Χορός· Κύριε ἐλέησον, γ'.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριςιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος),

Ἔτι δεόμεθα ὑπὲρ τῶν Ἀδελφῶν ἡμῶν, τῶν Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων, καὶ Μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων, καὶ ἀειμνήςων Κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης (ἢ τȣ ἁγίου Οἴκου τȣτου), καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων, καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καὶ ἁπανταχοῦ Ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν Ἀδελφῶν τῆς ἁγίας Μονῆς ταύτης (ἢ τοῦ ἁγίου Οἴκου τούτου.)

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ Ναῷ τȣτῳ, ϛοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος Λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος

Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν· Καὶ ὁ Προεστὼς τὸ, Καταξίωσον, Κύριε.

Εἶτα ὁ Διάκονος·

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ Χορός· Κύριε ἐλέησον· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὁ Χορός· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν.

Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας. κ.τ.λ.

Καὶ ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν· Ὁ Ἱερεὺς· Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοὶ, Κύριε.

Εὐχὴ τῆς Κεφαλοκλισίας ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σȣ, καὶ ἐπὶ τὴν κληρονομίαν σȣ. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ Κριτῇ οἱ σοὶ δȣλοι τὰς ἑαυτῶν ἔκλιναν τὰς κεφαλὰς· τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν· οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.

Εἶτα λέγει ἐκφώνως ὁ Ἱερεύς·

Εἴη τὸ κράτος τῆς Βασιλείας σου εὐλογημένον, καὶ δεδοξασμένον, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶθ' οὕτω ψάλλομεν τὰ Ἰδιόμελα τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου, λιτανεύοντες ἐν τῷ Νάρθηκι, τοῦ Ἱερέως καὶ τοῦ Διακόνου προπορευομένων μετὰ λαμπάδων καὶ θυμιατοῦ. Δόξα, τοῦ Ἁγίου· Καὶ νῦν, Θεοτοκίον· καὶ μετὰ ταῦτα, λέγει ὁ Διάκονος, εἴπερ τύχῃ, ταῦτα· εἰδὲ μὴ, ὁ Ἱερεύς.

Σῶσον, ὁ Θεὸς, τὸν Λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας, τοῦ θαυματουργοῦ· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ, καὶ Ἄννης· τοῦ ἁγίου (τῆς Μονῆς), καὶ πάντων σου τῶν Ἁγίων· ἱκετεύομέν σε, πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς.

Ὁ α'. Χορὸς τὸ, Κύριε ἐλέησον, γ'.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων Βασιλέων, κράτους, νίκης, διαμονῆς, ὑγείας, σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι, κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν, πάντα ἐχθρὸν καὶ πολέμιον.

Εἶτα πάλιν ὁ β'. Χορὸς τὸ, Κύριε ἐλέησον, γ'.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν, ἢ Ἐπισκόπου (τοῦ δεῖνος), καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος· καὶ ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους Θεοῦ καὶ βοηθείας ἐπιδεομένης· σκέπης τῆς ἁγίας Μονῆς (ἢ τῆς Πόλεως) ταύτης, καὶ τῶν κατοικούντων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἐν αὐτῇ· εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου· εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν· σωτηρίας, καὶ βοηθείας τῶν μετὰ σπουδῆς καὶ φόβου Θεοῦ κοπιώντων, καὶ διακονούντων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν· ὑπὲρ τῶν ἀπολειφθέντων, καὶ τῶν ἐν ἀποδημίαις ὄντων· ἰάσεως τῶν ἐν ἀσθενείαις κατακειμένων· ὑπὲρ κοιμήσεως, ἀνέσεως, μακαρίας μνήμης, καὶ ἀφέσεως ἁμαρτιῶν πάντων τῶν προαπελθόντων εὐσεβῶς Πατέρων καὶ Ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων, καὶ ἁπανταχοῦ Ὀρθοδόξων· ὑπὲρ ἀναρρύσεως τῶν αἰχμαλώτων· καὶ ὑπὲρ τῶν Ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων, καὶ πάντων τῶν διακονούντων, καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ Μονῇ ταύτῃ (ἢ ἐν τῷ πανσέπτῳ Ναῷ τούτῳ), εἴπωμεν·

Τὸ, Κύριε ἐλέησον, γ'.

Μετὰ ταῦτα μνημονεύει ὧν βούλεται ζώντων καὶ τεθνεώτων.

Εἶτα·

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν (ἢ τὴν Πόλιν) ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι πᾶσαν ὀργὴν τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Τὸ, Κύριε ἐλέησον, μ'.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Τὸ, Κύριε ἐλέησον, γ'.

Ὁ Ἱερεύς·

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα λέγει· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Καὶ πάντων κλινάντων τὰς κεφαλὰς, καὶ ἐπὶ γῆς κεκυφότων, ἐπεύχεται ὁ Ἱερεὺς μεγαλοφώνως·

Δέσποτα πολυέλεε Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ· τοῦ ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου· τοῦ Ἁγίου (τοῦ δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν Ἁγίων· Εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα ἀρχόμεθα τῶν Ἀποστίχων, καὶ ψάλλοντες αὐτὰ, εἰσερχόμεθα ἐν τῷ Ναῷ, ἐπᾴδοντες καὶ τοὺς τυχόντας Στίχους αὐτῶν.

Δόξα, καὶ νῦν, Θεοτοκίον. Εἶτα τὸ, Νῦν ἀπολύεις, καὶ τὸ Τρισάγιον.

Μετὰ δὲ τὸ, Πάτερ ἡμῶν· ἐκφωνεῖ ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἡμεῖς τὸ Ἀπολυτίκιον τῆς ἡμέρας, καὶ τὸ Θεοτοκίον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ο' δὲ Κελλαρίτης προτίθησιν ἐν τῷ ἀναλογίῳ Ἄρτους ε΄., ἐξ ὧν ἐσθίομεν ἐν τῇ Τραπέζῃ· ὡσαύτως καὶ στάμνον μεστὴν οἴνου τοῦ καλλίστου. Ὁ δὲ Ἱερεὺς λαβὼν Ἄρτον ἕνα ἐπὶ χεῖρας, καὶ τυπώσας ἐν αὐτῷ Σταυρὸν, ἐπεύχεται τὴν Εὐχὴν ταύτην μεγαλοφώνως·

Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε Ἄρτους ἐν τῇ ἐρήμῳ, καὶ πεντακισχιλίους ἄνδρας χορτάσας· αὐτὸς εὐλόγησον καὶ τοὺς Ἄρτους τούτους· τὸν σῖτον, τὸν οἶνον, καὶ τὸ ἔλαιον· καὶ πλήθυνον αὐτὰ ἐν τῇ ἁγίᾳ Μονῇ (ἢ ἐν τῇ Πόλει) ταύτῃ, καὶ εἰς τὸν κόσμον σου ἅπαντα, καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστοὺς ἁγίασον. Ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ, Ἀμὴν λέγομεν·

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ· ἕως τοῦ, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Ο' δὲ Ἱερεὺς ἀπελθὼν, ἵσταται ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, βλέπων πρὸς δυσμάς. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ Ψαλμοῦ, ἐπεύχεται ὁ Ἱερεὺς, λέγων·

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ γίνεται Ἀπόλυσις.

Ἰστέον δὲ, ὅτι ὁ εὐλογηθεὶς Ἄρτος ἐστὶν ἀλεξητήριον παντοίων κακῶν, εἰ μετὰ πίστεως λαμβάνοιτο.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΣΑΜΟΥ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΡΘΡΟΥ

Εὐλογήσαντος τȣ̃ Ἱερέως, ἀρχόμεθα τȣ̃ Τρισαγίȣ, τοῦ Παναγία Τριάς· τοῦ, Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Εἶτα τὰ Τροπάρια Σῶσον Κύριε τὸν Λαόν σου. Δόξα, Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Καὶ νῦν, Προστασία φοβερά.

Εἶτα λέγει ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, κ.τ.λ.

Καὶ εὐθὺς ἐκφωνεῖ·

Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγομεν τὸν Ἑξάψαλμον μετὰ πάσης προσοχῆς καὶ φόβου Θεοῦ, ὡς αὐτῷ λαλοῦντες ἀοράτως, καὶ δυσωποῦντες ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. Μετὰ δὲ τοὺς τρεῖς Ψαλμοὺς, ὁ Ἱερεὺς λέγει τὰς Εὐχὰς τοῦ Ὄρθρου, ἱστάμενος ἀσκεπὴς ἔμπροσθεν τῶν ἁγίων Θυρῶν.

Εὐχὴ Α'.

Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἐμβάλλοντι εἰς τὸ στόμα ἡμῶν λόγον αἰνέσεως, τοῦ προσκυνεῖν καὶ ἐπικαλεῖσθαι τὸ Ὄνομά σου τὸ ἅγιον· καὶ δεόμεθα τοῖς σοῖς οἰκτιρμοῖς, οἷς πάντοτε ἐχρήσω περὶ τὴν ἡμετέραν ζωήν. Καὶ νῦν ἐξαπόστειλον τὴν βοήθειάν σȣ ἐπὶ τοὺς ἑστῶτας πρὸ προσώπȣ τῆς ἁγίας δόξης σȣ, καὶ ἀπεκδεχομένȣς τὸ παρὰ σȣ̃ πλȣ́σιον ἔλεος· καὶ δὸς αὐτοῖς μετὰ φόβȣ καὶ ἀγάπης πάντοτε σοὶ λατρεύειν, αἰνεῖν, ὑμνεῖν, προσκυνεῖν τὴν ἀνεκδιήγητόν σȣ ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Β'.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σὲ, ὁ Θεὸς ἡμῶν, διότι φῶς τὰ προςάγματά σου ἐπὶ τῆς γῆς· δικαιοσύνην καὶ ἁγιασμὸν ἐπιτελεῖν ἐν τῷ φόβῳ σȣ, συνέτισον ἡμᾶς· σὲ γὰρ δοξάζομεν τὸν ὄντως ὄντα Θεὸν ἡμῶν· κλῖνον τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν· καὶ μνήσθητι, Κύριε, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν πάντων κατ' ὄνομα, καὶ σῶσον αὐτοὺς τῇ δυνάμει σου· εὐλόγησον τὸν λαόν σου, καὶ ἁγίασον τὴν κληρονομίαν σου· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σȣ, τοῖς Ἱερεῦσι, τοῖς Βασιλεῦσιν ἡμῶν, καὶ παντὶ τῷ λαῷ σȣ. Ὅτι εὐλόγηται, καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομα σȣ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Γ'.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σὲ, ὁ Θεὸς, διότι φῶς τὰ προστάγματά σου· δίδαξον ἡμᾶς, ὁ Θεὸς, τὴν δικαιοσύνην σου, τὰς ἐντολάς σου, καὶ τὰ δικαιώματά σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν, μήποτε ὑπνώσωμεν ἐν ἁμαρτίαις εἰς θάνατον· ἀπέλασον πάντα ζόφον ἀπὸ τῶν καρδιῶν ἡμῶν· χάρισαι ἡμῖν τὸν τῆς δικαιοσύνης Ἥλιον, καὶ ἀνεπηρέαστον τὴν ζωὴν ἡμῶν διαφύλαξον ἐν τῇ σφραγῖδι τοῦ Ἁγίου σου Πνεύματος· κατεύθυνον τὰ διαβήματα ἡμῶν εἰς ὁδὸν εἰρήνης· δὸς ἡμῖν τὸν ὄρθρον καὶ τὴν ἡμέραν ἐν ἀγαλλιάσει, ἵνα σοὶ τὰς ἑωθινὰς ἀναπέμπομεν εὐχάς. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Δ'.

Δέσποτα ὁ Θεὸς, ὁ ἅγιος καὶ ἀκατάληπτος, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὁ ἀναπαύσας ἡμᾶς ἐν τῷ τῆς νυκτὸς ὕπνῳ, καὶ διαναστήσας πρὸς δοξολογίαν, καὶ ἱκεσίαν τῆς σῆς ἀγαθότητος, δυσωπούμενος ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας, πρόσδεξαι ἡμᾶς καὶ νῦν προσκυνοῦντάς σε, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

κατὰ δύναμιν εὐχαριστοῦντάς σοι· καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. Ἀνάδειξον ἡμᾶς υἱοὺς φωτὸς καὶ ἡμέρας, καὶ κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν. Μνήσθητι, Κύριε, ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σȣ, καὶ παντὸς τοῦ λαȣ σου, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου δεομένων τῆς σῆς φιλανθρωπίας καὶ βοηθείας, καὶ πᾶσι χορήγησον τὸ μέγα σου ἔλεος. Ἵνα, σεσωσμένοι ψυχῇ τε καὶ σώματι πάντοτε διαμένοντες, μετὰ παῤῥησίας δοξάζωμεν τὸ θαυμαστὸν, καὶ εὐλογημένον ὄνομά σοῦ τοῦ Πατρὸς, καὶ τοῦ Υἱȣ, καὶ τοῦ Ἁγίȣ Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Ε'.

Ἀγαθῶν θησαυρὲ, πηγὴ ἀένναος, Πάτερ ἅγιε, θαυματοποιὲ, παντοδύναμε, καὶ παντοκράτορ, πάντες σὲ προσκυνοῦμεν, καὶ σοῦ δεόμεθα, τὰ σὰ ἐλέη καὶ τοὺς σοὺς οἰκτιρμȣς ἐπικαλούμενοι, εἰς βοήθειαν καὶ ἀντίληψιν τῆς ἡμετέρας ταπεινώσεως. Μνήσθητι, Κύριε, τῶν σῶν ἱκετῶν· πρόσδεξαι πάντων ἡμῶν τὰς ἑωθινὰς δεήσεις, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μηδένα ἡμῶν ἀδόκιμον ποιήσῃς, ἀλλὰ πάντας ἡμᾶς περιποίησαι διὰ τῶν οἰκτιρμῶν σου. Μνήσθητι, Κύριε, τῶν ἀγρυπνούντων, καὶ ψαλλόντων εἰς δόξαν σὴν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, καὶ τοῦ Ἁγίου σου Πνεύματος. Γενοῦ αὐτῶν βοηθὸς καὶ ἀντιλήπτωρ· πρόσδεξαι αὐτῶν τὰς ἱκεσίας εἰς τὸ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Ϛ'.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὅτι πάντα ποιεῖς εἰς εὐεργεσίαν τῆς ζωῆς ἡμῶν, ἵνα διαπαντὸς πρὸς σὲ ἀποβλέπωμεν τὸν Σωτῆρα καὶ εὐεργέτην τῶν ἡμετέρων ψυχῶν· ὅτι διανέπαυσας ἡμᾶς ἐν τῷ παρελθόντι τῆς νυκτὸς μέτρῳ, καὶ ἐξήγειρας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἔστησας εἰς προσκύνησιν τȣ τιμίου Ὀνόματός σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Διὸ δεόμεθά σου, Κύριε· Δὸς ἡμῖν χάριν καὶ δύναμιν, ἵνα καταξιωθῶμεν ψάλλειν σοι συνετῶς, καὶ προσεύχεσθαι ἀδιαλείπτως ἐν φόβῳ καὶ τρόμῳ, τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι, διὰ τῆς ἀντιλήψεως τοῦ Χριστοῦ σου. Μνήσθητι, Κύριε, καὶ τῶν ἐν νυκτὶ πρὸς σὲ βοώντων· ἐπάκουσον αὐτῶν καὶ ἐλέησον, καὶ σύντριψον ὑπὸ τοὺς πόδας αὐτῶν τοὺς ἀοράτους καὶ πολεμίους ἐχθρὺς. Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Ζ'.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἐπισυναγαγὼν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς, δὸς ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, καὶ πρόσδεξαι ἡμῶν τὰς κατὰ δύναμιν εὐχαριστίας· καὶ δίδαξον ἡμᾶς τὰ δικαιώματά σου, ὅτι προσεύξασθαι καθ' ὃ δεῖ ὀκ οἴδαμεν, ἐὰν μὴ σὺ, Κύριε, τῷ Πνεύματί σου τῷ Ἁγίῳ ὁδηγήσῃς ἡμᾶς. Διὸ δεόμεθά σου· Εἴτι ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας, ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, ἑκουσίως, ἢ ἀκουσίως, ἄνες, ἄφες, συγχώρησον· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποςήσεται; ὅτι παρὰ σοὶ ἡ ἀπολύτρωσις· σὺ εἶ μόνος ἅγιος, βοηθὸς, κραταιὸς ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, καὶ ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διαπαντός. Εἴη τὸ κράτος τῆς Βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τὸς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Β'.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν τοῦ ὕπνου ῥᾳθυμίαν ἀποσκεδάσας ἀφ' ἡμῶν, καὶ συγκαλέσας ἡμᾶς κλήσει ἁγίᾳ, τοῦ καὶ ἐν νυκτὶ ἐπᾶραι τὰς χεῖρας ἡμῶν, καὶ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, πρόσδεξαι τὰς δεήσεις ἡμῶν, τὰς ἐντεύξεις, τὰς ἐξομολογήσεις, τὰς νυκτερινὰς λατρείας· καὶ χάρισαι ἡμῖν, ὁ Θεὸς, πίστιν ἀκαταίσχυντον, ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον. Εὐλόγησον ἡμῶν εἰσόδους καὶ ἐξόδους, πράξεις, ἔργα, λόγους, ἐνθυμήσεις· καὶ δὸς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἡμῖν καταντῆσαι εἰς τὰς τῆς ἀρχὰς ἡμέρας, αἰνοῦντας, ὑμνοῦντας, εὐλογοῦντας τῆς σῆς ἀφράστου χρηστότητος τὴν ἀγαθότητα. Ὅτι ηὐλόγηται τὸ πανάγιόν σου ὄνομα, καὶ δεδόξασταί σου ἡ Βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Θ΄.

Λάμψον, Δέσποτα φιλάνθρωπε, ἐν ταῖς καρδίαις ἡμῶν τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον, φῶς καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον, ὀφθαλμοὺς εἰς τὴν τῶν Εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα πάσας τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Ι΄.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος, καὶ τύπον ἡμῖν ἐπιγνώσεως ἁμαρτημάτων καὶ ἐξομολογήσεως, τὴν τοῦ Προφήτου Δαυῒδ μετάνοιαν, πρὸς συγχώρησιν ὑποδείξας· αὐτὸς, Δέσποτα, πολλοῖς ἡμᾶς καὶ μεγάλοις περιπεπτωκότας πλημμελήμασιν, ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν· ὅτι σοὶ ἡμάρτομεν, Κύριε, τῷ καὶ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι, καὶ μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Καρδίαν δὲ καθαρὰν κτίσας ἐν ἡμῖν, καὶ πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς, καὶ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου γνωρίσας ἡμῖν, μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου· ἀλλ᾽ εὐδόκησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, προσφέρειν σοι θυσίαν δικαιοσύνης, καὶ ἀναφορὰν ἐν τοῖς ἁγίοις σου Θυσιαστηρίοις. Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## Εὐχὴ ΙΑ'.

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν· Πρόσδεξαι ἡμῶν, μετὰ τῶν κτισμάτων σου πάντων, τὴν κατὰ δύναμιν δοξολογίαν, καὶ ταῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς· ὅτι σοὶ κάμπτει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖ τὴν ἀκατάληπτόν σου δόξαν· μόνος γὰρ εἶ Θεὸς ἀληθινὸς καὶ πολυέλεος. Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ ΙΒ'.

Αἰνοῦμεν ὑμνοῦμεν, εὐλογοῦμεν, καὶ εὐχαριστοῦμέν σοι, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτὸς, καὶ ἔδειξας ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας· ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀγαθότητα· Ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ, ὅτι πρὸς σὲ καταφεύγομεν, τὸν ἐλεήμονα καὶ παντοδύναμον Θεόν. Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν Ἥλιον τῆς δικαιοσύνης σου· φώτισον τὸν νοῦν ἡμῶν, καὶ τὰς αἰσθήσεις ὅλας διατήρησον, ἵνα, ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατοῦντες τὴν ὁδὸν τῶν ἐντολῶν σου, καταντήσωμεν εἰς τὴν ζωὴν τὴν αἰώνιον· ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς· καὶ ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει τὴν μεγάλην Συναπτήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.
Ὑπὲρ τῆ ἁγίου Οἴκου τούτου.
Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Υ῾πὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων Βασιλέων.
Υ῾πὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι.
Υ῾πὲρ τῆς Πόλεως (ἢ τῆς ἁγίας Μονῆς) ταύτης.
Υ῾πὲρ εὐκρασίας ἀέρων.
Υ῾πὲρ πλεόντων, ὁδοιπορούντων.
Υ῾πὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.
Α᾿ντιλαβοῦ, σῶσον, ἐλέησον.
Τῆς Παναγίας, ἀχράντου.

Ἐκφώνως·

Ο῞τι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις.

Μετὰ δὲ τὴν Ἐκφώνησιν, ψάλλεται τὸ, Θεὸς Κύριος. Εἶτα τὸ Τροπάριον τῆς Κυριακῆς, εἴπερ τύχῃ, ἐκ δευτέρου· ἔπειτα τὸ Τροπάριον τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου, εἴπερ ἐςὶν ἑορτάσιμος· εἰδὲ μὴ, τὸ α. Θεοτοκίον τοῦ Ἤχου· καὶ μετὰ τοῦτο, ἡ συνήθης Στιχολογία. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς α. Στιχολογίας, ποιεῖ ὁ Ἱερεὺς μικρὰν Συναπτήν.

Ε῎τι καὶ ἔτι ἐν εἰρήνῃ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης.

Ε᾿κφώνως· Ὅτι σὸν τὸ κράτος. Μετὰ δὲ τὴν β΄. Στιχολογίαν· Ε῎τι καὶ ἔτι. Ἐκφώνως· Ὅτι ἀγαθὸς, καὶ φιλάνθρωπος.

Μετὰ τὸν Ἄμωμον, καὶ τὰ Εὐλογητάρια, ἐκφωνεῖ·

Ο῞τι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ Βασιλεία, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Η῾ Ὑπακοή. Οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Προκείμενον Ἀναστάσιμον.

Ο῾ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ο῞τι Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν Ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν κ.τ.λ. τὸ, Πᾶσα πνοή· καὶ μετὰ τοῦτο ἐκφωνεῖ ὁ Διάκονος·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου κ.τ.λ.

Ο῾ δὲ Ἱερεὺς λέγει τὸ Ἑωθινὸν Εὐαγγέλιον, εἴπερ τύχῃ Κυριακή. Εἶθ' οὕτως· Ἀνάστασιν Χριστοῦ. Καὶ ὁ Ν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Μετὰ δὲ τὸν ἀσπασμὸν τοῦ Εὐαγγελίου, λέγει ὁ Διάκονος· Σῶσον, ὁ Θεὸς, τὸν λαόν σου, καὶ τὰ λοιπὰ τούτων, ὡς ἐν τῇ Λιτῇ γέγραπται (σελ. 20.)

Εἶτα λέγει ὁ Ἱερεὺς ἐκφώνως·

Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀρχόμεθα τῶν Κανόνων· τοῦ Ἀναστασίμου, Σταυροαναστασίμου, τῆς Θεοτόκου, καὶ τοῦ Μηναίου. Ἀπὸ γ'. Ὠδῆς, ποιεῖ ὁ Ἱερεὺς μικρὰν Συναπτήν·

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ, σῶσον. Τῆς Παναγίας, ἀχράντου.

Ἐκφώνως· Ὅτι σὺ ὁ Θεὸς ἡμῶν. Εἶτα τὸ Κάθισμα τοῦ Μηναίου. Ἀφ' ἕκτης, Συναπτή· Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ, σῶσον. Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ἐκφώνως· Σὺ γὰρ εἶ ὁ Βασιλεύς. Τὸ Κοντάκιον, καὶ ὁ Οἶκος· καὶ Ἀνάγνωσις εἰς τὸ Συναξάριον. Ἐν δὲ τῇ Θ'. Ὠδῇ, Συναπτή· Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ, σῶσον. Τῆς Παναγίας, ἀχράντου.

Ἐκφώνως· Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν. Εἶτα τὸ, Ἅγιος Κύριος ὁ Θεός. Τὸ Ἀναστάσιμον Ἐξαποστειλάριον, καὶ τοῦ Ἁγίου, εἰ ἑορτάζεται. Εἰς τοὺς Αἴνους, Στιχηρὰ Ἀναστάσιμα δ'. καὶ Ἀνατολικὰ δ'. Λέγομεν καὶ Στίχους δύω. Στίχ. α'. Ἀνάστηθι, Κύριε ὁ Θεός μου. Στίχ. β'. Ἐξομολογήσομαί σοι, Κύριε. Δόξα, τὸ Ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία μεγάλη· καὶ μετ' αὐτὴν λέγομεν Τροπάρια Ἀναστάσιμα· εἰς μὲν τὸν α'., β'., γ'., καὶ δ'. Ἦχον, τὸ παρὸν

Ἰωάννου τοῦ Δαμασκηνοῦ, Ἦχος δ'.

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Εἰς δὲ τὸν πλ. α'. πλ. β'. βαρὺν, καὶ πλ. δ'. τὸ ἐφεξῆς·

Ἦχος β'.

Ἀναστὰς ἐκ τοῦ μνήματος, καὶ τὰ δεσμὰ διαῤῥήξας τοῦ Ἅδου, ἔλυσας τὸ κατάκριμα τοῦ θανάτου Κύριε, πάντας ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος· ἐμφανίσας δὲ σαυτὸν τοῖς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἀποστόλοις σου, ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα, καὶ δι᾽ αὐτῶν τὴν εἰρήνην παρέσχες τῇ Οἰκουμένῃ, μόνε πολυέλεε.

Εἶτα λέγει ὁ Διάκονος, εἴπερ τύχῃ, τὴν Ἐκτενῆ·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν Ἀδελφῶν ἡμῶν.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων κτιτόρων.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης.

Ὁ Ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Ὁ Διάκονος· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων.

Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ.

Χριστιανὰ τὰ τελη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν κ.τ.λ. Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ δεόμεθά σου, Ἅγιε Ἁγίων· Ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴτι ἡμάρτομεν ἑκουσίως, ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια, καὶ ὑπερκόσμια ἀγαθά σου.

Ἐκφώνως· Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ κ.τ.λ.

Εἶτα ὁ Διάκονος· Σοφία. Ὁ Ἱερεύς· Ὁ ὢν εὐλογητὸς Χριστός. Δεῦτε προσκυνήσωμεν. Καὶ ἡ α. Ὥρα, καὶ Ἀπόλυσις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΔΙΑΤΑΞΙΣ

## ΤΗΣ ΘΕΙΑΣ ΚΑΙ ΙΕΡΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

### ΓΙΝΟΜΕΝΗΣ ΟΥΤΩΣ ΕΝ ΤΗ ΜΕΓΑΛΗ ΕΚΚΛΗΣΙΑ, ΚΑΙ ΕΝ ΤΩ ΑΓΙΩ ΟΡΕΙ ΤΟΥ ΑΘΩΝΟΣ.

Μέλλων ὁ Ἱερεὺς τὴν θείαν ἐπιτελεῖν Μυσταγωγίαν, ὀφείλει προηγουμένως μὲν κατηλλαγμένος εἶναι μετὰ πάντων, καὶ μὴ ἔχειν τι κατά τινος· καὶ τὴν καρδίαν δὲ, ὅση δύναμις, ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύεσθαί τε μικρὸν ἀφ' ἑσπέρας, καὶ ἐγρηγορητικῶς διάγειν μέχρι τοῦ τῆς Ἱερουργίας καιροῦ. Τούτου δὲ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν τῷ Προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ Ναῷ· καὶ συνάμα τῷ Διακόνῳ, ποιοῦσι προσκυνήματα τρία.

Εἶτα λέγει ὁ Διάκονος· **Εὐλόγησον, Δέσποτα.** Καὶ ποιήσαντος τοῦ Ἱερέως Εὐλογητὸν, ἄρχεται λέγειν ὁ Διάκονος τὸ, **Βασιλεῦ οὐράνιε,** τὸ Τρισάγιον, κ. τ. λ. μετὰ δὲ τὸ, **Πάτερ ἡμῶν,** ὁ Ἱερεύς. **Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία.** Εἶτα λέγουσι τὸ, **Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Δόξα, Κύριε ἐλέησον ἡμᾶς.** Καὶ **νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην.**

Ἔπειτα ἀπέρχονται εἰς τὴν Εἰκόνα τοῦ Χριστοῦ, λέγοντες· **Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν Ἀγαθὲ·** ὅλον τὸ Τροπάριον. Εἶτα ἀσπάζονται καὶ τὴν Εἰκόνα τῆς Θεοτόκου, λέγοντες τὸ Τροπάριον, **Εὐσπλαγχνίας ὑπάρχουσα πηγή·** ὅλον. Εἶτα κλίνουσι τὴν κεφαλὴν, καὶ λέγει ὁ Ἱερεὺς ταύτην τὴν Εὐχήν·

**Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου Βήματι, τὴν ἀναίμακτον Ἱερουργίαν ἐπιτελέσω. Ὅτι σοῦ ἐστιν ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Ἔπειτα ποιοῦσι καὶ εἰς τοὺς Χοροὺς προσκυνήματα, ἀνὰ ἓν· καὶ οὕτως ἀπέρχονται εἰς τὸ Θυσιαστήριον, λέγοντες τὸ, **Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου,** καὶ τὰ λοιπά.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐλθόντες δὲ εἰς τὸ Ἱερατεῖον, ποιοῦσι προσκυνήματα γʹ. ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ ἀσπάζονται τὸ ἅγιον Εὐαγγέλιον, καὶ τὴν ἁγίαν Τράπεζαν. Εἶτα λαμβάνουσιν ἐν ταῖς χερσὶν αὐτῶν ἑκάτερος τὸ Στοιχάριον αὐτοῦ, καὶ ποιοῦσι προσκυνήματα γʹ. πρὸς ἀνατολὰς, λέγοντες, καθ' ἑαυτὸν ἑκάτερος τὸ, **Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.** Εἶτα προσέρχεται τῷ Ἱερεῖ ὁ Διάκονος, κρατῶν ἐν τῇ δεξιᾷ χειρὶ τὸ Στοιχάριον σὺν τῷ Ὠραρίῳ, καὶ ὑποκλίνας τὴν ἑαυτοῦ κεφαλὴν, λέγει· **Εὐλόγησον, Δέσποτα, τὸ Στοιχάριον σὺν τῷ Ὠραρίῳ.**

Ὁ δὲ Ἱερεὺς λέγει·

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Εἶτα ὑποχωρεῖ καθ' ἑαυτὸν ὁ Διάκονος εἰς ἓν μέρος τοῦ Ἱερατείου, καὶ ἐνδύεται τὸ Στοιχάριον, εὐχόμενος οὕτως·

**Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.**

Καὶ τὸ μὲν Ὠράριον ἀσπασάμενος, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ· τὰ δὲ ἐπιμάνικα ἐπιθέμενος ταῖς χερσὶν, ἐν μὲν τῇ δεξιᾷ, λέγει·

**Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.**

Ἐν δὲ τῇ ἀριστερᾷ, λέγει·

**Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.**

Εἶτα ἀπελθὼν ἐν τῇ Προθέσει, εὐτρεπίζει τὰ Ἱερὰ, τὸν μὲν ἅγιον Δίσκον τιθεὶς ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ Ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ ἄλλα σὺν αὐτοῖς.

Καὶ ὁ Ἱερεὺς δὲ οὕτως ἐνδύεται· Λαβὼν τὸ Στοιχάριον ἐν τῇ ἀριστερᾷ χειρὶ, καὶ προσκυνήσας τρίτον κατὰ ἀνατολὰς, ὡς εἴρηται, σφραγίζων αὐτὸ, λέγει·

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα ἐνδύεναι αὐτὸ, λέγων·

Ἀγαλλιάσεται ἡ ψυχή μου, (ἕως τέλους, ὡς ἀνωτέρω).

Εἶτα λαβὼν τὸ Ἐπιτραχήλιον, καὶ σφραγίσας, περιτίθεται αὐτὸ, λέγων·

Εὐλογητὸς ὁ Θεὸς, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς Ἱερεῖς αὐτοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ· ὡς δρόσος Ἀερμὼν, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών· ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Εἶτα, λαβὼν τὴν ζώνην, λέγει περιζωννύμενος·

Εὐλογητὸς ὁ Θεὸς, ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου, πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τὰ δὲ Ἐπιμάνικα, ὡς ἄνωθεν εἴρηται. Εἶτα λαβὼν τὸ Ὑπογονάτιον, εἰ ἔστι Πρωτοσύγκελλος τῆς Μεγάλης Ἐκκλησίας, ἢ ἄλλος τις ἔχων ἀξίωμα, καὶ εὐλογήσας αὐτὸ, καὶ ἀσπασάμενος, λέγει·

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, Δυνατὲ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου· καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε, ἕνεκεν ἀληθείας, καὶ πρᾳότητος, καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα λαβὼν τὸ Φελόνιον, καὶ εὐλογήσας, ἀσπάζεται, λέγων οὕτως·

Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα ἀπελθόντες εἰς τὸ Χωνευτήριον, νίπτουσι τὰς χεῖρας, λέγοντες, ἑκάτερος καθ' ἑαυτόν·

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ Θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν Οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου· μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων· ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με· ὁ πούς μου ἔςη ἐν εὐθύτητι· ἐν Ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Καὶ ὅτως ἀπέρχονται ἐν τῇ Προθέσει. Εἶτα, προσκυνήματα τρία ἔμπροσθεν τῆς Προθέσεως ποιήσαντες, λέγουσιν ἑκάτερος τό,

**Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με.**

Καὶ τό,

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου Αἵματι· τῷ Σταυρῷ προσηλωθεὶς, καὶ τῇ Λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις. Σωτὴρ ἡμῶν, δόξα σοι· (τοῦτο λέγει μόνον ὁ Ἱερεύς).

Εἶτα λέγει ὁ Διάκονος· **Εὐλόγησον, Δέσποτα.**

Καὶ ποιεῖ ὁ Ἱερεὺς Εὐλογητόν· **Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.**

Εἶτα λαμβάνει, ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν Προσφορὰν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν Λόγχην, καὶ σφραγίζων μετ' αὐτῆς τρίτον ἐπάνω τῆς σφραγῖδος τῆς Προσφορᾶς, λέγει·

**Εἰς ἀνάμνησιν τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.** (ἐκ τρίτου).

Καὶ εὐθὺς πήγνυσι τὴν Λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγῖδος, καὶ λέγει ἀνατέμνων·

**Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.**

Ἐν δὲ τῷ ἀριστερῷ·

**Καὶ ὡς Ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.**

Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγῖδος·

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Ἐν δὲ τῷ κάτω·

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

Ὁ δὲ Διάκονος, ἐνορῶν εὐλαβῶς τῇ τοιαύτῃ τελετῇ, λέγει καθ' μίαν ἑκάστην ἀνατομήν·

**Τοῦ Κυρίου δεηθῶμεν·** κρατῶν καὶ τὸ Ὡράριον ἐν τῇ χειρί.

Μετὰ ταῦτα, λέγει· **Ἔπαρον, Δέσποτα.**

Καὶ ὁ Ἱερεὺς, ἐμβαλὼν τὴν ἁγίαν Λόγχην ἐκ πλαγίου τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

δεξιοῦ μέρους τῆς Προσφορᾶς, ἐπαίρει τὸν ἅγιον Ἄρτον, λέγων οὕτως· **Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ·**

Καὶ θεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ Δίσκῳ, εἰπόντος τοῦ Διακόνου, **Θῦσον, Δέσποτα·** θύει αὐτὸν σταυροειδῶς, οὕτω λέγων·

**Θύεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.**

Καὶ στρέφει τὸ ἕτερον μέρος ἐπάνω, τὸ ἔχον τὸν Σταυρόν· νύττων δὲ αὐτὸ ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς Λόγχης, ἀμέσως ὑπὸ τὸ ὄνομα ΙΣ, ἐπιλέγει·

**Εἷς τῶν στρατιωτῶν Λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε· καὶ εὐθέως ἐξῆλθεν Αἷμα καὶ Ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.**

Ὁ δὲ Διάκονος ἐγχέει τῷ ἁγίῳ Ποτηρίῳ ἐκ τοῦ νάματος ὁμοῦ καὶ τοῦ ὕδατος, εἰπὼν πρότερον πρὸς τὸν Ἱερέα·

**Εὐλόγησον, Δέσποτα, τὴν ἁγίαν ἕνωσιν.** Ὁ δὲ Ἱερεὺς εὐλογεῖ αὐτά, λέγων· **Εὐλογημένη ἡ ἕνωσις τῶν Ἁγίων σου πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Καὶ λαβὼν ὁ αὐτὸς ἐν ταῖς χερσὶ τὴν πρώτην σφραγίδα, λέγει·

**Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν Θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον.**

Καὶ αἴρων μερίδα, τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου Ἄρτου, πλησίον τῆς μέσης αὐτοῦ, λέγων·

**Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.**

Εἶτα λαβὼν β'. σφραγίδα, καὶ αἴρων μερίδα μίαν ἐξ αὐτῆς, τίθησιν αὐτὴν ἐν τῷ ἀριστερῷ μέρει τοῦ ἁγίου Ἄρτου, πλησίον αὐτοῦ, ἀπέναντι τῆς μερίδος τῆς Θεοτόκου· καὶ ποιῶν ἀρχὴν τῆς πρώτης τάξεως, λέγει·

**Εἰς τιμὴν καὶ μνήμην τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ, καὶ Γαβριὴλ, καὶ πασῶν τῶν ἐπουρανίων Δυνάμεων ἀσωμάτων.**

Εἶτα, αἴρων δευτέραν μερίδα, λέγει·

**Τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων Προφητῶν Μωσέως, καὶ**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἀαρὼν, Ἠλιοὺ, Ἐλισσαίου, Δαυῒδ, καὶ Ἰεσσαί· τῶν ἁγίων τριῶν Παίδων, καὶ Δανιὴλ τοῦ Προφήτου, καὶ πάντων τῶν ἁγίων Προφητῶν. Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς πρώτης, εὐτάκτως.

Εἶτ' αὖθις λέγει·

Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, Πέτρου καὶ Παύλου, τῶν Δώδεκα, καὶ Ἑβδομήκοντα, καὶ πάντων τῶν ἁγίων Ἀποστόλων.

Καὶ οὕτω τίθησι τὴν τρίτην μερίδα ὑποκάτω τῆς δευτέρας, τελειῶν τὴν πρώτην τάξιν.

Εἶτα λέγει·

Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου, καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις, καὶ πάντων τῶν ἁγίων Ἱεραρχῶν.

Καὶ αἴρων δ'. μερίδα, τίθησιν αὐτὴν πλησίον τῆς ά. μερίδος, ποιῶν δευτέραν ἀρχήν.

Εἶτα πάλιν λέγει·

Τοῦ ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων Μεγάλων Μαρτύρων Δημητρίȣ, Γεωργίου, Θεοδώρου, καὶ πάντων καὶ πασῶν τῶν ἁγίων Μαρτύρων.

Καὶ αἴρων πέμπτην μερίδα, τίθησιν αὐτὴν ὑποκάτω τῆς ά., τῆς οὔσης ἀρχῆς τῆς δευτέρας τάξεως. Ἔπειτα λέγει·

Τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάββα, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ πάντων καὶ πασῶν τῶν Ὁσίων.

Καὶ οὕτως, αἴρων ἕκτην μερίδα, τίθησιν αὐτὴν ὑποκάτω τῆς β'. μερίδος, εἰς ἀναπλήρωσιν τῆς β'. τάξεως. Μετὰ δὲ ταῦτα λέγει·

Τῶν ἁγίων, καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάȣ, καὶ πάντων τῶν ἁγίων Ἀναργύρων.

Καὶ αἴρων ζ'. μερίδα, τίθησιν αὐτὴν ἄνω, ποιῶν γ'. ἀρχὴν κατὰ τάξιν. Εἶτ' αὖθις λέγει·

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ Ἁγίου τῆς ἡμέρας,) καὶ πάντων τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός.

Καὶ τίθησιν ὀγδόην μερίδα ὑποκάτω τῆς α. εὐτάκτως.

Ἔτι δὲ πρὸς τούτοις, λέγει·

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, Ἀρχιεπισκόπȣ Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου (εἴπερ λέγεται ἡ Λειτουργία αὐτοῦ· εἰ δὲ λέγεται τοῦ Μεγάλου Βασιλείȣ, τούτου μνημονεύει). Καὶ οὕτως, αἴρων καὶ τὴν ἐννάτην μερίδα, τίθησιν αὐτὴν ἐν τῷ τέλει τῆς τρίτης τάξεως εἰς ἀναπλήρωσιν.

Εἶτα, λαβὼν τρίτην σφραγίδα, λέγει·

Μνήσθητι, Δέσποτα φιλάνθρωπε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων, τοῦ Ἐπισκόπου ἡμῶν (τȣ̃ δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς Ἱερατικοῦ τάγματος, (τοῦ δεῖνος) Καθηγουμένου, τῶν Ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, Πρεσβυτέρων, Διακόνων, καὶ πάντων τῶν Ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν, διὰ τῆς σῆς εὐσπλαγχνίας, πανάγαθε Δέσποτα.

Καὶ αἴρων μερίδα, τίθησιν αὐτὴν ὑποκάτω τοῦ ἁγίου Ἄρτου. Εἶτα μνημονεύει καὶ ὧν ἔχει ζώντων κατ' ὄνομα· καὶ οὕτως, αἴρων τὰς μερίδας, τίθησιν αὐτὰς ὑποκάτω.

Ἔπειτα, λαβὼν ἑτέραν σφραγίδα, λέγει·

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης.

Εἶτα μνημονεύει τȣ̃ χειροτονήσαντος αὐτὸν, Ἀρχιερέως, καὶ ἑτέρων, ὧν θέλει κεκοιμημένων κατ' ὄνομα· καὶ τελευταῖον ἐπιλέγει οὕτω·

Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίȣ, τῶν τῇ σῇ κοινωνίᾳ κεκοιμημένων Ὀρθοδόξων, πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε. Καὶ αἴρει μερίδα.

Μνημονεύει δὲ καὶ ὁ Διάκονος ὧν βούλεται, ζώντων καὶ τεθνεώτων, αἴροντος τȣ̃ Ἱερέως μερίδας ὑπὲρ αὐτῶν. Καὶ τελευταῖον λέγει ὁ Ἱερεύς·

Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος, καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε, καὶ ἀκούσιον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ λαβὼν τὴν Μοῦσαν, συστέλλει τὰς ἐν τῷ Δίσκῳ μερίδας ὑποκάτω τοῦ ἁγίου Ἄρτου, ὥστε εἶναι ἐν ἀσφαλείᾳ, καὶ μὴ ἐκπεσεῖν τι. Εἶτα ὁ Διάκονος, λαβὼν τὸ Θυμιατήριον, καὶ θυμίαμα βαλὼν ἐν αὐτῷ, λέγει πρὸς τὸν Ἱερέα· **Εὐλόγησον, Δέσποτα, τὸ θυμίαμα.** Καὶ εὐθὺς ὁ αὐτός· **Τοῦ Κυρίου δεηθῶμεν.**

Καὶ ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν τοῦ Θυμιάματος.

**Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.**

Ὁ Διάκονος· **Τοῦ Κυρίου δεηθῶμεν.**

Καὶ ὁ Ἱερεύς, θυμιάσας τὸν Ἀστερίσκον, τίθησιν ἐπάνω τοῦ ἁγίου Ἄρτου, λέγων·

**Καὶ ἐλθὼν ὁ Ἀστήρ, ἔστη ἐπάνω, οὗ ἦν τὸ Παιδίον.**

Ὁ Διάκονος· **Τοῦ Κυρίου δεηθῶμεν.**

Ὁ Ἱερεύς, θυμιῶν τὸ πρῶτον Κάλυμμα, σκεπάζει τὸν ἅγιον Ἄρτον σὺν τῷ Δίσκῳ, λέγων·

**Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο ὁ Κύριος δύναμιν, καὶ περιεζώσατο.**

Ὁ Διάκονος· **Τοῦ Κυρίου δεηθῶμεν. Κάλυψον, Δέσποτα.**

Καὶ ὁ Ἱερεύς, θυμιῶν τὸ δεύτερον Κάλυμμα, σκεπάζει τὸ ἅγιον Ποτήριον, λέγων·

**Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ.**

Ὁ Διάκονος· **Τοῦ Κυρίου δεηθῶμεν. Σκέπασον, Δέσποτα.**

Ὁ Ἱερεύς, θυμιῶν τὸ γ΄. Κάλυμμα, ἤτοι τὸν Ἀέρα, καὶ σκεπάζων ἀμφότερα, λέγει·

**Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.**

Εἶτα, λαβὼν ὁ Ἱερεὺς τὸν Θυμιατόν, θυμιᾷ τὴν Πρόθεσιν, λέγων ἐκ τρίτου, τό,

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας· δόξα σοι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ δὲ Διάκονος ἐν ἑκάστῃ λέγει·

**Πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Καὶ προσκυνοῦσιν εὐλαβῶς ἀμφότεροι, ἐκ γ'.

Ἔπειτα, λαβὼν ὁ Διάκονος τὸν Θυμιατὸν, λέγει ἐπὶ τῇ Προθέσει τῶν τιμίων Δώρων· **Τοῦ Κυρίου δεηθῶμεν.**

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχὴν τῆς Προθέσεως·

**Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον Ἄρτον,** κ.τ.λ. σελ. **44.**

Καὶ μετὰ τοῦτο ποιεῖ Ἀπόλυσιν ἐκεῖσε, λέγων οὕτω·

**Δόξα σοι, Χριστὲ ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.**

Ὁ Διάκονος **Δόξα, καὶ νῦν. Κύριε ἐλέησον· Δέσποτα, εὐλόγησον.**

Καὶ ποιεῖ τὴν Ἀπόλυσιν ὁ Ἱερεὺς, οὕτω λέγων· εἰ μὲν ἐστι Κυριακὴ, **Ὁ ἀναστὰς ἐκ νεκρῶν·** εἰδὲ μὴ,

**Χριστὸς, ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς, τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου,** (εἰδὲ τελεῖται ἡ Λειτουργία τοῦ Μεγάλου Βασιλείου, λέγει· **Βασιλείου Καισαρείας Καππαδοκίας τοῦ Μεγάλου), καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.** Ὁ Διάκονος· **Ἀμήν.**

Μετὰ δὲ τὴν Ἀπόλυσιν, θυμιᾷ ὁ Διάκονος τὴν ἁγίαν Πρόθεσιν· εἶτα ἀπέρχεται καὶ θυμιᾷ τὴν ἁγίαν Τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ' ἑαυτόν· **Ἐν τάφῳ σωματικῶς·** καὶ τὸν Ν'. Ἐν ᾧ, θυμιάσας τό,τε Ἱερατεῖον, καὶ τὸν Ναὸν ὅλον, εἰσέρχεται αὖθις εἰς τὸ ἅγιον Βῆμα, καὶ θυμιάσας τὴν ἁγίαν Τράπεζαν αὖθις καὶ τὸν Ἱερέα, τὸν μὲν Θυμιατὸν ἀποτίθησιν ἐν τῷ ἰδίῳ τόπῳ· αὐτὸς δὲ προσέρχεται τῷ Ἱερεῖ, καὶ στάντες ὁμοῦ πρὸ τῆς ἁγίας Τραπέζης, προσκυνοῦσιν ἐκ τρίτου, καθ' ἑαυτοὺς εὐχόμενοι, καὶ λέγοντες·

**Βασιλεῦ οὐράνιε. Δόξα ἐν ὑψίστοις Θεῷ.** Τρίς.

**Κύριε, τὰ χείλη μου ἀνοίξεις.** Δίς.

Εἶτα ἀσπάζονται, ὁ μὲν Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, ὁ δὲ Διάκονος τὴν ἁγίαν Τράπεζαν. Καὶ μετὰ τοῦτο ὑποκλίνας ὁ Διάκονος τὴν ἑαυτοῦ κεφαλὴν τῷ Ἱερεῖ, κρατῶν καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς, λέγει·

**Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· Δέσποτα ἅγιε, εὐλόγησον.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

*Καὶ ὁ Ἱερεὺς, σφραγίζων αὐτὸν, λέγει·*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα ὁ Διάκονος·*

Εὖξαι ὑπὲρ ἐμοῦ, Δέσποτα ἅγιε.

*Ὁ δὲ Ἱερεύς·* Κατευθύναι Κύριος τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.

*Καὶ πάλιν ὁ Διάκονος·*

Μνήσθητί μου, Δέσποτα ἅγιε. *Ὁ δὲ Ἱερεύς·*

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Καὶ ὁ Διάκονος εἰπὼν τὸ, Ἀμὴν, καὶ προσκυνήσας ἐξέρχεται· καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, κατέναντι τῶν ἁγίων Θυρῶν, προσκυνεῖ μετ' εὐλαβείας τρίτον, λέγων καθ' ἑαυτὸν τὸ,* Κύριε, τὰ χείλη μου ἀνοίξεις. *Καὶ μετὰ τοῦτο λέγει·* Εὐλόγησον, Δέσποτα.

*Καὶ ἄρχεται ὁ Ἱερεύς·*

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρός.

# ΣΥΝΤΟΜΟΣ ΕΡΜΗΝΕΙΑ

Περὶ τοῦ, τίνα τὰ δεξιὰ μέρη τοῦ ἁγίου Ἄρτου, ἐν οἷς τιθέναι εἰώθαμεν τό,τε ἅγιον Ποτήριον, τὴν Σφραγίδα τῆς Θεοτόκου, καὶ τὰς λοιπὰς τῶν Ἁγίων ἐννέα Μερίδας, καὶ τίνος ἕνεκεν ἐννέα, καὶ οὐ πλείους, ἢ ἐλάττους τιθέμεθα.

Ἄφραστον τῷόντι, καὶ ἀκατάληπτον τὸ τῆς φρικτῆς καὶ ἱερᾶς τελετῆς Μυστήριον, καὶ αὐταῖς ταῖς ὑπερτάταις Δυνάμεσι· τὸ γὰρ αὐτὸ πανακήρατον τοῦ Κυρίου Σῶμα, ἐν τοῖς οὐρανίοις καὶ αὐτοπρεπωδεστάτοις αὐτῷ θρόνοις ἐφεζόμενον, ἐντρόμως τε καὶ ἐμφόβως κεκαλυμμέναις ταῖς πτέρυξι λειτουργοῦσι· τοῦτ' αὐτὸ καθ' ἑκάστην ἐπὶ γῆς τοῖς γηΐνοις ἡμῖν ὁρᾶται τελούμενον. Ἀλλ' ἐπειδὴ οὕτως ὁ τοῦτο τελῶν καὶ τελούμενος Ἰησοῦς, δι' ἣν ἀνυπέρβλητον πρὸς τὸν ἄνθρωπον ἀγάπην ἔχων ἀεὶ διατελεῖ, ἄνθρωπος γενέσθαι ηὐδόκησε, καὶ κατὰ πάντα τοῦ ἡμετέρου φυράματος, πλὴν τῆς ἁμαρτίας, κεκοινώνηκε, (τρόπος τοῦτο τῆς θεϊκῆς αὐτοῦ συγκαταβάσεως ἄῤῥητος), τέλειος γενόμενος ἄνθρωπος, καὶ ὑπὲρ ἡμῶν ἔπαθε τῇ σαρκὶ, οὐ τῇ Θεότητι· καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος· καὶ ἀναληφθεὶς ἀφ' ἡμῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

εἰς τὸν οὐρανὸν, μετὰ τὸ παθεῖν, καὶ ἀναστῆναι αὐτὸν, ἕως τῆς συντελείας τοῦ αἰῶνος μεθ' ἡμῶν ἐπηγγείλατο εἶναι, σωματικῶς καθ' ἑκάστην διὰ τῆς ἱερᾶς Τελετῆς μέλλων τελεῖσθαι· διάτοι τοῦτο καὶ σημᾶναι διὰ λόγου τὰ ἐν αὐτῷ τελούμενα, ὡς Υἱὸς καὶ Λόγος τοῦ ἀοράτου αὐτοῦ Πατρὸς, δι' ἄκραν αὐτοῦ ἀγαθότητα ἡμῖν ἐνετείλατο σοφίαν καὶ σύνεσιν χαριζόμενος. Τοιγαροῦν αὐτῷ θαῤῥοῦντες, τὰ περὶ αὐτοῦ, ὡς οἷόν τε, σαφηνίζομεν, οὕτως ἀρχόμενοι.

Δεξιὰ μέρη τοῦ ἁγίου Ἄρτου λέγεται, ἐν οἷς οὐ τίθεται τὸ ἅγιον Ποτήριον· καὶ γὰρ ἐν τῇ ἁγίᾳ Προθέσει ὁ Ἱερεὺς, θύων τὸν Ἄρτον, ποιεῖ τὴν Σταύρωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς διὰ τὴν ἄκραν αὐτοῦ μακροθυμίαν καὶ συγκατάβασιν, οὐκ ἔμπροσθεν, ἀλλ' ὄπισθεν τοῦ παναγίου Σώματος αὐτοῦ εἶχε τὸν Σταυρὸν, ὃν ὁ Ἱερεὺς ποιεῖ διὰ τῆς ἁγίας Λόγχης, λέγων τὸ, Σταυρωθέντος σου Χριστέ· καὶ οὗτος μέν ἐστιν ὁ ἀληθῶς ἐννοούμενος Σταυρὸς τοῦ Χριστοῦ. Ὁ δὲ ἕτερος, ὁ κατὰ τὴν ἐπιφάνειαν καθορώμενος, οὐ κεῖται γεγονὼς εἰς δήλωσιν τῆς Σταυρώσεως τοῦ Κυρίου, ἀλλ' εἰς τιμὴν μόνον καὶ διορισμὸν τοῦ ἁγιασθησομένου τοιούτου Ἄρτου. Διὸ καὶ παρὰ γυναικῶν καὶ ἀρτοποιῶν τῷ τύπῳ τῆς ξυλίνης σφραγῖδος, πρὸ τοῦ ὀπτηθῆναι τὸν ἄρτον, ἐντυποῦται, οἵ τινες οὐδόλως εἰς ἀπαρτισμὸν τοῦ Μυστηρίου συντελοῦσιν. Ὅθεν τὰ ἄνω μέρη τοῦ ἄρτου, τὰ ἔχοντα τὸν Σταυρὸν, τὸν παρὰ γυναικῶν καὶ ἀρτοποιῶν ἀποτελούμενον, ἐστὶ τὰ ἔμπροσθεν τοῦ παναγίου Σώματος τοῦ Χριστοῦ· τὰ δὲ ἕτερα, τὰ ἔχοντα τὸν Σταυρὸν, ὃν πεποίηκε διὰ τῆς Λόγχης ὁ Ἱερεὺς, τυγχάνει τὰ ὄπισθεν. Τούτων δὲ οὕτω διωρισμένων, πρόδηλόν ἐστιν, ὅτι τὰ ἐν οἷς οὐ τίθεται τὸ ἅγιον Ποτήριον μέρη, εἰσὶ τὰ δεξιὰ τοῦ ἁγίου Ἄρτου· τὰ δὲ λοιπὰ, ἐν οἷς κεῖται τὸ ἅγιον Ποτήριον, ὑπάρχει τὰ ἀριστερά. Καὶ εἰς μὲν τὸ δεξιὸν μέρος, τίθεμεν τὴν μερίδα τῆς Παναγίας, (καθ' ὃ καὶ τὴν λόγχευσιν ποιοῦμεν), κατὰ τὸν Προφήτην τὸν λέγοντα· Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. Εἰς δὲ τὸ λοιπὸν, τίθεμεν τὰς λοιπὰς μερίδας τῶν Ἁγίων· ἃς οὐ πλείους, οὐδ' ἐλάττους, ἀλλ' ἐννέα τιθέμεθα, κατὰ μίμησιν τῶν οὐρανίων Ταγμάτων. Ὥσπερ γὰρ ἐκεῖσε, κατὰ τὸν πολὺν ἐν Θεολογίᾳ Διονύσιον τὸν Ἀρεοπαγίτην, εἰς ἐννέα τάγματα πᾶσα τούτων ἡ στρατιὰ διῄρηται, οὕτω κἀνταῦθα θεοπρεπέστατα· ὁ αὐτὸς γὰρ ἐν ἀμφοτέροις τυγχάνων διατελεῖ Ἰησοῦς. Εἰς τρεῖς δὲ τάξεις, ἵνα, ὡς αὐτὸς πάλιν, ἐν τῷ περὶ οὐρανίου Ἱεραρχίας ἕκτῳ, ἑβδόμῳ τε, καὶ ὀγδόῳ Κεφαλαίῳ, εἰς τρεῖς ἀφορίζει τριαδικὰς διακοσμήσεις πάσας τὰς οὐρανίους Ἱεραρχίας, ὅλην εὐτάκτως ἕξῃ τὴν μίμησιν.

Αὕτη δὲ ἡ τάξις, ἣν ἐν τῷ παρόντι ἐσημειώσαμεν, εἴωθε γίγνεσθαι καὶ ἐν πᾶσι τοῖς ἱεροῖς Μοναστηρίοις τοῦ ἁγίου Ὄρους, ἅ τινα σώζουσιν ἀπαραλλάκτως τὰς παραδεδομένας τάξεις ὑπὸ τῶν πάλαι ἁγίων Πατέρων, ὡς οἱ ἐκεῖσε παραγεγονότες ἐπιμαρτύρονται. Εἰ δὲ καὶ ἐν τοῖς πρότερον τυπωθεῖσιν Εὐχολογίοις τοὐναντίον τῆς παρούσης τάξεως καὶ ἑρμηνείας καθορᾶται, οὐ χρὴ ἀποδέχεσθαι τοῦτο, ὡς καὶ παρὰ τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας ἀποβληθεῖσα ἡ τοιαύτη διάταξις· ἡ δὲ παροῦσα ἐπικυρωθεῖσά τε, καὶ βεβαιωθεῖσα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

### Εὐχὴ τῆς Προθέσεως.

Ο῾ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον Ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριςὸν ἐξαποστείλας, Σωτῆρα, καὶ Λυτρωτὴν, καὶ Εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον· μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δἰ οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου Μυστηρίων. Ὅτι ἡγίασται, καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τȣ̃ Πατρὸς, καὶ τȣ̃ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος ἐξέρχεται τοῦ Βήματος· καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, καὶ προσκυνήσας τρὶς, λέγει· Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεὺς ἐκφώνως·

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος· εἰ δ᾽ οὐκ ἔστιν, ὁ Ἱερεύς·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὁ Χορός· Κύριε ἐλέησον, καθ᾽ ἕκαστον τῶν ἑπομένων Εἰρηνικῶν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκȣ τούτου, καὶ τῶν μετὰ πίςεως, εὐλαβείας, καὶ φόβȣ Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τȣ̃ Κυρίου δεηθῶμεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

· Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων Βασιλέων ἡμῶν, παντὸς τοῦ Παλατίου, καὶ τοῦ Στρατοπέδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς (ἢ τῆς Πόλεως) ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίȣ δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

Εὐχὴ Ἀντιφώνου Α΄. ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον Οἶκον τȣ̃τον, καὶ ποίησον μεθ' ἡμῶν, καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐν τοσούτῳ ψάλλεται παρὰ τοῦ Χοροῦ τὸ πρῶτον Ἀντίφωνον, ἢ τὰ Τυπικά, εἰ ἔστι Κυριακή. Ὁ δὲ Διάκονος προσκυνήσας, μεθίσταται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ ἀπελθὼν ἵσταται ἐνώπιον τῆς Εἰκόνος τῆς Θεοτόκου, βλέπων πρὸς τὴν Εἰκόνα τοῦ Χριστοῦ, κρατῶν καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός. Εὐχὴ Ἀντιφώνου Β'. Μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ Οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ψαλλομένου Ἀντιφώνου, ἐλθὼν ὁ Διάκονος, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, καὶ προσκυνήσας, λέγει·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ψάλλεται ὁμοίως παρὰ τοῦ Χοροῦ τὸ β'. Ἀντίφωνον. Ὁ δὲ Διάκονος ὁμοίως ποιεῖ, ὡς καὶ ἐν τῇ προτέρᾳ Εὐχῇ.

Εὐχὴ Ἀντιφώνου Γ'. Μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχὰς, ὁ καὶ δυσὶ καὶ τρισὶ, συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ψαλλομένου δὲ τοῦ τρίτου Ἀντιφώνου παρὰ τῶν Ψαλτῶν, ἢ τῶν Μακαρισμῶν, ἐὰν ᾖ Κυριακὴ, ὅταν ἔλθωσιν εἰς τὸ, **Δόξα**, ὁ Ἱερεὺς καὶ ὁ Διάκονος, στάντες ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, ποιοῦσι προσκυνήματα τρία. Εἶτα, λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, δίδωσι τῷ Διακόνῳ. Καὶ οὕτως ἐξελθόντες διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων, ποιοῦσι τὴν μικρὰν Εἴσοδον· καὶ στάντες ἐν τῷ συνήθει τόπῳ, κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς. Καὶ τοῦ Διακόνου εἰπόντος ἠρέμα, **Τοῦ Κυρίου δεηθῶμεν**, λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν τῆς Εἰσόδου μυστικῶς.

Εὐχὴ τῆς Εἰσόδου τοῦ ἁγίου Εὐαγγελίου. Μυστικῶς.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ Εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τῆς Εὐχῆς δὲ τελεσθείσης, λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα, δεικνύων πρὸς ἀνατολὰς τῇ δεξιᾷ, κρατῶν ἅμα καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις·

**Εὐλόγησον, Δέσποτα, τὴν ἁγίαν Εἴσοδον.**

Καὶ ὁ Ἱερεὺς εὐλογῶν, λέγει·

Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶθ' οὕτως ἀπέρχεται πρὸς τὸν Ἡγούμενον ὁ Διάκονος, καὶ ἀσπάζεται τὸ Εὐαγγέλιον, εἰ πάρεστιν· εἰδὲ μὴ, ἀσπάζεται τοῦτο ὁ Ἱερεύς. Πληρωθέντος δὲ τοῦ τελευταίου Τροπαρίου, ἔρχεται ὁ Διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἱερέως, ἀνυψοῖ μικρὸν τὰς χεῖρας, καὶ δεικνύων τὸ ἅγιον Εὐαγγέλιον, λέγει μεγαλοφώνως· **Σοφία, ὀρθοί.**

Εἶτα, προσκυνήσας αὐτός τε, καὶ ὁ Ἱερεὺς κατόπισθεν αὐτοῦ, εἰσέρχονται εἰς τὸ ἅγιον Βῆμα· καὶ ὁ μὲν Διάκονος ἀποτίθησι τὸ ἅγιον Εὐαγγέλιον ἐν τῇ ἁγίᾳ Τραπέζῃ, οἱ δὲ Ψάλται λέγουσι τὰ συνήθη Τροπάρια· καὶ ὅταν εἴπωσι τὸ ὕστερον, λέγει ὁ Διάκονος· **Εὐλόγησον, Δέσποτα, τὸν καιρὸν τοῦ Τρισαγίου**· εἶτα ἐκφώνως· **Τοῦ Κυρίου δεηθῶμεν.**

Ὁ δὲ Ἱερεὺς ἐκφώνως·

**Ὅτι Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί·**

Ὁ Διάκονος· **Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· **Ἀμήν.**

Ψαλλομένου δὲ τοῦ Τρισαγίου, λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην μυστικῶς·

Εὐχὴ τοῦ Τρισαγίου Ὕμνου.

Ὁ Θεὸς, ὁ Ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρα ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου Θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτὸς, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν Τρισάγιον Ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, σοὶ τὴν δόξαν ἀναπέμπομεν κ.τ.λ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ταύτης δὲ τελεσθείσης, λέγουσι καὶ αὐτοὶ, ὅ,τε Ἱερεὺς καὶ ὁ Διάκονος, τὸ Τρισάγιον, ποιοῦντες ὁμοῦ καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας Τραπέζης.

Εἶτα λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα·

**Κέλευσον, Δέσποτα.** Καὶ ἀπέρχονται ἐν τῇ Καθέδρᾳ.

Καὶ ὁ Ἱερεὺς λέγει ἀπερχόμενος·

**Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.**

Ὁ δὲ Διάκονος· **Εὐλόγησον, Δέσποτα, τὴν ἄνω Καθέδραν.**

Καὶ ὁ Ἱερεύς·

**Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς Βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ Τρισαγίου, ὁ Διάκονος, ἐλθὼν ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, λέγει·

**Πρόσχωμεν.** Καὶ ὁ Ἀναγνώστης· Ψαλ. τῷ Δαυΐδ. Καὶ ὁ Διάκονος αὖθις· **Σοφία.** Καὶ ὁ Ἀναγνώστης τὸ Προκείμενον τοῦ Ἀποστόλου. Καὶ αὖθις ὁ Διάκονος· **Πρόσχωμεν.** Καὶ τοῦ Ἀποστόλου πληρωθέντος, λέγει ὁ Ἱερεύς· **Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.** Καὶ ὁ Ἀναγνώστης· **Ἀλληλούϊα,** Ψαλμὸς τῷ Δαυΐδ. Τοῦ δὲ **Ἀλληλούϊα** ψαλλομένου, λαβὼν ὁ Διάκονος τὸ Θυμιατήριον καὶ τὸ θυμίαμα, πρόσεισι τῷ Ἱερεῖ· καὶ λαβὼν εὐλογίαν παρ᾽ αὐτοῦ, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν, καὶ τὸ Ἱερατεῖον ὅλον, καὶ τὸν Ἱερέα. Καὶ ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν ταύτην μυστικῶς.

Εὐχὴ πρὸ τοῦ Εὐαγγελίου.

**Ἔλλαμψον** ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ δὲ Διάκονος, τὸ Θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν Ἱερέα, καὶ ὑποκλίνας αὐτῷ τὴν κεφαλὴν, κρατῶν τὸ Ὠράριον σὺν τῷ ἁγίῳ Εὐαγγελίῳ τοῖς ἄκροις δακτύλοις, δηλονότι ἐν ἐκείνῳ τῷ τόπῳ τῆς ἁγίας Τραπέζης, λέγει·

**Εὐλόγησον, Δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ (** τοῦδε **).**

Ὁ δὲ Ἱερεὺς, σφραγίζων αὐτὸν, λέγει·

**Ὁ Θεὸς, διὰ πρεσβειῶν τοῦ ἁγίου, ἐνδόξου, Ἀποστόλου καὶ Εὐαγγελιστοῦ (**τοῦδε**), δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.**

Ὁ δὲ Διάκονος, εἰπὼν τὸ, **Ἀμὴν**, καὶ προσκυνήσας μετ' εὐλαβείας τὸ ἅγιον Εὐαγγέλιον, αἴρει αὐτό· καὶ ἐξελθὼν διὰ τῶν ἁγίων Θυρῶν, προπορευομένων αὐτοῦ λαμπάδων, ἔρχεται, καὶ ἵσταται ἐν τῷ Ἄμβωνι, ἢ ἐν τῷ τεταγμένῳ τόπῳ.

Ὁ δὲ Ἱερεὺς, ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ βλέπων πρὸς δυσμὰς, ἐκφωνεῖ· **Σοφία, ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.** Καὶ ὁ Διάκονος· **Ἐκ τοῦ κατὰ (** τόνδε **) ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.** Ὁ Ἱερεύς· **Πρόσχωμεν.**

Καὶ πληρωθέντος τοῦ Εὐαγγελίου, λέγει πρὸς τὸν Διάκονον ὁ Ἱερεύς· **Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ.** Καὶ ὁ Διάκονος, ἐλθὼν ἕως τῶν ἁγίων Θυρῶν, ἀποδίδωσι τὸ ἅγιον Εὐαγγέλιον τῷ Ἱερεῖ· καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, ἄρχεται οὕτως·

**Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.**

Ὁ Χορός· **Κύριε ἐλέησον, γ'.**

**Κύριε Παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.**

**Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.**

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας. Μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΣΑΜΟΥ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

φ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ὁ Διάκονος·

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν, καὶ ὀρθοδόξων Χριςιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν Ἀδελφῶν ἡμῶν, τῶν Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων, καὶ Μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης, (ἢ τοῦ Ἁγίου Οἴκου τούτου) καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων, καὶ ἁπανταχοῦ Ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, καὶ ἀφέσεως ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν Ἀδελφῶν τῆς ἁγίας Μονῆς ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ, καὶ πανσέπτῳ Ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος Λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἐκφώνησις ὑπὸ τοῦ Ἱερέως.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος.

Εὔξασθε, οἱ Κατηχούμενοι, τῷ Κυρίῳ.

Οἱ Πιστοὶ, ὑπὲρ τῶν Κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ·

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας·

Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης·

Ἑνώσῃ αὐτοὺς τῇ Ἁγίᾳ αὐτοῦ, Καθολικῇ, καὶ Ἀποςολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτοὺς, ὁ Θεὸς, τῇ σῇ χάριτι.

Οἱ Κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εὐχὴ ὑπὲρ Κατηχουμένων, μυστικῶς λεγομένη παρὰ τοῦ Ἱερέως, πρὸ τῆς ἁγίας Ἀναφορᾶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας, τὸν μονογενῆ σου Υἱὸν καὶ Θεὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς Κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ Ἁγίᾳ σου, Καθολικῇ, καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ·

Ἐκφώνως.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἐξαπλοῖ τὸ Εἰλητὸν ὁ Ἱερεύς.

Καὶ ὁ Διάκονος·

Ὅσοι Κατηχούμενοι, προέλθετε· οἱ Κατηχούμενοι, προέλθετε· ὅσοι Κατηχούμενοι, προέλθετε· μήτις τῶν Κατηχουμένων. Ὅσοι Πιστοί,

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Πιστῶν Α΄. μετὰ τὸ ἁπλωθῆναι τὸ Εἰλητόν. Μυστικῶς.

Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεὸς τῶν Δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεὸς, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις, καὶ ἱκεσίας, καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου σου Ἁγίου, ἀκαταγνώστως, καὶ ἀπροσκόπως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ

καιρῷ καὶ τόπῳ· ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Ὁ Διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφία.

Ἐκφώνησις ὑπὸ τοῦ Ἱερέως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Πιστῶν Β'. Μυστικῶς.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δῴης ἡμῖν ἀνένοχον, καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου Θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύειν σοι ἀνενόχως, καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου Μυστηρίων, καὶ τῆς ἐπουρανίου σου Βασιλείας ἀξιωθῆναι.

Ὁ Διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, κ.τ.λ. Σοφία.

Καὶ εἰσέρχεται εἰς τὸ Ἱερόν.

Ἐκφώνησις ὑπὸ τοῦ Ἱερέως.

Ὅπως, ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εὐχή, ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς, τοῦ Χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι, ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ' ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ Ἀρχιερεὺς ἡμῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἐχρηματίσας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου Θυσίας τὴν Ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων· σὺ γαρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ Θρόνου Χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος, καὶ Βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ μόνος Ἅγιος, καὶ ἐν Ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· Ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς Ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ Τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα, καὶ τὸ τίμιον Αἷμα. Σὺ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· Μὴ ἀποςρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ Δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Πληρωθείσης δὲ τῆς Εὐχῆς, λέγουσι καὶ αὐτοὶ τὸν Χερουβικὸν ὕμνον. Εἶτα, λαβὼν τὸν Θυμιατὸν ὁ Ἱερεὺς, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν, καὶ τὸ Ἱερατεῖον ὅλον· ὕστερον δὲ καὶ τὰς Δεσποτικὰς Εἰκόνας, καὶ τὸν λαὸν, μικρὸν προελθὼν τῶν Βημοθύρων· λέγει δὲ καθ' ἑαυτὸν καὶ τὸν Πεντηκοςὸν, καὶ Τροπάρια κατανυκτικὰ ὅσα καὶ βούλεται. Καὶ ἀπέρχονται ἐν τῇ Προθέσει, ὅ,τε Ἱερεὺς καὶ ὁ Διάκονος, προπορευομένου τοῦ Διακόνου. Αὐτὸς δὲ θυμιάσας τὰ Ἅγια, καθ' ἑαυτὸν εὐχόμενος τὸ, Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, λέγει πρὸς τὸν Ἱερέα· Ἔπαρον, Δέσποτα. Καὶ ὁ Ἱερεὺς, ἄρας τὸν Ἀέρα, ἐπιτίθησιν ἐπὶ τῶν ὤμων αὐτοῦ, λέγων·

Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ Ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον.

Εἶτα, τὸν ἅγιον Δίσκον λαβὼν, ἐπιβάλλει τῇ τοῦ Διακόνου

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

κεφαλῇ, μετὰ πάσης προσοχῆς καὶ εὐλαβείας, κρατοῦντος ἅμα τοῦ Διακόνου καὶ τὸν Θυμιατὸν ἐνὶ τῶν δακτύλων. Αὐτὸς δὲ τὸ ἅγιον Ποτήριον ἀνὰ χεῖρας λαβὼν, ἐξέρχονται διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων· καὶ περιέρχονται τὸν Ναὸν, εὐχόμενοι ἀμφότεροι ὑπὲρ πάντων καὶ λέγοντες·

**Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Εἰσελθὼν δὲ ὁ Διάκονος ἔνδον τῶν ἁγίων Θυρῶν, ἵσταται ἐν τοῖς δεξιοῖς. Καὶ μέλλοντος τοῦ Ἱερέως εἰσελθεῖν, λέγει πρὸς αὐτὸν ὁ Διάκονος·

**Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ Βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν καὶ ἀεὶ,** κ.τ.λ.

Καὶ ὁ Ἱερεὺς πρὸς αὐτόν·

**Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱεροδιακονίας σου ἐν τῇ Βασιλείᾳ αὐτȣ̃ πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Καὶ ἀποτίθησι μὲν ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον ἐν τῇ ἁγίᾳ Τραπέζῃ· λαβὼν δὲ καὶ τὸν ἅγιον Δίσκον ἀπὸ τῆς τȣ̃ Διακόνȣ κεφαλῆς, ἀποτίθησι καὶ αὐτὸν ἐν τῇ ἁγίᾳ Τραπέζῃ, λέγων·

**Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν,** κ.τ.λ.

**Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς** κ.τ.λ.

**Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος,** κ.τ.λ.

Εἶτα, τὰ μὲν Καλύμματα ἄρας ἀπό τε τοῦ ἱεροῦ Δίσκου καὶ τοῦ ἁγίου Ποτηρίου, τίθησιν ἐν ἑνὶ μέρει τῆς ἁγίας Τραπέζης· τὸν δὲ Ἀέρα ἀπὸ τῶν τοῦ Διακόνου ὤμων λαβὼν, καὶ θυμιάσας, σκεπάζει δἰ αὐτοῦ τὰ Ἅγια, λέγων·

**Ὁ εὐσχήμων Ἰωσὴφ,** ἕως τοῦ, **κηδεύσας ἀπέθετο.**

Καὶ λαβὼν τὸν Θυμιατὸν ἐκ τῶν τοῦ Διακόνου χειρῶν, θυμιᾷ τὰ Ἅγια τρίς· ὅτε ὁ μὲν Διάκονος λέγει· **Ἀγάθυνον Δέσποτα·** ὁ δὲ Ἱερεύς· **Τότε ἀνοίσουσιν ἐπὶ τὸ Θυσιαςήριόν σȣ μόσχους.**

Καὶ ἀποδοὺς τὸν Θυμιατὸν, καὶ χαλάσας τὸ Φελόνιον, κλίνας τε τὴν κεφαλὴν, λέγει πρὸς τὸν Διάκονον·

**Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ.**

Καὶ ὁ Διάκονος πρὸς αὐτόν·

**Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σȣ ἐν τῇ Βασιλείᾳ αὐτȣ̃**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἶτα ὁ Διάκονος, ὑποκλίνας καὶ αὐτὸς τὴν κεφαλὴν, κρατῶν ἅμα καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς λέγει πρὸς τὸν Ἱερέα·

Εὖξαι ὑπὲρ ἐμοῦ, Δέσποτα ἅγιε.

Καὶ ὁ Ἱερεύς·

Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Καὶ ὁ Διάκονος· Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Καὶ αὖθις ὁ αὐτός· Μνήσθητί μου, Δέσποτα ἅγιε.

Καὶ ὁ Ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἐπειπὼν ὁ Διάκονος τὸ, Ἀμὴν, καὶ ἀσπασάμενος τὴν τοῦ Ἱερέως δεξιὰν, ἐξέρχεται, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῶν προτεθέντων τιμίων Δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ τῆς Προσκομιδῆς, μετὰ τὴν ἐν τῇ ἁγίᾳ Τραπέζῃ τῶν θείων Δώρων ἀπόθεσιν. Μυστικῶς.

Κύριε, ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ μόνος Ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου Θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι Δῶρά τε καὶ Θυσίας πνευματικὰς, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν Θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, κ.τ.λ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ Χορός· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριςιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ὁ Ἱερεὺς ἐκφώνως·

Διὰ τῶν οἰκτιρμῶν τȣ̃ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν· Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος·

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν·

Ὁ Χορός·

Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Καὶ ὁ μὲν Ἱερεὺς, προσκυνήσας τρὶς, ἀσπάζεται τὰ Ἅγια οὕτως, ὡς εἰσὶ κεκαλυμμένα, λέγων μυστικῶς·

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος ςερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου. Ἐκ γ'.

Ὁμοίως καὶ ὁ Διάκονος συμπροσκυνεῖ, ἐν ᾧ ἵςαται τόπῳ· ἀσπάζεται δὲ καὶ τὸ Ὠράριον αὐτȣ̃, ἔνθα ἐςὶ Σταυροῦ τύπος, καὶ οὕτως ἐκφωνεῖ·

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ δὲ Ἱερεὺς, ἄρας τὸν Ἀέρα ἐπάνω τῶν Δώρων, κινεῖ αὐτὸν ἀνοικτόν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὁ Λαὸς τό, Πιστεύω εἰς ἕνα Θεόν.

Εἶτα ὁ Διάκονος·

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν Ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ Χορός· Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Καὶ ὁ μὲν Ἱερεύς, ἐπάρας τὸν Ἀέρα ἀπὸ τῶν Ἁγίων, ἀποτίθησιν αὐτὸν ἐν ἑνὶ τόπῳ, λέγων τό,

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν, κ.τ.λ.

Ὁ δὲ Διάκονος, προσκυνήσας, εἰσέρχεται ἐν τῷ ἁγίῳ Βήματι· καὶ λαβὼν Ῥιπίδιον, ῥιπίζει τὰ Ἅγια εὐλαβῶς.

Ὁ Ἱερεύς, στραφεὶς πρὸς τὸν λαόν, ἐκφωνεῖ·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν. (Καὶ εὐλογεῖ τὸν λαόν).

Ὁ Χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Ἱερεύς· Ἄνω σχῶμεν τὰς καρδίας (δεικνύων ἅμα τῇ χειρί).

Ὁ Χορός· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ Ἱερεύς· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός· Ἄξιον καὶ δίκαιον ἐστίν.

Ὁ Ἱερεύς, στραφεὶς πρὸς ἀνατολάς, ἐπεύχεται μυστικῶς.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν Βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμεν Σοί, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν, καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς Λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες Ἀρχαγγέλων, καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβίμ, καὶ τὰ Σεραφίμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐκφώνως·

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα·

Ὁ Χορός·

Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

Ἐνταῦθα πάλιν λαβὼν ὁ Διάκονος τὸν Ἀστερίσκον ἐκ τοῦ ἁγίου Δίσκου, ποιεῖ Σταυροῦ τύπον ἐπάνω αὐτοῦ, καὶ ἀσπασάμενος αὐτὸν, ἀποτίθησιν ἐν μέρει τινί.

Ὁ δὲ Ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς.

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν, καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος Σὺ, καὶ ὁ μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὃς, ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ, καὶ ἀχράντοις, καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών· Ἐκφώνως·

Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Εἶτα μυστικῶς ὁ Ἱερεύς·

Ὁμοίως καὶ τὸ Ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

Ἐκφώνως·

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ Αἷμά μου, τὸ τῆς καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς·

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ Σταυροῦ, τοῦ Τάφου, τῆς τριημέρου Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς Ἀνα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

βάσεως, τῆς ἐκ δεξιῶν Καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν Παρουσίας·

Ἐκφώνως·

(*) Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ Χορός·

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ὁ Ἱερεὺς κλίνας, ἐπεύχεται μυστικῶς·

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην, καὶ ἀναιμακτον λατρείαν, καὶ παρακαλοῦμέν σε, καὶ δεόμεθα, καὶ ἱκετεύομεν· Κατάπεμψον τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα·

Καὶ ὁ μὲν Διάκονος ἀποτίθησι τὸ Ῥιπίδιον, καὶ ἔρχεται ἐγγύτερον τῷ Ἱερεῖ, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης. (**).

Εἶτα, τὴν κεφαλὴν ὑποκλίνας ὁ Διάκονος, δεικνύει σὺν τῷ Ὠραρίῳ τὸν ἅγιον Ἄρτον, λέγων μυστικῶς·

Εὐλόγησον, Δέσποτα, τὸν ἅγιον Ἄρτον.

(*) Ἐν χειρογράφοις καὶ παλαιαῖς ἐκδόσεσιν ἀπαντᾶται, προσφέροντες.

(**) Ἐν τισι προεκδοθεῖσιν Εὐχολογίοις μετὰ τό, ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, ἀναγινώσκεται κατὰ συνέχειαν· εὐχόμενοι καθ' ἑαυτούς, καὶ λέγοντες τό, Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Εἶτα τό, Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα. Στίχ. Καρδίαν καθαράν. Πάλιν τὸ αὐτό. Στιχ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου. Καὶ αὖθις τὸ αὐτό. Εἶτα, Δόξα. Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους κ.τ.λ. Καὶ νῦν. Ὅτε καταβὰς τὰς γλώσσας κ.τ.λ. — Ταῦτα πάντα ἐτέθησαν ἐνταῦθα ἐν σημειώσει, ὡς μὴ ἀπαντώμενα ἐν παλαιαῖς τοῦ Εὐχολογίου ἐκδόσεσι, καὶ ἐν τῇ τῆς Λειτουργίας τοῦ ͵αχλδʹ. ἔτους, μηδὲ ἐν Εἰληταρίοις καὶ Λειτουργίαις χειρογράφοις, ἃς καὶ ἔχομεν ἀνὰ χεῖρας· ἀλλ' οὐδ' ἐν τῷ ἐπισήμῳ τοῦ Εὐχολογίου Κώδηκι τοῦ ΙΔʹ. αἰῶνος, ποτὲ μὲν σωζομένῳ ἐν τῷ Μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου, νῦν δὲ ἐν τῇ Μαρκιανῇ Βιβλιοθήκῃ, ὃν καὶ ἀκριβῶς ἐξετάσαμεν. Καὶ τοῦτο εὐλόγως· διότι διακόπτουσι τὴν ἔννοιαν τῆς Εὐχῆς, ἧς τὸ τέλος συνδέεται τῇ εὐλογήσει τῶν τιμίων Δώρων, ἀμέσως μετὰ τὴν πρὸς Θεὸν ἐπίκλησιν, ἵνα καταπέμψῃ τὸ πανάγιον αὐτοῦ Πνεῦμα. Μᾶλλον δὲ τὰ τῆς Πεντηκοστῆς Τροπάρια, ποίημα ὄντα ὀψιαίτερον, εἰσὶ τοῦ Χρυσοστόμου μεταγενέστερα περίπου τέσσαρας αἰῶνας. Διὸ καὶ νῦν οἱ πλεῖστοι τῶν Ἱερουργούντων εἰώθασι ταῦτα παραλείπειν, ἢ λέγειν πρὸ τῆς Εὐχῆς τῆς ἐπικλήσεως, ὡς οὐκ ὄντα οὐσιώδη τῆς Λειτουργίας μέρη, ἀλλ' ἐπείσακτα παρά τινος, ἴσως εὐλαβείας χάριν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ ὁ Ἱερεὺς, ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια Δῶρα, λέγων·

Καὶ ποίησον τὸν μὲν Ἄρτον τοῦτον, τίμιον Σῶμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Ἀμήν.

Καὶ αὖθις ὁ αὐτὸς, δεικνύων σὺν τῷ Ὠραρίῳ τὸ ἅγιον Ποτήριον·

Εὐλόγησον, Δέσποτα, τὸ ἅγιον Ποτήριον.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν, λέγει·

Τὸ δὲ ἐν τῷ Ποτηρίῳ τούτῳ, τίμιον Αἷμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Ἀμήν. Καὶ αὖθις ὁ Διάκονος, δεικνύων μετὰ τοῦ Ὠραρίου ἀμφότερα τὰ Ἅγια, λέγει·

Εὐλόγησον, Δέσποτα, τὰ ἀμφότερα.

Ὁ δὲ Ἱερεὺς, εὐλογῶν ἀμφότερα τὰ Ἅγια, λέγει·

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ.

Ὁ Διάκονος· Ἀμὴν, Ἀμὴν, Ἀμήν.

Καὶ τὴν κεφαλὴν ὑποκλίνας τῷ Ἱερεῖ, καὶ εἰπὼν τὸ, Μνήσθητί μου, ἅγιε Δέσποτα, τοῦ ἁμαρτωλοῦ, ἵσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ· καὶ λαβὼν τὸ Ῥιπίδιον, ῥιπίζει τὰ Ἅγια, ὡς καὶ τὸ πρότερον.

Ὁ δὲ Ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς·

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου σου Πνεύματος, εἰς Βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Εἶτα θυμιῶν τὴν ἁγίαν Τράπεζαν κατέμπροσθεν, λέγει ἐκφώνως·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Ὁ δὲ Διάκονος, λαβὼν παρ' αὐτοῦ τὸ θυμιατήριον, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν κύκλῳ· ὕστερον δὲ μνημονεύει τὰ Δίπτυχα τῶν Κεκοιμημένων. Μνημονεύει δὲ καθ' ἑαυτὸν καὶ ὧν βούλεται ζώντων καὶ τεθνεώτων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ δὲ Ἱερεὺς κλίνας, ἐπεύχεται μυστικῶς·

Τοῦ ἁγίου Ἰωάννου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ· τῶν ἁγίων, ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων· τοῦ Ἁγίε (τοῦ δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σε τῶν Ἁγίων· ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου· (μνημονεύει ἐνταῦθα ὀνομαστὶ καὶ ὧν βούλεται τεθνεώτων) καὶ ἀνάπαυσον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε· Μνήσθητι, Κύριε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς Ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν· ὑπὲρ τῆς Οἰκουμένης· ὑπὲρ τῆς Ἁγίας, Καθολικῆς, καὶ Ἀποστολικῆς Ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ, καὶ σεμνῇ πολιτείᾳ διαγόντων· ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν Βασιλέων, παντὸς τοῦ Παλατίου καὶ τοῦ Στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ἐκφώνως·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ Διάκονος, πρὸς τῇ Θύρᾳ στάς, λέγει·

(Τοῦ δεῖνος) Πατριάρχου, Μητροπολίτου, ἢ Ἐπισκόπου, (ὅστις ἂν ᾖ) καὶ τὰ λοιπά· εἶτα μνημονεύει τὰ Δίπτυχα τῶν ζώντων.

Ὁ δὲ Ἱερεὺς κλίνας, ἐπεύχεται μυστικῶς·

Μνήσθητι, Κύριε, τῆς Πόλεως (ἢ τῆς Μονῆς), ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως, καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ταῖς ἁγίαις σου Ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ἐκφώνως·

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν, καὶ ἀνυμνεῖν τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

Καὶ στραφεὶς πρὸς τὸν Λαὸν, καὶ εὐλογῶν αὐτὸν, ἐκφωνεῖ·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ Χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ δὲ Διάκονος, λαβὼν καιρὸν παρὰ τοῦ Ἱερέως, καὶ ἐξελθὼν, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πάντων τῶν Ἁγίων μνημονεύσαντες ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ Θυσιαςήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν, καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως ὀργῆς, κτλ.

Ὁ Ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς·

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα, καὶ ἱκετεύομεν· Καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου, καὶ φρικτῶν Μυςηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς Τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς Βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν.
Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς.
Τὸν ὑπόλοιπον χρόνον.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα.
Τὴν ἑνότητα τῆς Πίστεως, καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως·

Καὶ καταξίωσον ἡμᾶς Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾷν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν, Πατέρα, καὶ λέγειν· Ὁ Λαὸς τὸ, Πάτερ ἡμῶν.

Ὁ Ἱερεὺς· Ὅτι σοῦ ἐστιν. Εἶτα, Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοὶ, Κύριε.

Ὁ δὲ Ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς·

Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών· αὐτὸς, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσιν σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. Ἐκφώνησις·

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς.

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς Βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σου χειρὶ, μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ Ἱερεὺς, ὁμοίως καὶ ὁ Διάκονος ἐν ᾧ ἐστι τόπῳ, λέγοντες μυστικῶς τρίς· Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Ἐν τοσούτῳ δὲ ὁ Διάκονος ζώννυται καὶ τὸ Ὡράριον αὐτοῦ σταυροειδῶς. Ὅταν δὲ ἴδῃ τὸν Ἱερέα ἐκτείνοντα τὰς χεῖρας, καὶ ἁπτόμενον τοῦ ἁγίου Ἄρτου, πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν Ὕψωσιν, ἐκφωνεῖ· Πρόσχωμεν.

Καὶ ὁ Ἱερεὺς, ὑψῶν τὸν ἅγιον Ἄρτον, ἐκφωνεῖ·

Τὰ Ἅγια τοῖς ἁγίοις.

Εἶτα ὁ Διάκονος εἰσέρχεται ἐν τῷ ἁγίῳ Βήματι· καὶ στὰς ἐκ δεξιῶν τοῦ Ἱερέως, κρατοῦντος τὸν ἅγιον Ἄρτον, λέγει· Μέλισον, Δέσποτα, τὸν ἅγιον Ἄρτον.

Ὁ δὲ Ἱερεὺς, μελίσας αὐτὸν εἰς μερίδας τέσσαρας, μετὰ προσοχῆς καὶ εὐλαβείας, λέγει·

Μελίζεται, καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.

Καὶ τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ Δίσκῳ σταυροειδῶς οὕτως·

ΙΣ

ΝΙ ΚΑ

ΧΣ

Καὶ ὁ Διάκονος, δεικνύων σὺν τῷ Ὡραρίῳ τὸ ἅγιον Ποτήριον, λέγει·

Πλήρωσον, Δέσποτα, τὸ ἅγιον Ποτήριον.

Ὁ δὲ Ἱερεὺς, λαβὼν τὴν ἄνω κειμένην μερίδα, τὴν ἔχουσαν τὸ ὄνομα ΙΣ, ποιεῖ σὺν αὐτῇ Σταυρὸν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, λέγων·

Πλήρωμα Ποτηρίου, πίστεως, Πνεύματος Ἁγίου.

Καὶ οὕτως ἐμβάλλει αὐτὴν εἰς τὸ ἅγιον Ποτήριον.

Ὁ Διάκονος· Ἀμήν. Καὶ δεχόμενος ὁ αὐτὸς τὸ Ζέον, λέγει πρὸς τὸν Ἱερέα· Εὐλόγησον, Δέσποτα, τὸ Ζέον.

Ὁ δὲ Ἱερεὺς εὐλογεῖ, λέγων·

Εὐλογημένη ἡ ζέσις τῶν Ἁγίων σου πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ ὁ Διάκονος ἐγχέει τȣ̃ ζέοντος τὸ ἀρκȣ̃ν ςαυροειδῶς, ἔνδον τοῦ ἁγίου Ποτηρίου, λέγοντος τοῦ Ἱερέως·

Ζέσις πίστεως, πλήρης Πνεύματος Ἁγίου. Ὁ Διάκονος· Ἀμήν.

Καὶ ἀποθέμενος τὸ Ζέον, ἵσταται μικρὸν ἄποθεν. Ὁ δὲ Ἱερεὺς ποιήσας πρὸς τὸν Διάκονον μετάνοιαν, καὶ συγχώρησιν αἰτήσας, κλίνει κάτω τὴν κεφαλὴν, καὶ προσεύχεται λέγων·

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, κτλ. καὶ, Τȣ̃ Δείπνȣ σου τοῦ μυστικοῦ, κτλ. Καὶ τελευταῖον τὸ,

Μή μοι εἰς κρίμα, ἢ εἰς κατάκριμα γένοιτο ἡ μετάληψις τῶν ἁγίων σου Μυστηρίων, Κύριε, ἀλλ' εἰς ἴασιν ψυχῆς τε καὶ σώματος. Εἶτα λαβὼν μίαν μερίδα τοῦ ἁγίου Ἄρτου, λέγει·

Τὸ τίμιον καὶ πανάγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδίδοταί μοι (τῷ δεῖνι) Ἱερεῖ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ οὕτω μεταλαμβάνει τοῦ ἐν χερσὶ, μετὰ φόβου καὶ πάσης ἀσφαλείας. Εἶτα λέγει· Ὁ Διάκονος, πρόσελθε.

Καὶ προσελθὼν ὁ Διάκονος, ποιεῖ μετάνοιαν εὐλαβῶς, αἰτῶν συγχώρησιν· ὁ δὲ Ἱερεὺς, κρατῶν τὸν ἅγιον Ἄρτον, δίδωσι τῷ Διακόνῳ· καὶ ἀσπασάμενος ὁ Διάκονος τὴν μεταδιδȣ̃σαν αὐτῷ χεῖρα, λαμβάνει τὸν ἅγιον Ἄρτον, λέγων·

Μετάδος μοι, Δέσποτα, τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ δὲ Ἱερεὺς λέγει·

(Τῷ δεῖνι) Ἱεροδιακόνῳ μεταδίδοταί σοι τὸ τίμιον, καὶ ἅγιον, καὶ ἄχραντον Σῶμα τȣ̃ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σȣ ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ἀπέρχεται ὁ Διάκονος ὄπισθεν τῆς ἱερᾶς Τραπέζης καὶ κλίνας τὴν κεφαλὴν, προσεύχεται, καὶ μεταλαμβάνει, ὡς ὁ Ἱερεύς.

Εἶτα, ἀναστὰς ὁ Ἱερεὺς, λαμβάνει ταῖς χερσὶν ἀμφοτέραις μετὰ τοῦ Καλύμματος τὸ ἅγιον Ποτήριον, καὶ μεταλαμβάνει τρίτον ἐξ αὐτοῦ· καὶ ȣ̃τω, τά τε ἴδια χείλη, καὶ τὸ ἱερὸν Ποτήριον τῷ ἐν χερσὶ Καλύμματι ἀποσπογγίσας, καὶ παρὰ τὸ χεῖλος ἔξω τὸ Ποτήριον ἀσπασάμενος, καλεῖ τὸν Διάκονον, λέγων· Διάκονε, πρόσελθε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ ὁ Διάκονος ἔρχεται, καὶ προσκυνεῖ ἅπαξ, λέγων·

προσέρχομαι τῷ ἀθανάτῳ Βασιλεῖ· καὶ τὸ, Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅλον. Καὶ λέγει ὁ Ἱερεύς· Μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ Διάκονος (ὁ δεῖνα) τὸ τίμιον, καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν αὐτοῦ ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος δὲ τοῦ Διακόνου, λέγει ὁ Ἱερεύς·

Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

Τότε, λαβὼν τὸν ἅγιον Δίσκον ὁ Διάκονος, ἐπάνω τοῦ ἁγίου Ποτηρίου ἀποσπογγίζει τῷ ἁγίῳ Σπόγγῳ πάνυ καλῶς, καὶ μετὰ προσοχῆς καὶ εὐλαβείας σκεπάζει τὸ ἅγιον Ποτήριον τῷ Καλύμματι· ὁμοίως καὶ ἐπὶ τὸν ἅγιον Δίσκον ἀνατίθησι τὸν Ἀστέρα καὶ τὸ Κάλυμμα.

Εἶτα ἐπιλέγει τὴν τῆς εὐχαριστίας Εὐχὴν ὁ Ἱερεὺς μυστικῶς·

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ, κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων Μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδὸν, στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας, φρούρησον ἡμῶν τὴν ζωὴν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα· εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν Ἁγίων σου.

Εἶτα ἀπονίπτεται τὰς χεῖρας ὁ Ἱερεὺς ἐν τῷ συνήθει τόπῳ. Καὶ ἔτως ἀνοίγουσι τὴν Θύραν τοῦ ἁγίου Βήματος. Καὶ ὁ Διάκονος, προσκυνήσας ἅπαξ, λαμβάνει παρὰ τοῦ Ἱερέως τὸ Ποτήριον μετὰ εὐλαβείας, καὶ ἔρχεται εἰς τὴν Θύραν, καὶ ὑψῶν τὸ ἅγιον Ποτήριον, δείκνυσιν αὐτὸ τῷ λαῷ, λέγων·

Μετὰ φόβου Θεοῦ, πίστεως, καὶ ἀγάπης προσέλθετε.

Ὁ δὲ Ἱερεὺς εὐλογεῖ τὸν λαὸν, ἐπιλέγων ἐκφώνως·

Σῶσον, ὁ Θεὸς, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Καὶ ἐπιστρέφουσιν, ὅ, τε Διάκονος καὶ ὁ Ἱερεὺς, εἰς τὴν ἁγίαν Τράπεζαν. Καὶ ὁ μὲν Διάκονος, ἀποθέμενος ἐν αὐτῇ τὸ ἅγιον Ποτήριον, λέγει πρὸς τὸν Ἱερέα· Ὕψωσον, Δέσποτα.

Ὁ δὲ Ἱερεὺς θυμιᾷ τρὶς, λέγων καθ' ἑαυτόν·

Δημόσια Ιστορική Βιβλιοθήκη Σάμου

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς, ὁ Θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἶτα, λαβὼν τὸν ἅγιον Δίσκον, ἔχοντα τὸν Ἀστέρα καὶ τὸ Κάλυμμα, τίθησιν ἐπὶ τὴν κεφαλὴν τοῦ Διακόνου· καὶ ὁ Διάκονος, κρατῶν αὐτὸν μετ' εὐλαβείας, καὶ θεωρῶν ἔξω πρὸς τὴν Θύραν, οὐδὲν λέγων, ἀπέρχεται εἰς τὴν Πρόθεσιν, καὶ ἀποτίθησιν αὐτόν. Ὁ δὲ Ἱερεὺς προσκυνήσας, καὶ λαβὼν τὸ ἅγιον Ποτήριον, καὶ ἐπιστραφεὶς πρὸς τὴν Θύραν, ὁρᾷ τὸν λαὸν, λέγων μυστικῶς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν· εἶτα ἐκφωνεῖ· Πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἐξελθὼν ὁ Διάκονος, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Ὀρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ Μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνως ὑπὸ τοῦ Ἱερέως·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός. Ἀμήν.

Ὁ Ἱερεύς· Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Ὀπισθάμβωνος,
ἐκφωνουμένη παρὰ τοῦ Ἱερέως ἔξω τοῦ Βήματος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ Οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς Ἱερεῦσι, τοῖς Βασιλεῦσιν ἡμῶν, τῷ Στρατῷ, καὶ παντὶ τῷ Λαῷ σου· ὅτι πᾶσα δόσις

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταύτης δὲ τελεσθείσης, ὁ μὲν Ἱερεὺς εἰσέρχεται διὰ τῶν ἁγίων Θυρῶν, καὶ ἀπελθὼν ἐν τῇ Προθέσει, λέγει τὴν παροῦσαν Εὐχὴν μυστικῶς·

Τὸ πλήρωμα τοῦ Νόμου καὶ τῶν Προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν Πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεύς· Εὐλογία Κυρίου, καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε· νῦν, καὶ ἀεὶ κ.τ.λ.

Εἶτα· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ Λαός· Δόξα, καὶ νῦν. Καὶ γίνεται Ἀπόλυσις.

Ὁ δὲ Διάκονος, εἰσελθὼν καὶ αὐτὸς διὰ τοῦ βορείου μέρους, συστέλλει τὰ Ἅγια μετὰ φόβου καὶ πάσης ἀσφαλείας, ὥστε μηδέν τι τῶν ἄγαν λεπτοτάτων ἐκπεσεῖν, ἢ καταλειφθῆναι, καὶ ἀπονίπτεται τὰς χεῖρας ἐν τῷ συνήθει τόπῳ. Ὁ δὲ Ἱερεὺς ἐξελθὼν, δίδωσι τῷ λαῷ τὸ Ἀντίδωρον. Εἶτα εἰσελθὼν ἐν τῷ ἁγίῳ Βήματι, ἀποδύεται τὴν Ἱερατικὴν στολὴν, λέγων· Νῦν ἀπολύεις· τὸ Τρισάγιον· καὶ τὰ λοιπά· Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Χρυσοστόμου.

Ἡ τοῦ στόματός σου, καθάπερ πυρσὸς, ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν· ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ, Κύριε ἐλέησον, ιβ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Καὶ ποιεῖ Ἀπόλυσιν· καὶ προσκυνήσας καὶ εὐχαριστήσας τῷ Θεῷ ἐπὶ πᾶσιν, ἐξέρχεται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Σημείωσαι ὅτι αὕτη ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου, οὐ λέγεται πάντοτε, ἀλλ' ἐν καιροῖς τεταγμένοις, ἤγουν ἐν ταῖς Κυριακαῖς τῆς Μεγάλης Τεσσαρακοστῆς (πλὴν τῆς Κυριακῆς τῶν Βαΐων), ἐν τῇ ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ, ἐν τῷ Μεγάλῳ Σαββάτῳ ἐν τῇ Παραμονῇ τῆς τοῦ Χριστοῦ ἡμῶν Γεννήσεως, καὶ τῶν Φώτων, καὶ ἐν τῇ ἡμέρᾳ τῇ ἑορτασίμῳ τοῦ Ἁγίου Βασιλείου. Ἡ ἑρμηνεία δὲ, καὶ ἡ διάταξις ταύτης τῆς Ἱερουργίας, ἡ αὐτή ἐστιν, ὡς καὶ ἡ καὶ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

### Εὐχὴ τῆς Προθέσεως.

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον Ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριςὸν ἐξαποστείλας, Σωτῆρα, καὶ Λυτρωτὴν, καὶ Εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου Θυσιαςήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου Μυστηρίων. Ὅτι ἡγίασται, καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τȣ̃ Πατρὸς, καὶ τȣ̃ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος· Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεὺς ἐκφώνως·

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

**Τὰ Εἰρηνικὰ, καὶ αἱ Ἀποκρίσεις, ὡς καὶ ἐν τῇ Λειτουργίᾳ τοῦ Χρυσοστόμου.**

Ὁ Διάκονος·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὁ Χορός· Κύριε ἐλέησον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.
Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου.
Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.
Ὑπὲρ τῶν εὐσεβεστάτων.
Ὑπὲρ τοῦ συμπολεμῆσαι.
Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης.
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου.

Ὁ Ἱερεὺς ἐκφωνεῖ·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εὐχὴ Ἀντιφώνου Α΄. ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος· οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτὸς, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον Οἶκον τοῦτον, καὶ ποίησον μεθ᾽ ἡμῶν, καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου.

Καὶ ψάλλεται τὸ πρῶτον Ἀντίφωνον, ἢ τὰ Τυπικὰ, εἰ ἔστι Κυριακὴ τοῦ ψαλλομένου Ἀντιφώνου.

Εὐχὴ Ἀντιφώνου Β΄. Μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ Οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ψαλλομένου Ἀντιφώνου, λέγει ὁ Διάκονος τὰ Εἰρηνικά· εἰ δὲ μὴ ἐστι Διάκονος, λέγει ὁ Ἱερεύς·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ψάλλει ὁ Χορὸς τὸ δεύτερον Ἀντίφωνον, ἢ τὰ Τυπικά.

Εὐχὴ Ἀντιφώνου Γ'. Μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχὰς, ὁ καὶ δυσὶ καὶ τρισὶ, συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Μετὰ δὲ τὴν συμπλήρωσιν, τȢ Ἀντιφώνȣ, λέγει ὁ Διάκονος, ἢ ὁ Ἱερεύς·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης ἐνδόξου.

Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὰ Εἰρηνικὰ, ψάλλει ὁ Χορὸς τὸ τρίτον Ἀντίφωνον, ἢ τοὺς Μακαρισμοὺς, εἰ ἔστι Κυριακή. Ψαλλομένου δὲ παρὰ τῶν Ψαλτῶν τȢ τρίτου Ἀντιφώνου, ἢ τῶν Μακαρισμῶν, ὅταν ἔλθωσιν εἰς τὸ, **Δόξα**, ὁ Ἱερεὺς καὶ ὁ Διάκονος ποιοῦσι καὶ λέγουσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ εἴρηται.

Εὐχὴ τῆς Εἰσόδου τοῦ ἁγίου Εὐαγγελίου. Μυστικῶς.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα, καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων, εἰς λειτȣργίαν τῆς σῆς δόξης, ποίησον, σὺν τῇ Εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὴν Εὐχὴν, ὅ,τε Ἱερεὺς, καὶ ὁ Διάκονος, καὶ ὁ Χορὸς τὰ αὐτὰ καὶ ποιοῦσι καὶ λέγουσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Ἱερουργίᾳ.

Εὐχὴ τοῦ Τρισαγίου Ὕμνου, ἣν ὁ Ἱερεὺς μυστικῶς λέγει.

Ὁ Θεὸς, ὁ Ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρα ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου Θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτὸς, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν Τρισάγιον Ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

Ἐκφώνως·

Ὅτι Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ταύτης τῆς Εὐχῆς τελεσθείσης, καὶ τοῦ Χοροῦ ψάλλοντος, τὸ, Δόξα, καὶ νῦν, ὅ,τε Ἱερεὺς καὶ ὁ Διάκονος ψάλλουσι τὸ Τρισάγιον, καὶ τὰ λοιπὰ ποιοῦσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ.

Εὐχὴ πρὸ τοῦ Εὐαγγελίου, ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς δια-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

νοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ ταῦτα ποιοῦσι, καὶ λέγουσιν, ὅ,τε Διάκονος καὶ ὁ Ἱερεὺς, ὅσα καὶ ἐν τῇ τοῦ Χρυσοςόμου Λειτουργίᾳ προείρηται.

Μετὰ δὲ τὸ Εὐαγγέλιον, ὁ Διάκονος·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς.
Κύριε Παντοκράτορ, ὁ Θεός.
Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν τῆς ἐκτενοῦς ἱκεσίας μυστικῶς·

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ὁ Διάκονος·

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.
Ἔτι δεόμεθα ὑπὲρ τῶν Ἀδελφῶν ἡμῶν, τῶν Ἱερέων.
Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων, καὶ ἀοιδίμων.
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας.
Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων.

Ἐκφώνησις ὑπὸ τοῦ Ἱερέως.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τὰ αὐτὰ ὁ Διάκονος καὶ ἐνταῦθα ὑπὲρ τῶν Κατηχουμένων, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ, λέγει·

Εὔξασθε, οἱ Κατηχούμενοι.
Οἱ Πιστοὶ, ὑπὲρ τῶν Κατηχουμένων.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.
Κατηχήσῃ αὐτοὺς τὸν λόγον.
Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης.
Ἑνώσῃ αὐτοὺς τῇ Ἁγίᾳ αὐτοῦ.
Σῶσον, ἐλέησον, ἀντιλαβοῦ.
Οἱ Κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν.

Εὐχὴ ὑπὲρ τῶν Κατηχουμένων πρὸ τῆς ἁγίας Ἀναφορᾶς, ἣν ὁ Ἱερεὺς λέγει μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν, καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς Κατηχουμένους, τοὺς ὑποκεκλικότας τοὺς ἑαυτῶν αὐχένας ἐνώπιόν σου, καὶ δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν· ποίησον αὐτοὺς μέλη τίμια τῆς ἁγίας σου Ἐκκλησίας, καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσιν σοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Ἐκφώνησις.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Μετὰ τὴν Ἐκφώνησιν, ὁ Ἱερεὺς ἐξαπλοῖ τὸ Εἰλητὸν, κατὰ τὸ σύνηθες.

Ὁ Διάκονος.

Ὅσοι Κατηχούμενοι, προέλθετε· οἱ Κατηχούμενοι, προέλθετε·
Ὅσοι Κατηχουμένοι, προέλθετε· μή τις τῶν Κατηχουμένων.
Ὅσοι Πιστοὶ,
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Πιστῶν Α΄. μετὰ τὸ ἁπλωθῆναι τὸ Εἰλητὸν, ἣν ὁ Ἱερεὺς λέγει μυστικῶς.

Σὺ, Κύριε, κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας Μυστήριον· σὺ κατηξίωσας ἡμᾶς, τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου Θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, εἰς τὴν διακονίαν ταύτην· ἵνα, ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης σου, προσάγωμέν σοι θυσίαν αἰνέσεως· σὺ γὰρ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. Δὸς, Κύριε, καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων. καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, δεκτὴν γενέσθαι τὴν Θυσίαν ἡμῶν, καὶ εὐπρόσδεκτον ἐνώπιόν σου.

Εὐχομένου τοῦ Ἱερέως, ὁ Διάκονος λέγει τὰ Εἰρηνικὰ ἔξω τοῦ ἁγίου Βήματος.

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ, σῶσον, κ.τ.λ. Σοφία.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Πιστῶν Β΄., ἣν ὁ Ἱερεὺς λέγει μυστικῶς.

Ὁ Θεὸς, ὁ ἐπισκεψάμενος ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν, ὁ στήσας ἡμᾶς τοὺς ταπεινοὺς, καὶ ἁμαρτωλοὺς, καὶ ἀναξίους δούλους σου κατενώπιον τῆς ἁγίας δόξης σου, λειτουργεῖν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, σὺ ἐνίσχυσον ἡμᾶς, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, εἰς τὴν διακονίαν ταύτην· καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος ἐπὶ τῶν μελλόντων προτίθεσθαι Δώρων.

Εὐχομένου τοῦ Ἱερέως, ὁ Διάκονος λέγει τὰ Εἰρηνικὰ ἔξω τοῦ ἁγίου Βήματος, ὡς καὶ ἀνωτέρω· καὶ μετὰ τὰ Εἰρηνικὰ, λέγει ἐκφώνως ὁ Ἱερεύς·

Ὅπως, ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εὐχὴ, ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς, τοῦ Χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι, ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι, μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ' ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ Ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου Θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

απάντων· σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ Θρόνου Χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος, καὶ Βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ μόνος Ἅγιος, καὶ ἐν Ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· Ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς Ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ Τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα, καὶ τὸ τίμιον Αἷμα. Σὺ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· Μὴ ἀποςρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ Δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κἀνταῦθα ὅ,τε Ἱερεὺς καὶ ὁ Διάκονος τὰ αὐτὰ καὶ ποιοῦσι καὶ λέγουσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ.

Ἰστέον ὅτι, ἀντὶ τοῦ Χερουβικοῦ Ὕμνου, εἰ ἔστιν ἡ μεγάλη Πέμπτη, ψάλλεται κατ' Ἦχον πλ. β'.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυςήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ Λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου, Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Εἰδὲ ἔστι τὸ μέγα Σάββατον, ψάλλεται τὸ παρὸν Τροπάριον, εἰς Ἦχον πλ. α'.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, προέρχεται σφαγιασθῆναι, καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς. Προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν Ἀγγέλων, μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα Χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Σεραφίμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον· Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

Τελειωθέντων δὲ τῶν Εὐχῶν, καὶ τῆς μεγάλης Εἰσόδου, ὁ Διάκονος ἔρχεται ἐν τῷ συνήθει τόπῳ, λέγων·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων τιμίων Δώρων.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Εὐχὴ τῆς Προσκομιδῆς, μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων Δώρων ἀπόθεσιν, ἣν ὁ Ἱερεὺς λέγει μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων Μυστηρίων ἀποκάλυψιν· σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου. Εὐδόκησον δή, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου Διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου Μυστηρίων· πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον Θυσίαν, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἣν προσδεξάμενος εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερόν σου Θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος. Ἐπίβλεψον ἐφ' ἡμᾶς, ὁ Θεός, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς. Ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου Ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ Δῶρα ταῦτα, ἐν τῇ χρηστότητί σου, Κύριε· ἵνα, καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, εὕρωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας.

Ὁ Διάκονος, ὡς καὶ ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ, λέγει·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Τὴν ἡμέραν πᾶσαν, τελείαν.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν.
Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν.
Τὰ καλὰ καὶ συμφέροντα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν.
Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνως ὁ Ἱερεύς·

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσιν.

Ὁ Διάκονος· Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν·

Ὁ Χορός· Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, καὶ ἀχώριστον.

Ὁ Ἱερεὺς προσκυνεῖ τρὶς, λέγων μυστικῶς.

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου.

Καὶ ἀσπάζεται τὰ Ἅγια ὡς εἰσὶ κεκαλυμμένα.

Ὁ δὲ Διάκονος προσπτύσσεται τὸ Ὠράριον αὐτοῦ, καὶ προσκυνεῖ τρὶς, καὶ ἐπισυνάπτει ἐκφώνως·

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ Χορὸς τὸ, Πιστεύω εἰς ἕνα Θεόν.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ἁγίου Συμβόλου, λέγει ὁ Διάκονος ἐκφώνως·

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν Ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ Χορός· Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ Ἱερεὺς ἐκφώνως, ἐστραμμένος πρὸς τὸν Λαόν·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν. (καὶ εὐλογεῖ τὸν Λαόν).

Ὁ Χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ Ἱερεύς· Ἄνω σχῶμεν τὰς καρδίας. (δεικνύων ἅμα τῇ χειρί).
Ὁ Χορός· Ἔχομεν πρὸς τὸν Κύριον.
Ὁ Ἱερεύς· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.
Ὁ Χορός· Ἄξιον καὶ δίκαιον ἐστίν.

Ὁ Ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς.

Ὁ Ὤν, Δέσποτα, Κύριε Θεέ, Πάτερ Παντοκράτορ, προσκυνητέ, ἄξιον ὡς ἀληθῶς, καὶ δίκαιον, καὶ πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σȣ, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν τὸν μόνον ὄντως ὄντα Θεὸν, καὶ σοὶ προσφέρειν, ἐν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως, τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν· ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας. Καὶ τίς ἱκανὸς λαλῆσαι τὰς δυναστείας σου; ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις σου; ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου ἐν παντὶ καιρῷ; Δέσποτα τῶν ἁπάντων, Κύριε οὐρανοῦ, καὶ γῆς, καὶ πάσης κτίσεως ὁρωμένης τε καὶ οὐχ ὁρωμένης, ὁ καθήμενος ἐπὶ θρόνου δόξης, καὶ ἐπιβλέπων ἀβύσσους, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε, ἀναλλοίωτε, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος τῆς ἐλπίδος ἡμῶν· ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος, σφραγὶς ἰσότυπος, ἐν ἑαυτῷ δεικνὺς Σὲ τὸν Πατέρα, Λόγος ζῶν, Θεὸς ἀληθινὸς, ἡ πρὸ αἰώνων σοφία, ζωὴ, ἁγιασμὸς, δύναμις, τὸ φῶς τὸ ἀληθινόν· παρ' ȣ̃ τὸ Πνεῦμα τὸ Ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας Πνεῦμα, τὸ τῆς υἱοθεσίας χάρισμα, ὁ ἀῤῥαβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιὸς δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ· παρ' οὗ πᾶσα κτίσις λογική τε καὶ νοερὰ δυναμουμένη, σοὶ λατρεύει, καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν, ὅτι τὰ σύμπαντα δοῦλα σά. Σὲ γὰρ αἰνοῦσιν Ἄγγελοι, Ἀρχάγγελοι, Θρόνοι, Κυριότητες, Ἀρχαί, Ἐξουσίαι, Δυνάμεις, καὶ τὰ πολυόμματα Χερουβίμ· σοὶ παρίστανται κύκλῳ τὰ Σεραφίμ, ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας· καὶ ταῖς δυσὶ πετόμενα, κέκραγεν ἕτερον πρὸς τὸ ἕτερον, ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐκφώνως ὁ Ἱερεύς·

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα·

Ὁ Χορός· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

Κἀνταῦθα ὁ Διάκονος τὰ αὐτὰ ποιεῖ, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ· ὁ δὲ Ἱερεὺς κλινας, ἐπεύχεται μυστικῶς·

Μετὰ τούτων τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ βοῶμεν, καὶ λέγομεν· Ἅγιος εἶ, ὡς ἀληθῶς, καὶ πανάγιος, καὶ οὐκ ἔστι μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου, ὅτι ἐν δικαιοσύνῃ καὶ κρίσει ἀληθινῇ πάντα ἐπήγαγες ἡμῖν· πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ, ὁ Θεός, τιμήσας, τέθεικας αὐτὸν ἐν τῷ Παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς, καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν, ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου, ἐπαγγειλάμενος αὐτῷ· ἀλλὰ παρακούσαντα σοῦ τοῦ ἀληθινοῦ Θεοῦ, τοῦ κτίσαντος αὐτόν, καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νεκρωθέντα τε τοῖς οἰκείοις αὐτοῦ παραπτώμασιν, ἐξώρισας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου, ὁ Θεός, ἐκ τοῦ Παραδείσου εἰς τὸν κόσμον τοῦτον, καὶ ἀπέστρεψας εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, οἰκονομῶν αὐτῷ τὴν ἐκ παλιγγενεσίας σωτηρίαν, τὴν ἐν αὐτῷ τῷ Χριστῷ σου. Οὐ γὰρ ἀπεστράφης τὸ πλάσμα σου εἰς τέλος, ὃ ἐποίησας, Ἀγαθέ, οὐδὲ ἐπελάθου ἔργου χειρῶν σου, ἀλλ' ἐπεσκέψω πολυτρόπως διὰ σπλάγχνα ἐλέους σου· Προφήτας ἐξαπέστειλας· ἐποίησας δυνάμεις διὰ τῶν Ἁγίων σου, τῶν καθ' ἑκάστην γενεὰν εὐαρεστησάντων σοι· ἐλάλησας ἡμῖν διὰ στόματος τῶν δούλων σου τῶν Προφητῶν, προκαταγγέλλων ἡμῖν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν· νόμον ἔδωκας εἰς βοήθειαν· Ἀγγέλους ἐπέστησας φύλακας. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ Υἱῷ σου, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησας· ὅς, ὢν ἀπαύγασμα τῆς δόξης σου, καὶ χαρακτὴρ τῆς ὑποστάσεώς σου, φέρων τε τὰ πάντα τῷ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ρήματι τῆς δυνάμεως αὐτοῦ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοὶ τῷ Θεῷ καὶ Πατρί· ἀλλὰ, Θεὸς ὢν προαιώνιος, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· καὶ ἐκ Παρθένου ἁγίας σαρκωθεὶς, ἐκένωσεν ἑαυτὸν, μορφὴν δούλου λαβὼν, σύμμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἵνα ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος τῆς δόξης αὐτοῦ. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, εὐδόκησεν ὁ μονογενής σου Υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς, γενόμενος ἐκ γυναικὸς, τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, γενόμενος ὑπὸ νόμου, κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ· ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες, ζωοποιηθῶσιν ἐν αὐτῷ τῷ Χριστῷ σου· καὶ ἐμπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δοὺς προστάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, προσήγαγε τῇ ἐπιγνώσει σοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρὸς, κτησάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· καὶ καθαρίσας ἐν ὕδατι, καὶ ἁγιάσας τῷ Πνεύματι τῷ Ἁγίῳ, ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κατειχόμεθα πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν· καὶ κατελθὼν διὰ τοῦ Σταυροῦ εἰς τὸν ᾅδην, ἵνα πληρώσῃ ἑαυτοῦ τὰ πάντα, ἔλυσε τὰς ὀδύνας τοῦ θανάτου· καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ὁδοποιήσας πάσῃ σαρκὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν (καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγὸν τῆς ζωῆς), ἐγένετο ἀπαρχὴ τῶν κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα ᾖ αὐτὸς τὰ πάντα ἐν πᾶσι πρωτεύων· καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς· ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ Πάθους, ταῦτα, ἃ προτεθείκαμεν ἐνώπιόν σου, κατὰ τὰς αὐτοῦ ἐντολάς· μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον, καὶ ἀοίδιμον, καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτὶ, ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράντων χειρῶν, καὶ ἀναδείξας σοὶ τῷ Θεῷ καὶ Πατρὶ, καὶ εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα ἐκφώνως·

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών· Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορὸς ψάλλει· Ἀμήν.

Ὁ δὲ Ἱερεὺς μυστικῶς·

Ὁμοίως καὶ τὸ Ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβὼν, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας,

Εἶτα ἐκφώνως·

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών· Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐςι τὸ Αἷμά μου, τὸ τῆς καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁ Χορὸς ψάλλει· Ἀμήν.

Ὁ Ἱερεὺς, κλίνας τὴν κεφαλὴν, ἐπεύχεται μυστικῶς·

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν Ἄρτον τοῦτον, καὶ τὸ Ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλλετε, τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε. Μεμνημένοι οὖν, Δέσποτα, καὶ ἡμεῖς τῶν σωτηρίων αὐτȣ͂ Παθημάτων, τοῦ ζωοποιοῦ Σταυροῦ, τῆς τριημέρου Ταφῆς, τῆς ἐκ νεκρῶν Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς Ἀνόδου, τῆς ἐκ δεξιῶν σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς Καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς δευτέρας αὐτοῦ Παρουσίας,

Εἶτα ἐκφώνως·

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ Χορὸς ψάλλει τὸ, Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ὁ Ἱερεὺς κλίνας τὴν κεφαλὴν, ἐπεύχεται μυστικῶς·

Διὰ τοῦτο, Δέσποτα πανάγιε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν (οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς·), ἀλλὰ διὰ τὰ ἐλέη σȣ, καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ' ἡμᾶς, θαῤῥȣ͂ντες προσεγγίζομεν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ· καὶ προθέντες τὰ ἀντίτυπα τοῦ Ἁγίου Σώματος, καὶ Αἵματος τοῦ Χριστοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

**σου, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, Ἅγιε Ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτὰ καὶ ἀναδεῖξαι·**

Ὁ Διάκονος ἀποτίθησι τὸ Ῥιπίδιον, ὅπερ ἐκράτει, ἢ Κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τοῦ Ἱερέως· καὶ ὑποκλίνας τὴν κεφαλήν, δείκνυσι τῷ Ὠραρίῳ τὸν ἅγιον Ἄρτον, καὶ λέγει μυστικῶς·

**Εὐλόγησον, Δέσποτα, τὸν ἅγιον Ἄρτον·**

Καὶ ὁ Ἱερεύς, ἀνιστάμενος, σφραγίζει τρίτον τὰ ἅγια Δῶρα, λέγων μυστικῶς·

**Τὸν μὲν Ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.**

Ὁ Διάκονος· **Ἀμήν.** Καὶ αὖθις ὁ αὐτός·

**Εὐλόγησον, Δέσποτα, τὸ ἅγιον Ποτήριον.**

Ὁ δὲ Ἱερεὺς εὐλογῶν, λέγει·

**Τὸ δὲ Ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.**

Ὁ Διάκονος, **Ἀμήν.** Καὶ τρίτον ὁ αὐτός·

**Εὐλόγησον, Δέσποτα, τὰ ἀμφότερα.**

Ὁ δὲ Ἱερεὺς εὐλογῶν, λέγει·

**Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.**

Ὁ Διάκονος· **Ἀμήν, Ἀμήν, Ἀμήν.**

Καὶ τὴν κεφαλὴν ὑποκλίνας τῷ Ἱερεῖ, καὶ εἰπὼν τό, **Μνήσθητί μου, ἅγιε Δέσποτα, τοῦ ἁμαρτωλοῦ,** μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ Ῥιπίδιον αὖθις, ὡς πρότερον.

Ὁ δὲ Ἱερεὺς κλινόμενος, ἐπεύχεται·

**Ἡμᾶς δὲ πάντας, τοὺς ἐκ τοῦ ἑνὸς Ἄρτου καὶ τοῦ Ποτηρίου μετέχοντας, ἑνῶσαι ἀλλήλοις, εἰς ἑνὸς Πνεύματος**

(*) Τὰ προεκδοθέντα φέρουσι καὶ τό, Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ· ὅπερ ὁ ἀοίδιμος Νικόδημος ἐν τῷ Πηδαλίῳ αὐτοῦ (Καν. ιθ'. τῆς ἐν Λαοδικείᾳ Συνόδου) θεωρεῖ ὡς ἐκ τῆς τοῦ Χρυσοστόμου Λειτουργίας τολμηρῶς παρεισαχθέν· ἀλλὰ καὶ ἀσύντακτον κατὰ πάντα τοῖς προηγουμένοις. Ἐτυπώθη οὖν ἀπαραλλάκτως, ὡς εὕρηται ἐν πᾶσι τοῖς Χειρογράφοις τε, καὶ Εἰληταρίοις, ἐξαιρέτως δὲ ἐν τῷ ἀρχαιοτάτῳ τοῦ Μεγάλου Σπηλαίου Εὐχολογίῳ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἁγίου κοινωνίαν, καὶ μηδένα ἡμῶν εἰς κρίμα, ἢ εἰς κατάκριμα ποιῆσαι μετασχεῖν τοῦ ἁγίου Σώματος, καὶ Αἵματος τοῦ Χριστοῦ σου· ἀλλ' ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποςόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Διδασκάλων, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Εἶτα ἐκφώνως·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Ὁ Χορὸς ψάλλει· Ἐπὶ σοὶ χαίρει.

Ἐν τοσούτῳ ὁ Διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν Τράπεζαν· ὕστερον δὲ μνημονεύει καὶ τὰ Δίπτυχα τῶν Κεκοιμημένων. Μνημονεύει δὲ καθ' ἑαυτὸν καὶ ὧν βούλεται ζώντων καὶ τεθνεώτων.

Ὁ δὲ Ἱερεὺς κλίνας ἐπεύχεται μυστικῶς·

Τοῦ ἁγίου Ἰωάννου, Προφήτου, Προδρόμου, καὶ Βαπτιςοῦ· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ Ἁγίου (τοῦ δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν προκεκοιμένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου (μνημονεύει ἐνταῦθα ὀνομαστὶ καὶ ὧν βούλεται τεθνεώτων)· καὶ ἀνάπαυσον αὐτοὺς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι σοῦ δεόμεθα· Μνήσθητι, Κύριε, τῆς Ἁγίας σȣ, Καθολικῆς, καὶ Ἀποστολικῆς Ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ εἰρήνευσον αὐτὴν, ἣν περιεποιήσω τῷ τιμίῳ Αἵματι τοῦ Χριστοῦ σου, καὶ τὸν ἅγιον Οἶκον τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Μνήσθητι, Κύριε, τῶν τὰ Δῶρά σοι ταῦτα προσκομισάντων, καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν, καὶ ἐφ' οἷς αὐτὰ προσεκόμισαν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων· ἄμειψαι αὐτοὺς τοῖς πλουσίοις σου καὶ ἐπουρανίοις χαρίσμασι· χάρισαι αὐτοῖς, ἀντὶ τῶν ἐπιγείων, τὰ ἐπουράνια, ἀντὶ τῶν προσκαίρων, τὰ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

αἰώνια, ἀντὶ τῶν φθαρτῶν, τὰ ἄφθαρτα. Μνήσθητι, Κύριε, τῶν ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ, καὶ εὐλαβείᾳ, καὶ ἀσκήσει, καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καὶ πιστοτάτων ἡμῶν Βασιλέων, οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς. Ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον αὐτούς· ἐπισκίασον ἐπὶ τὴν κεφαλὴν αὐτῶν ἐν ἡμέρᾳ πολέμου· ἐνίσχυσον αὐτῶν τὸν βραχίονα· ὕψωσον αὐτῶν τὴν δεξιάν· κράτυνον αὐτῶν τὴν βασιλείαν· ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη, τὰ τοὺς πολέμους θέλοντα· χάρισαι αὐτοῖς βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην· λάλησον εἰς τὴν καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς Ἐκκλησίας σου, καὶ παντὸς τȣ Λαοῦ σȣ· ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Μνήσθητι, Κύριε, πάσης Ἀρχῆς καὶ Ἐξουσίας, καὶ τῶν ἐν τῷ Παλατίῳ ἀδελφῶν ἡμῶν, καὶ παντὸς τοῦ Στρατοπέδου. Τοὺς ἀγαθούς, ἐν τῇ ἀγαθότητί σου διατήρησον· τοὺς πονηρούς, ἀγαθοὺς ποίησον ἐν τῇ χρηστότητί σου. Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος Λαοῦ, καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. Τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ· τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον· τὰ νήπια ἔκθρεψον· τὴν νεότητα παιδαγώγησον· τὸ γῆρας περικράτησον· τοὺς ὀλιγοψύχους παραμύθησαι· τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε· τοὺς πεπλανημένους ἐπανάγαγε, καὶ σύναψον τῇ Ἁγίᾳ σου, Καθολικῇ, καὶ Ἀποςολικῇ Ἐκκλησίᾳ. Τȣς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· χηρῶν πρόστηθι· ὀρφανῶν ὑπεράσπισον· αἰχμαλώτους ῥῦσαι· νοσοῦντας ἴασαι. Τῶν ἐν βήμασι, καὶ μετάλλοις, καὶ ἐξορίαις, καὶ πικραῖς δουλείαις, καὶ πάσῃ θλίψει καὶ ἀνάγκῃ καὶ περιστάσει ὄντων, μνημόνευσον, ὁ Θεός, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σȣ εὐσπλαγχνίας· καὶ τῶν ἀγαπώντων ἡμᾶς, καὶ τῶν μισούντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Καὶ παντὸς τοῦ Λαοῦ σου μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν,
ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα. Καὶ ὧν ἡμεῖς ȣκ ἐμνημονεύσαμεν δι' ἄγνοιαν, ἢ λήθην, ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον, ὁ Θεὸς, ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν, καὶ τὴν προσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ. Σὺ γὰρ εἶ, Κύριε, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ὁ τῶν χειμαζομένων σωτὴρ, ὁ τῶν πλεόντων λιμὴν, ὁ τῶν νοσούντων ἰατρός. Αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς ἕκαστον, καὶ τὸ αἴτημα αὐτοῦ, οἶκον, καὶ τὴν χρείαν αὐτοῦ. Ῥῦσαι, Κύριε, τὴν Πόλιν (ἢ τὴν Μονὴν) ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίȣ πολέμȣ.

Εἶτα ἐκφωνεῖ·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Ὁ Διάκονος μνημονεύει τὰ Δίπτυχα τῶν ζώντων· καὶ πρὸς τῇ θύρᾳ στὰς, λέγει·

(Τοῦ δεῖνος) Πανιερωτάτου Μητροπολίτου, ἢ Ἐπισκόπου, (ὅστις ἂν ᾖ), καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια Δῶρα ταῦτα καὶ τὰ λοιπὰ μέχρι τοῦ, καὶ πάντων καὶ πασῶν.

Καὶ ὁ Χορὸς ψάλλει· Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ Ἱερεὺς κλίνας, ἐπεύχεται μυστικῶς·

Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς Ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τῆς ἐμῆς ἀναξιότητος· συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· καὶ μὴ, διὰ τὰς ἐμὰς ἁμαρτίας, κωλύσῃς τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων Δώρων. Μνήσθητι, Κύριε, τοῦ Πρεσβυτερίου, τῆς ἐν Χριςῷ Διακονίας, καὶ παντὸς ἱερατικοῦ Τάγματος· καὶ μηδένα ἡμῶν καταισχύνῃς, τῶν κυκλούντων τὸ ἅγιόν σου Θυσιαστήριον. Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου Κύριε· ἐπιφάνηθι ἡμῖν ἐν τοῖς πλȣσίοις σου οἰκτιρμοῖς· εὐκράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἡμῖν χάρισαι· ὄμβρους εἰρηνικοὺς τῇ γῇ πρὸς καρποφορίαν δώρησαι. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· παῦσον τὰ σχίσματα τῶν Ἐκκλησιῶν· σβέσον τὰ φρυάγματα τῶν ἐθνῶν· τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ταχέως κατάλυσον, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος. Πάντας ἡμᾶς πρόσδεξαι εἰς τὴν Βασιλείαν σου, υἱοὺς φωτὸς, καὶ υἱοὺς ἡμέρας ἀναδείξας· τὴν σὴν εἰρήνην, καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Ἐκφώνως·

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν, καὶ ἀνυμνεῖν τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ἐπιςρέφει πρὸς τὴν θύραν, καὶ εὐλογῶν, λέγει ἐκφώνως·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Καὶ ὁ Διάκονος ἐξέρχεται, καὶ ςὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Καὶ τὰ λοιπὰ, ὡς ἐν τῇ τοῦ Χρυσοςόμου Λειτουργίᾳ. σελ. 63.

Ὑπὲρ τῶν προσκομισθέντων.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς·

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως ὑπὲρ τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας, καὶ ποιεῖς μεθ' ἡμῶν. Σὺ, ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος τὰ Δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δίδαξον ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου· ἵνα, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ὑποδεχόμενοι τὴν μερίδα τῶν Ἁγιασμάτων σου, ἑνωθῶμεν τῷ ἁγίῳ Σώματι καὶ Αἵματι τοῦ Χριστοῦ σου· καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν Χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ γενώμεθα ναὸς τοῦ Ἁγίου σου Πνεύματος. Ναί, ὁ Θεὸς ἡμῶν· καὶ μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων καὶ ἐπουρανίων Μυστηρίων, μηδὲ ἀσθενῆ ψυχῇ καὶ σώματι, ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἀξίως ὑποδέχεσθαι τὴν μερίδα τῶν Ἁγιασμάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματος τοῦ Χριστοῦ σου· ὅπως ἂν καὶ ἡμεῖς μετὰ πάντων τῶν Ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.
Τὴν ἡμέραν πᾶσαν, τελείαν.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς.
Τὸν ὑπόλοιπον χρόνον.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν.
Τὴν ἑνότητα τῆς Πίστεως.

Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾷν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν· Ὁ Λαὸς τό, Πάτερ ἡμῶν.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ δὲ Ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς.

Δέσποτα Κύριε, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, ἐνδυνάμωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον, παντὶ δὲ ἔργῳ ἀγαθῷ σύναψον, καὶ καταξίωσον ἀκατακρίτως μετασχεῖν τῶν ἀχράν-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

των σου τούτων καὶ ζωοποιῶν Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς Πνεύματος Ἁγίου κοινωνίαν. Ἐκφώνως·

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ Λαῷ.

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ Ἱερεὺς ἐκφώνως· Τὰ Ἅγια τοῖς Ἁγίοις.

Εἶτα, τῆς Μεταλήψεως τελειωθείσης, καὶ τῶν λοιπῶν γενομένων, ὅσα καὶ ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ προτέτακται, ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς·

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ Μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων, καὶ ἐπουρανίων σου Μυστηρίων, ἃ ἔδωκας ἡμῖν ἐπ' εὐεργεσίᾳ, καὶ ἁγιασμῷ, καὶ ἰάσει τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. Αὐτὸς, Δέσποτα τῶν ἁπάντων, δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ Ἁγίου Σώματος, καὶ Αἵματος τοῦ Χριστοῦ σου, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματος τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Μετὰ φόβου Θεοῦ, πίστεως, καὶ ἀγάπης προσέλθετε. Ὁ Ἱερεὺς Σῶσον, ὁ Θεὸς, τὸν λαόν σου... καὶ τὰ λοιπὰ, ὅσα ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ προτέτακται.

Ὁ Διάκονος Ὀρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ Μυστηρίων, κ.τ.λ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ δὲ Ἱερεὺς ἐκφωνεῖ·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς· Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Ὀπισθάμβωνος, ἐκφωνουμένη παρὰ τοῦ Ἱερέως. (*)

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ Οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς Ἱερεῦσι, τοῖς Βασιλεῦσιν ἡμῶν, τῷ Στρατῷ, καὶ παντὶ τῷ Λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ Ἅγια. Μυστικῶς.

Ἤνυσται καὶ τετέλεσται, ὅσον εἰς τὴν ἡμετέραν δύναμιν, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὸ τῆς σῆς οἰκονομίας Μυστήριον· ἔσχομεν γὰρ τοῦ θανάτου σου τὴν μνήμην· εἴδομεν τῆς Ἀναστάσεώς σου τὸν τύπον· ἐνεπλήσθημεν τῆς ἀτελευτήτου σου ζωῆς· ἀπηλαύσαμεν τῆς ἀκενώτου σου τρυφῆς· ἧς καὶ ἐν τῷ μέλλοντι αἰῶνι πάντας ἡμᾶς καταξιωθῆναι εὐδόκησον· χάριτι τοῦ ἀνάρχου σου Πατρὸς, καὶ τοῦ Ἁγίου, καὶ ἀγαθοῦ, καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὰ λοιπὰ, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ, καὶ Ἀπόλυσις.

(*) Σημείωσαι ὅτι, ἀντὶ τῆς παρούσης Εὐχῆς, ὁ Ἱερεὺς, εἰ βούλεται, ἀναγινώσκει τὴν ἀπαντωμένην ἐν τῇ ἱερᾷ Βίβλῳ τῶν Θείων Λειτουργιῶν, τουτέστιν· Ὁ θυσίαν αἰνέσεως, καὶ λατρείαν εὐάρεστον κ.τ.λ.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ

### ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ.

Εὐλογήσαντος τοῦ Ἱερέως, καὶ τοῦ Προοιμιακοῦ στιχολογηθέντος, μετὰ τὴν Ἐκφώνησιν, ψάλλομεν τὰ, **Πρὸς Κύριον**, ὡς ἕπεται.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ριθ'. 119.

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. Τί δοθείη σοι, καὶ τί προςεθείη σοι πρὸς γλῶσσαν δολίαν; Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς. Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. Πολλὰ παρῴκησεν ἡ ψυχή μου. Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκ'. 120.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξει ὁ φυλάσσων σε. Ἰδοὺ, οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου. Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος. Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκα'. 121.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς οἶκον Κυρίου πορευσόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ. Ἱερουσαλὴμ, οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ Κυρίȣ, μαρτύριον τῷ Ἰσραὴλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου. Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἐπὶ οἶκον Δαυΐδ. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλὴμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκβ'. 122.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκγ'. 123.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ· εἰμὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς, ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Ἡ ψυχὴ ἡμῶν, ὡς στρουθίον, ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα, καὶ νῦν.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκδ'. 124.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιὼν, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκκλίνοντας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

εἰς τὰς στραγγαλιάς, ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν· εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκέ. 125.

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως· τότε ἐροῦσιν ἐν ἐν τοῖς ἔθνεσιν· Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι. Ἐπίςρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. Πορευόμενοι, ἐπορεύοντο καὶ ἔκλαιον, βάλλοντες τὰ σπέρματα αὐτῶν· ἐρχόμενοι δὲ, ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκς'. 126.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν. Ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης. Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον, ἰδοὺ, ἡ κληρονομία Κυρίου, υἱοὶ, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. Μακάριος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκζ'. 127.

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτȣ̃. Τȣ̀ς πόνȣς τῶν καρπῶν σȣ φάγεσαι· μακάριος εἶ, καὶ καλῶς σοι ἔςαι. Ἡ γυνή σου, ὡς ἄμπελος εὐθηνȣ̃σα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σȣ· οἱ υἱοί σȣ, ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς τραπέζης σου. Ἰδοὺ, ȣ̔́τως εὐλογηθήσεται ἄνθρωπος, ὁ φοβούμενος τὸν Κύριον. Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· καὶ ἴδοις υἱȣ̀ς τῶν υἱῶν σου. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκή. 128.

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ· πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

γὰρ οὐκ ἠδυνήθησάν μοι. Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοὶ, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. Αἰσχυνθήτωσαν, καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη· οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων· καὶ οὐκ εἶπον οἱ παράγοντες· Εὐλογία Κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Δόξα, καὶ νῦν.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρκθ'. 129.

Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου· γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρλ'. 130.

Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρλα'. 131.

Μνήσθητι, Κύριε, τοῦ Δαυΐδ, καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ. Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ· Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἰδοὺ, ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ, καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. Οἱ Ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ἕνεκεν Δαυῒδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν· Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτοὺς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος· ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν. Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων, τοὺς Ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυῒδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρλβʹ. 132.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών· τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ, ὡς δρόσος Ἀερμὼν, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Ὠδὴ τῶν Ἀναβαθμῶν. Ψαλμὸς ρλγʹ. 133.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον. Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα, καὶ νῦν, Ἀλληλούϊα, γʹ.

Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ. ιʹ. καὶ ψάλλομεν τὸ Ἰδιόμελον τῆς ἡμέρας δὶς, τὸ Μαρτυρικὸν ἅπαξ, τὰ τρία

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Προσόμοια τοῦ Τριῳδίου, καὶ τοῦ Μηναίου τὰ τρία, εἰς δ'.
**Δόξα, καὶ νῦν,** Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.
Ἐὰν δὲ κατὰ τὴν ὥραν μὴ εὑρεθῇ Τριῴδιον, λέγε τὰ παρόντα.

Στιχηρὸν Ἰδιόμελον, Ἦχος α'.

Τὴν πνευματικὴν ἀδελφοί, ἀναλαβόντες νηστείαν, τῇ γλώσσῃ μὴ λαλεῖτε τὰ δόλια, μηδὲ τίθεσθε πρόσκομμα, τῷ ἀδελφῷ εἰς σκάνδαλον· ἀλλὰ τῇ μετανοίᾳ φαιδρύναντες, τὴν τῆς ψυχῆς λαμπάδα τοῖς δάκρυσι, βοήσωμεν τῷ Χριστῷ· Ἄφες ἡμῖν τὰ παραπτώματα ἡμῶν, ὡς φιλάνθρωπος.

Μαρτυρικόν.

Πανεύφημοι Μάρτυρες ὑμᾶς, οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' οὐρανὸς ὑπεδέξατο· ὑμῖν ἠνοίγησαν, Παραδείσου πύλαι, καὶ ἐντὸς γενόμενοι, τοῦ ξύλου τῆς ζωῆς ἀπολαύετε. Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στιχηρὰ Προσόμοια, Ἦχος ὁ αὐτός. Πανεύφημοι Μάρτυρες.

Νηστείαν ποθήσωμεν ψυχῆς, πάθη χαλεπώτατα, τῇ συνεργείᾳ τοῦ **Πνεύματος**, καταμαραίνουσαν, καὶ ἐνθέους πράξεις, πράττειν ἐνισχύουσαν, καὶ νοῦν πρὸς οὐρανὸν ἀναπέμπουσαν, καὶ τὴν συγχώρησιν, προξενοῦσαν ὧν ἡμάρτομεν, δωρουμένην, ἐκ Θεοῦ οἰκτίρμονος.

Ἅπαντα τὸν βίον μου αἰσχρῶς, δαπανήσας Κύριε, μετὰ πορνῶν ὁ ταλαίπωρος, ὥσπερ ὁ Ἄσωτος, κατανύξει κράζω· Πάτερ ἐπουράνιε, ἡμάρτηκα, ἱλάσθητι, σῶσόν με, καὶ μὴ ἀπώσῃ με, ἐμαυτὸν ἐκ σοῦ μακρύναντα, καὶ ἐνθέοις, ἔργοις νῦν πτωχεύσαντα.

Ἕτερα Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Δίδου μοι κατάνυξιν, καὶ τῶν κακῶν ἀλλοτρίωσιν, καὶ τελείαν διόρθωσιν, εἰς πάθη τοῦ σώματος, νῦν βεβυθισμένῳ, καὶ μεμακρυμένῳ, ἐκ σοῦ Θεὲ Παμβασιλεῦ, καὶ μηδαμόθεν ἐλπίδα ἔχοντι· καὶ σῶσόν με τὸν ἄσωτον, διὰ πολλὴν ἀγαθότητα, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Μωσῆς ὁ θεσπέσιος, διὰ νηστείας τεθέαται, καθαρθεὶς τὸν ποθούμενον· τοῦτον οὖν ζηλώσασα, ταπεινὴ ψυχή μου, σπεῦσον ἐν ἡμέρᾳ, τῆς ἐγκρατείας τῶν κακῶν, ἐκκαθαρθῆναι,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ὅπως τὸν Κύριον, διδόντα σοι τὴν ἄφεσιν, καὶ ἱλασμὸν καὶ τὴν λύτρωσιν, θεωρήσῃς ὑπάρχοντα, ἀγαθὸν καὶ φιλάνθρωπον.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Εἴσοδος. Προκείμενον, Ἦχος δ'.

Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα.

Στίχ. Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός;

Γενέσεως τὸ Ἀνάγνωσμα. Κεφ. ζ'. 6

Νῶε ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς. Εἰσῆλθε δὲ Νῶε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν Κιβωτὸν, διὰ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ. Καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν πετεινῶν, τῶν μὴ καθαρῶν, καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν, καὶ ἀπὸ τῶν θηρίων, καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς, δύο δύο εἰσῆλθον πρὸς Νῶε εἰς τὴν Κιβωτὸν, ἄρσεν καὶ θῆλυ, καθὰ ἐνετείλατο αὐτῷ ὁ Θεός.

Προκείμενον, Ἦχος πλ. α'.

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ.

Στίχ. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφ. θ'. 12.

Υἱὲ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τῷ πλησίον σου· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀντλήσεις τὰ κακά. Υἱὸς πεπαιδευμένος, σοφὸς ἔσται· τῷ δὲ ἄφρονι, διακόνῳ χρήσεται. Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους, ὁ δ' αὐτὸς διώξεται ὄρνεα πτερωτά· ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται. Διαπορεύεται δὲ δι' ἀνύδρου, καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν. Γυνὴ ἄφρων καὶ θρασεῖα ἐνδεὴς ψωμοῦ γίνεται, ἣ οὐκ ἐπίσταται αἰσχύνην. Ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου, ἐπὶ δίφρου ἐμφανῶς ἐν ταῖς πλατείαις, προσκαλουμένη τοὺς παριόντας ὁδὸν, τοὺς κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν· Ὃς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρός με· καὶ τοῖς ἐνδεέσι φρονήσεως παρακελεύομαι, λέγουσα· Ἄρτων κρυφίως ἡδέως ἅψασθε, καὶ ὕδατος κλοπῆς γλυκεροῦ. Ὁ δὲ οὐκ οἶδεν, ὅτι γηγενεῖς παρ' αὐτῇ ὄλλυν-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ται, καὶ ἐπὶ πέταυρον ᾅδου συναντᾷ. Ἀλλὰ ἀποπήδησον, μὴ ἐγχρονίσῃς ἐν τῷ τόπῳ αὐτῆς, μηδὲ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτήν· οὕτω γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον· ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολὺν ζήσῃς χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Εἶτα τὸ, **Κατευθυνθήτω**. Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τῶν Προηγιασμένων.

# ΕΡΜΗΝΕΙΑ
## ΤΗΣ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ
## ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ, ὅτε μέλλει ὁ Ἱερεὺς ποιῆσαι Προηγιασμένην Λειτουργίαν, ἐν τῇ Προσκομιδῇ τῆς Κυριακῆς, ποιεῖ ὡς σύνηθες· καὶ μετὰ τὸ περικόψαι τὸν πρῶτον Ἄρτον καὶ κεντῆσαι, περικόπτει καὶ τοὺς ἑτέρους Ἄρτȣς, λέγων εἰς ἕνα ἕκαςον τὸ, **Εἰς ἀνάμνησιν· Ὡς πρόβατον·** καὶ τὸ, **Θύεται·** καὶ τὸ, **Εἷς τῶν ςρατιωτῶν.** Εἶθ' οὕτως ἐγχέει ἐν τῷ ἁγίῳ Ποτηρίῳ οἶνον καὶ ὕδωρ, λέγων τὰ συνήθη, καὶ συγκαλύπτει αὐτὰ μετὰ τῶν ἱερῶν Καλυμμάτων, καὶ θυμιᾷ, λέγων τὴν Εὐχὴν τῆς Προθέσεως· καὶ οὕτως ἄρχεται τῆς Θείας Λειτουργίας, καὶ ἐκπληροῖ αὐτὴν, ὡς ἔθος.

Ὅτε δὲ μέλλει σφραγίσαι τοὺς Ἄρτους, λέγει· **Ποίησον τὸν μὲν Ἄρτον τοῦτον,** ἑνικῶς, ὡς εἷς ἐςιν ὁ Χριστός· οὐχ' ὡς τινες ἀμαθῶς λέγουσι, τοὺς Ἄρτους τούτους· καὶ ὅτε μέλλει ὑψῶσαι, ὑψοῖ ὅλους ὁμοῦ, καὶ μελίζει τὸν προσκομιζόμενον πρῶτον Ἄρτον, καὶ τίθησι τὴν Μερίδα ἐν τῷ ἁγίῳ Ποτηρίῳ, καὶ ἐγχέει καὶ τὸ Ζέον, ὡς ἔθος. Εἶτα, λαβὼν τὴν ἁγίαν Λαβίδα μετὰ τῆς δεξιᾶς χειρὸς, βάφει αὐτὴν ἐν τῷ ἁγίῳ Αἵματι· τῇ δὲ ἀριστερᾷ χειρὶ λαμβάνει ἕκαστον Ἄρτον, καὶ εἰσφέρει τὴν ἁγίαν Λαβίδα, μετὰ τοῦ ἁγίου Αἵματος βεβαμμένην, καὶ ἐγγίζει αὐτὴν ἐν τῷ ἁγίῳ Ἄρτῳ σταυροειδῶς ἐν τῷ μέρει, ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ῷ ἐχαράχθη ὁ Σταυρὸς ὑπὸ τὴν ψίχα, καὶ ἀποτίθησι τοῦτον ἐν τῷ Ἀρτοφορίῳ. Εἶτα λαμβάνει καὶ τοὺς ἑτέρους, καὶ ποιεῖ ὡσαύτως εἰς ἕνα ἕκαστον, καὶ συστέλλει αὐτοὺς πάντας ἐν τῷ Ἀρτοφορίῳ. Ἔπειτα ὁ Ἱερεὺς εὔχεται, ὡς σύνηθες, καὶ μεταδίδοται, καὶ ἐκπληροῖ τὴν θείαν Μυσταγωγίαν, κατὰ τὸ διατεταγμένον.

Ὅτε δὲ μέλλει ἱερουργῆσαι Προηγιασμένην, εἰσελθὼν ἐν τῷ Ἱερατείῳ ἐνδύεται τὴν Ἱερατικὴν στολήν, σφραγίζων καὶ ἀσπαζόμενος μόνον, μηδὲν δὲ ἐπιλέγων, εἰμή, **Τοῦ Κυρίου δεηθῶμεν,** εἰς ἓν ἕκαστον τῶν ἐνδυμάτων. Καὶ λαβὼν ὁ Διάκονος καιρόν, ἐξέρχεται· ὁ δὲ Ἱερεὺς ἐκφωνεῖ· **Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρός·** καὶ εὐθὺς ὁ Ἐκκλησιάρχης τό, **Δεῦτε προσκυνήσωμεν,** γ'. καὶ λέγεται ὁ Προοιμιακὸς ψαλμός· ὁ δὲ Ἱερεὺς λέγει τὰς Εὐχὰς τοῦ Λυχνικοῦ. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ Ψαλμοῦ, λέγεται ἡ Συναπτὴ παρὰ τοῦ Διακόνου· καὶ μετὰ τὴν Ἐκφώνησιν, στιχολογεῖται τά, **Πρὸς Κύριον,** γινομένων καὶ μετανοιῶν εἰς τό, **Ἀλληλούϊα.** Ἐν ἑκάστῳ δὲ Ἀντιφώνῳ, γίνεται Συναπτὴ μικρὰ παρὰ τοῦ Διακόνου, καὶ ἡ Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Ἀρξαμένης δὲ τῆς Στιχολογίας, ἀπέρχεται ὁ Ἱερεὺς ἐν τῇ ἁγίᾳ Προθέσει, λαβὼν τὸν προηγιασμένον Ἄρτον ἐκ τοῦ Ἀρτοφορίου, καὶ τίθησιν αὐτὸν μετ' εὐλαβείας πολλῆς ἐν τῷ ἁγίῳ Δίσκῳ, βαλὼν καὶ εἰς τὸ ἅγιον Ποτήριον οἶνον καὶ ὕδωρ, συνήθως σιωπῶν, καὶ μηδὲν λέγων· καὶ λαβὼν θυμίαμα, θυμιᾷ τὸν Ἀστερίσκον καὶ τὰ Καλύμματα· καὶ περικαλύπτει αὐτά, μηδὲν ὅλως λαλῶν, μήτε Εὐχὴν τῆς Προθέσεως, κἂν καὶ ἔντισιν εὕρηται, ἀλλ' ἢ μόνον τό, **Δι' εὐχῶν τῶν ἁγίων Πατέρων·** προηγιασμένη γάρ ἐστι καὶ τετελειωμένη αὕτη ἡ Θυσία.

Μετὰ δὲ τὸ Κάθισμα, τό, **Κύριε ἐκέκραξα,** εἰς τὸν Ἦχον τοῦ Ἰδιομέλου τῆς ἡμέρας, ἱστῶμεν Στίχ. ι'. καὶ δευτεροῦμεν τὸ Ἰδιόμελον· εἶτα τὸ Μαρτυρικόν, τὰ τρία Προσόμοια τοῦ Τριῳδίου, καὶ τὰ γ'. τοῦ Μηναίου, δευτεροῦντες τὸ ἕν. **Δόξα, καὶ νῦν,** Θεοτοκίον, Εἴσοδος, ἄνευ Εὐαγγελίου.

Ὅτε δὲ μέλλει εἰπεῖν Εὐαγγέλιον, ἤγουν, εἰς τὴν Εὕρεσιν τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου, εἰς τὴν μνήμην τῶν Τεσ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σαράκοντα Μαρτύρων, τȣ̃ Εὐαγγελισμοῦ, καὶ τῇ μεγάλῃ Ἑβδομάδι, τότε εἰσοδεύει μετὰ τοῦ Εὐαγγελίου. Ὁ Διάκονος, **Σοφία, ὀρθοί·** τὸ, **Φῶς ἱλαρόν·** Ὁ Διάκονος· **Πρόσχωμεν·** Ὁ Ἀναγνώστης τὸ Προκείμενον, καὶ τὴν Γένεσιν· εἶτα τὸ δεύτερον Προκείμενον. Καὶ μετὰ τοῦτο ἐκφωνεῖ ὁ Διάκονος· **Κελεύσατε.** Ὁ δὲ Ἱερεὺς λαβὼν τῇ εὐωνύμῳ χειρὶ Θυμιατὸν, καὶ μανουάλιον μετὰ κηροῦ, ἵσταται κατενώπιον τῆς ἁγίας Τραπέζης, καὶ σφραγίζων Σταυρὸν, λέγει· **Σοφία, ὀρθοί·** καὶ ςραφεὶς πρὸς τὸν λαὸν, λέγει· **Φῶς Χριςοῦ φαίνει πᾶσι.** Ὁ Ἀναγνώςης· **Παροιμιῶν τὸ Ἀνάγνωσμα·** Ὁ Διάκονος· **Πρόσχωμεν,** Μετὰ δὲ τὴν συμπλήρωσιν αὐτῆς, λέγει ὁ Ἱερεύς· **Εἰρήνη σοι.** Ὁ Διάκονος· **Σοφία·** Ὁ Ψάλτης τὸ, **Κατευθυνθήτω** (*) Στίχ. α'. **Κύριε, ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου.** Στίχ. β'. **Θοῦ, Κύριε, φυλακὴν τῷ ςόματί μου.** Στίχ. γ'. **Μὴ ἐκκλίνῃς τὴν καρδίαν μȣ·** καὶ μετὰ ταῦτα ποιȣ̃μεν μετανοίας γ'. Εἶτα ὁ Διάκονος· τὴν Ἐκτενῆ, καὶ τὰ λοιπά.

Εἰς δὲ τὴν μεγάλην Εἴσοδον, ἀντὶ τοῦ συνήθους Χερȣβικοῦ, τὸ, **Νῦν αἱ Δυνάμεις·** ἡ δὲ Εὐχὴ τοῦ Χερȣβικοῦ οὐ λέγει ὁ Ἱερεὺς, ἀλλὰ θυμιῶν, λέγει καθ' ἑαυτὸν τον Πεντηκοστόν· καὶ μετὰ τὴν πρόοδον τῶν ἁγίων Δώρων, πληρουμένου, τοῦ, **Νῦν αἱ Δυνάμεις,** βάλλομεν Μετανοίας τρεῖς, ἀσκεπεῖς ὄντες· αἴρει δὲ ὁ Ἱερεὺς τὰ Καλύμματα ἐκ τῶν ἁγίων Δώρων, καὶ σκεπάζει αὐτὰ μετὰ τȣ̃ Ἀέρος. Ὅταν δὲ μέλλῃ ὑψῶσαι τὸν ἅγιον Ἄρτον, ȣ̓κ ἀνακαλύπτει τὰ Ἅγια, ἀλλ' ἔτι κεκαλυμμένων τῶν θείων ὄντων Δώρων, εἰσάγει ὁ Ἱερεὺς τὴν χεῖρα αὐτοῦ δέει πολλῷ, καὶ ἅπτεται τοῦ θείȣ Ἄρτȣ μετ' εὐλαβείας καὶ φόβȣ. Λέγοντος δὲ τοῦ Διακόνου. **Πρόσχωμεν·** ἐκφωνεῖ ὁ Ἱερεύς· **Τὰ Προηγιασμένα Ἅγια τοῖς Ἁγίοις.** Καὶ τὰ λοιπὰ, ὡς ἔθος.

(*) Ἐν τοῖς εὐαγέσι Μοναστηρίοις, καὶ ταῖς ἁπανταχοῦ ἁγίαις Ἐκκλησίαις ὁ Ἱερεὺς ψάλλει τὸ, Κατευθυνθήτω, ἱστάμενος καὶ θυμιῶν, ἐντὸς τοῦ Ἱεροῦ, κατενώπιον τῆς ἁγίας Τραπέζης. Εἶτα ψάλλουσιν αὐτὸ γ'. καὶ οἱ Χοροὶ θυμιῶντος τοῦ Ἱερέως γύρωθεν τῆς ἁγίας Τραπέζης, καὶ λέγοντος τοὺς Στίχους. Καὶ πάλιν ὁ Ἱερεὺς τὸ, Κατευθυνθήτω· καὶ οἱ Χοροὶ ἀποπληροῦσιν αὐτὸ, ψάλλοντες· Ἔπαρσις τῶν χειρῶν μου. Ἐν τοσούτῳ δὲ ποιοῦμεν μετανοίας μεγάλας γ'.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

## ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ.

Ὁ Διάκονος λέγει· Εὐλόγησον, Δέσποτα.

Καὶ ὁ Ἱερεὺς ἐκφώνως·

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ὁ Προοιμιακὸς παρὰ τοῦ ταχθέντος Μοναχοῦ· καὶ μετὰ τὸν Προοιμιακὸν, λέγει τὰ Εἰρηνικὰ ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.
Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου.
Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.
Ὑπὲρ τῶν εὐσεβεστάτων.
Ὑπὲρ τοῦ συμπολεμῆσαι.
Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης.
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Μετὰ δὲ τὴν Ἐκφώνησιν ἀρχόμεθα τῆς Στιχολογίας τῶν, Πρὸς Κύριον. Ὁ δὲ Ἱερεὺς ποιεῖ ὅσα προγέγραπται (σελ. 100)

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἀναγινωσκομένων δὲ τῶν Ψαλμῶν, λέγει ὁ Ἱερεὺς μυστικῶς τὰς Εὐχάς.

Εὐχὴ τῆς Α'. Στάσεως.

Κύριε, οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· Ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τὰς καρδίας ἡμῶν, εἰς τὸ φοβεῖσθαι τὸ Ὄνομά σου τὸ ἅγιον, διότι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια. Σὺ εἶ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε· δυνατὸς ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν, καὶ σώζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ Ὄνομά σου τὸ ἅγιον.

Ὁ Διάκονος, μετὰ τὸ, Δόξα, καὶ νῦν, τῆς Στιχολογίας·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εὐχὴ τῆς Β'. Στάσεως.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς· ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν, ὁδηγῶν ἡμᾶς ἐπὶ λιμένα θελήματός σου. Φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν, εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου.

Ὁ Διάκονος, μετὰ τὸ, Δόξα, καὶ νῦν.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εὐχὴ τῆς Γ'. Στάσεως.

Κύριε, ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον καὶ προσκυνητὸν Ὄνομά σου, καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου· ἀλλὰ χάρισαι ἡμῖν, ὁ Θεὸς, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾷν, καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου.

Ὁ Διάκονος, μετὰ τὸ, Δόξα, καὶ νῦν.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ψάλλεται τὸ, Κύριε ἐκέκραξα· καὶ ὁ Διάκονος θυμιᾷ κατὰ τὴν τάξιν. Καὶ μετὰ ταῦτα, γίνεται ἡ Εἴσοδος μετὰ τοῦ Θυμιατοῦ.

Εὐχὴ τῆς Εἰσόδου. Μυστικῶς.

Ἑσπέρας, καὶ πρωῒ, καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καὶ δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε· Κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας· ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σὲ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν· μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἰπόντος δὲ τοῦ Χοροῦ τὸ τελευταῖον Τροπάριον, λέγει ὁ Διάκονος ἐκφώνως· Σοφία, ὀρθοί.

Καὶ ὁ Ἀναγνώστης λέγει τὸ Προκείμενον, καὶ τὴν Γένεσιν· καὶ μετὰ τὴν πλήρωσιν ταύτης, κρατῶν ὁ Ἱερεὺς τὴν λαμπάδα μετὰ τοῦ Θυμιατηρίου ἐν τῇ εὐωνύμῳ χειρὶ, λέγει ἐκφώνως·

Σοφία, ὀρθοί. Φῶς Χριστοῦ φαίνει πᾶσι. (Ὅρα ὄπισθεν σελ. 101).

Καὶ ὁ Ἀναγνώστης λέγει καὶ τὴν Παροιμίαν.

Μετὰ δὲ τὸ, Κατευθυνθήτω, λέγει ὁ Διάκονος·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς.
Κύριε παντοκράτορ, ὁ Θεός.
Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα, κ.τ.λ.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας. Μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Ὁ Διάκονος·

Εὔξασθε, οἱ Κατηχούμενοι. Ὁ Χορός· Κύριε ἐλέησον κ.τ.λ.
Οἱ Πιστοὶ, ὑπὲρ τῶν Κατηχουμένων.
Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.
Κατηχήσῃ αὐτοὺς τὸν λόγον.
Ἀποκαλύψῃ αὐτοῖς.
Ἑνώσῃ αὐτοὺς τῇ Ἁγίᾳ αὐτοῦ.
Σῶσον, ἐλέησον, ἀντιλαβοῦ.
Οἱ Κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν.

Εὐχὴ ὑπὲρ τῶν Κατηχουμένων. Μυστικῶς.

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ πάντας θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς Κατηχουμένους, καὶ λύτρωσαι αὐτοὺς τῆς παλαιᾶς πλάνης, καὶ τῆς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μεθοδείας τοῦ ἀντικειμένου· καὶ προσκάλεσαι αὐτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον, φωτίζων αὐτῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ συγκαταριθμῶν αὐτοὺς τῇ λογικῇ σου ποίμνῃ, ἐφ' ἣν τὸ Ὄνομά σου τὸ ἅγιον ἐπικέκληται· Ἐκφώνως

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Ὁ Διάκονος·

Ὅσοι Κατηχούμενοι, προέλθετε· οἱ Κατηχούμενοι, προέλθετε. ὅσοι Κατηχούμενοι, προέλθετε· μήτις τῶν Κατηχυμένων. Ὅσοι Πιστοὶ,

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς λέγει τὴν α'. Εὐχὴν τῶν Πιςῶν· Ὁ Θεὸς, ὁ μέγας καὶ αἰνετὸς κ.τ.λ. ( σελ. 107).

Ταῦτα μόνα λέγονται μέχρι τῆς Τρίτης τῆς τετάρτης Ἑβδομάδος. Ἀπὸ δὲ τῆς Τετάρτης τῇ Μεσονηςίμυ, μετὰ τὸ εἰπεῖν τὸ, Ἵνα καὶ αὐτοὶ, λέγονται καὶ τὰ Διακονικὰ ταῦτα τῶν διπλοκατηχουμένων, ὡς ἕπονται·

Ὅσοι Κατηχούμενοι, προέλθετε· οἱ Κατηχούμενοι, προέλθετε· ὅσοι πρὸς τὸ Φώτισμα, προέλθετε. Εὔξασθε οἱ πρὸς τὸ Φώτισμα· τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Οἱ Πιστοὶ, ὑπὲρ τῶν πρὸς τὸ ἅγιον Φώτισμα εὐτρεπιζομένων ἀδελφῶν, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν στηρίξῃ αὐτοὺς καὶ ἐνδυναμώσῃ, τοῦ Κυρίου δεηθῶμεν.

Φωτίσῃ αὐτοὺς φωτισμῷ γνώσεως καὶ εὐσεβείας, τοῦ Κυρίου δεηθῶμεν.

Καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, τοῦ Κυρίου δεηθῶμεν.

Ἀναγεννήσῃ αὐτοὺς δι' ὕδατος καὶ Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Χαρίσηται αὐτοῖς τὴν τελειότητα τῆς Πίστεως, τοῦ Κυρίου δεηθῶμεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Συγκαταριθμήσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καὶ ἐκλεκτῇ Ποίμνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτοὺς, ὁ Θεὸς, τῇ σῇ χάριτι.

Οἱ πρὸς τὸ Φώτισμα, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Εὐχὴ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον Φώτισμα εὐτρεπιζομένων. Μυστικῶς.

Ἐπίφανον, Δέσποτα, τὸ πρόσωπόν σου ἐπὶ τοὺς πρὸς τὸ ἅγιον Φώτισμα εὐτρεπιζομένους, καὶ ἐπιποθοῦντας τὸν τῆς ἁμαρτίας μολυσμὸν ἀποτινάξασθαι· καταύγασον αὐτῶν τὴν διάνοιαν· βεβαίωσον αὐτοὺς ἐν τῇ πίστει· στήριξον ἐν ἐλπίδι· τελείωσον ἐν ἀγάπῃ· μέλη τίμια τοῦ Χριστοῦ σου ἀνάδειξον, τοῦ δόντος ἑαυτὸν ἀντίλυτρον ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Ὁ Διάκονος·

Ὅσοι πρὸς τὸ Φώτισμα, προέλθετε· οἱ πρὸς τὸ Φώτισμα προέλθετε. Ὅσοι Κατηχούμενοι, προέλθετε· μήτις τῶν Κατηχουμένων. Ὅσοι Πιστοὶ,

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἕως ὧδε τὰ ἀπὸ τῆς Τετάρτης τῆς Μεσονηστίμου.

Εὐχὴ Πιστῶν πρώτη. Μυστικῶς.

Ὁ Θεὸς, ὁ μέγας καὶ αἰνετὸς, ὁ τῷ ζωοποιῷ τοῦ Χριστοῦ σου θανάτῳ εἰς ἀφθαρσίαν ἡμᾶς ἐκ φθορᾶς μεταστήσας· σὺ πάσας ἡμῶν τὰς αἰσθήσεις τῆς ἐμπαθοῦς νεκρώσεως ἐλευθέρωσον, ἀγαθὸν ταύταις ἡγεμόνα τὸν ἔνδοθεν λογισμὸν ἐπιστήσας· καὶ ὀφθαλμὸς μὲν ἀπέσω παντὸς πονηροῦ βλέμματος, ἀκοὴ δὲ λόγοις ἀργοῖς ἀνεπίβατος, ἡ δὲ γλῶσσα καθαρευέτω ῥημάτων ἀπρεπῶν. Ἅγνισον ἡμῶν τὰ χείλη τὰ αἰνοῦντά σε, Κύριε· τὰς χεῖρας ἡμῶν ποίησον, τῶν μὲν φαύλων ἀπέχεσθαι πράξεων, ἐνεργεῖν δὲ μόνα τὰ σοὶ εὐάρεστα, πάντα ἡμῶν τὰ μέλη καὶ τὴν διάνοιαν τῇ σῇ κατασφαλιζόμενος χάριτι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον κ.τ.λ. Σοφία.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Πιστῶν δευτέρα. Μυστικῶς.

Δέσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν σε τὸν ἐν ἐλέει πλούσιον, ἵλεων γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀξίους ἡμᾶς ποιῆσαι τῆς ὑποδοχῆς τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ Θεοῦ ἡμῶν, τοῦ Βασιλέως τῆς δόξης: Ἰδοὺ γὰρ τὸ ἄχραντον αὐτοῦ Σῶμα, καὶ τὸ ζωοποιὸν Αἷμα, κατὰ τὴν παροῦσαν ὥραν εἰσπορευόμενα, τῇ μυστικῇ ταύτῃ προτίθεσθαι μέλλει Τραπέζῃ, ὑπὸ πλήθους Στρατιᾶς οὐρανίου ἀοράτως δορυφορούμενα· ὧν τὴν μετάληψιν ἀκατάκριτον ἡμῖν δώρησαι, ἵνα δι' αὐτῶν τὸ τῆς διανοίας ὄμμα καταυγαζόμενοι, υἱοὶ φωτὸς καὶ ἡμέρας γενώμεθα· Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον κ.τ.λ. Σοφία.

Ὁ Ἱερεὺς ἐκφώνως·

Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς, εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ, Νῦν αἱ Δυνάμεις. Καὶ γίνεται ἡ Εἴσοδος τῶν Ἁγίων Δώρων. (*) Μετὰ δὲ τὴν Εἴσοδον, ἀποτίθησιν ὁ Ἱερεὺς τὰ ἅγια Δῶρα. Ὁ Διάκονος·

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων καὶ προαγιασθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς

(*) Σημείωσαι ὅτι, ἐν τῇ ἁγίᾳ ταύτῃ Εἰσόδῳ ὅ, τε Ἱερεὺς καὶ ὁ Διάκονος ἐξελθόντες, ὡς σύνηθες, διὰ τοῦ βορείου μέρους, οὐ περιέρχονται, ἀλλ' εἰσπορεύονται ἀμέσως ἔνδον τῶν ἁγίων Θυρῶν, βαδίζοντες σὺν πολλῇ εὐλαβείᾳ καὶ φόβῳ, καὶ μηδὲν ὅλως λέγοντες.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ Θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν, καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὁ τῶν ἀῤῥήτων καὶ ἀθεάτων Μυστηρίων Θεὸς, παρ' ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως οἱ ἀπόκρυφοι· ὁ τὴν διακονίαν τῆς λειτουργίας ταύτης ἀποκαλύψας ἡμῖν, καὶ θέμενος ἡμᾶς τοὺς ἁμαρτωλοὺς, διὰ τὴν πολλήν σου φιλανθρωπίαν, εἰς τὸ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· αὐτὸς, ἀόρατε Βασιλεῦ, ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμὸς, ἔπιδε ἐφ' ἡμᾶς τοὺς ἀναξίους δούλους σου, τοὺς τῷ ἁγίῳ σου τούτῳ Θυσιαστηρίῳ, ὡς τῷ Χερουβικῷ σου παρισταμένους θρόνῳ, ἐφ' ᾧ ὁ μονογενής σου Υἱὸς, καὶ Θεὸς ἡμῶν, διὰ τῶν προκειμένων φρικτῶν ἐπαναπαύεται Μυστηρίων· καὶ πάσης ἡμᾶς, καὶ τὸν πιστόν σου λαὸν ἐλευθερώσας ἀκαθαρσίας, ἁγίασον πάντων ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἁγιασμῷ ἀναφαιρέτῳ· ἵνα ἐν καθαρῷ συνειδότι, ἀνεπαισχύντῳ προσώπῳ, πεφωτισμένῃ καρδίᾳ, τῶν θείων τούτων μεταλαμβάνοντες Ἁγιασμάτων, καὶ ὑπ' αὐτῶν ζωοποιούμενοι, ἑνωθῶμεν αὐτῷ τῷ Χριστῷ σου, τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ εἰπόντι· Ὁ τρώγων μου τὴν Σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ· Ὅπως, ἐνοικοῦντος ἐν ἡμῖν, καὶ ἐμπεριπατοῦντος τοῦ Λόγου σου, Κύριε, γενώμεθα ναὸς τοῦ παναγίου καὶ προσκυνητοῦ σου Πνεύματος, λελυτρωμένοι πάσης διαβολικῆς μεθοδείας, ἐν πράξει, ἢ λόγῳ, ἢ κατὰ διάνοιαν ἐνεργουμένης· καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, σὺν πᾶσι τοῖς Ἁγίοις σου, τοῖς ἀπ' αἰῶνός σοι εὐαρεστήσασιν. Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν.

Τὰ καλὰ, καὶ συμφέροντα.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν.

Τὴν ἑνότητα τῆς Πίστεως, καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνησις ὑπὸ τοῦ Ἱερέως.

Καὶ καταξίωσον ἡμᾶς Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾷν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν, Πατέρα, καὶ λέγειν· Ὁ Λαὸς τό, Πάτερ ἡμῶν.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ αὐτός· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ δὲ Ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς·

Ὁ Θεὸς, ὁ μόνος ἀγαθὸς καὶ εὔσπλαγχνος, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ἔπιδε εὐσπλάγχνῳ ὄμματι ἐπὶ πάντα τὸν λαόν σου, καὶ φύλαξον αὐτὸν, καὶ ἀξίωσον πάντας ἡμᾶς ἀκατακρίτως μετασχεῖν τῶν ζωοποιῶν σου τούτων Μυστηρίων· σοὶ γὰρ τὰς ἑαυτῶν ὑπεκλίναμεν κεφαλὰς, ἀπεκδεχόμενοι τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἐκφώνως·

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

Εἶτα ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς Βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τοῦ τιμίου σου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ Λαῷ.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Μετὰ δὲ τὴν Εὐχὴν, ὅ,τε Ἱερεὺς καὶ ὁ Διάκονος προσκυνοῦσι τρὶς, λέγοντες· **Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.** Ὁ δὲ Ἱερεὺς, ἐπικεκαλυμμένων ὄντων τῶν Θείων Δώρων, βαλὼν τὴν χεῖρα, ἅπτεται τοῦ ζωοποιοῦ Ἄρτου, μετ' εὐλαβείας καὶ φόβου πολλοῦ· καὶ λέγοντος τοῦ Διακόνου, **Πρόσχωμεν·**

Ἐκφωνεῖ ὁ Ἱερεύς·

Τὰ προηγιασμένα Ἅγια τοῖς Ἁγίοις.

Εἶτα, ἀνακαλύψας αὐτὰ, ἐκπληροῖ τὴν Μετάληψιν τῶν Θείων Δώρων, μελίσας τὸν ἅγιον Ἄρτον. Τῆς δὲ Μεταλήψεως τελειωθείσης, καὶ τῶν ἁγίων Λειψάνων ἐν τῷ ἁγίῳ Ποτηρίῳ ἀποσπογγισθέντων, ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς·

Εὐχαριστοῦμέν σοι τῷ Σωτῆρι τῶν ὅλων Θεῷ, ἐπὶ πᾶσιν οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ Μεταλήψει τοῦ ἁγίου Σώματος, καὶ Αἵματος τοῦ Χριστοῦ σου· καὶ δεόμεθά σου, Δέσποτα φιλάνθρωπε· Φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου· καὶ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν Ἁγιασμάτων σου, εἰς φωτισμὸν ψυχῆς καὶ σώματος, εἰς Βασιλείας οὐρανῶν κληρονομίαν.

Ὁ Διάκονος·

Ὀρθοὶ μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν.

Ἐκφώνησις ὑπὸ τοῦ Ἱερέως.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς· Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ Ὀπισθάμβωνος

ἐκφωνουμένη παρὰ τοῦ Ἱερέως.

Δέσποτα Παντοκράτορ, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν, καὶ πολλὴν ἀγαθότητα ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας, πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἐγκράτειαν παθῶν, πρὸς ἐλπίδα ἀναστάσεως· ὁ διὰ τεσσαράκοντα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἡμερῶν πλάκας χειρίσας τὰ θεοχάρακτα γράμματα τῷ θεράποντί σου Μωσεῖ· παράσχου καὶ ἡμῖν, Ἀγαθὲ, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, τὸν δρόμον τῆς νηστείας ἐκτελέσαι, τὴν Πίςιν ἀδιαίρετον τηρῆσαι, τὰς κεφαλὰς τῶν ἀοράτων δρακόντων συνθλᾶσαι, νικητάς τε τῆς ἁμαρτίας ἀναφανῆναι, καὶ ἀκατακρίτως φθάσαι προσκυνῆσαι καὶ τὴν ἁγίαν Ἀνάςασιν. Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τȣ̃ Ἁγίȣ Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ Ἅγια. Μυστικῶς.

Κύριε ὁ Θεὸς, ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας, καὶ κοινωνοὺς ἡμᾶς ποιήσας τῶν φρικτῶν σου Μυςηρίων, σύναψον τῇ λογικῇ σου ποίμνῃ, καὶ κληρονόμους ἀνάδειξον τῆς Βασιλείας σου, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Χορὸς λέγει τοὺς δύο Ψαλμοὺς, τὸ, Εὐλογήσω τὸν Κύριον, καὶ, τὸ, Ὑψώσωσε, ὁ Θεός μου, ὁ Βασιλεύς μου.

Ὁ δὲ Ἱερεὺς ποιεῖ Ἀπόλυσιν, ὡς σύνηθες. Εἶτα ἐξελθὼν, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, δίδωσι τὸ Ἀντίδωρον.

## ΕΥΧΑΙ ΕΙΣ ΓΥΝΑΙΚΑ ΛΕΧΩ

Τῇ πρώτῃ ἡμέρᾳ τῆς γεννήσεως τοῦ Παιδίου αὐτῆς. (*)

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε παντοκράτορ, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν· αὐτὸς καὶ τὴν παροῦσαν τὴν σήμερον τέξασαν δούλην σου (τήνδε) ἴασαι, καὶ ἀνάστησον αὐ-

(*) Ἐν τῷ παλαιῷ Χειρογράφῳ τοῦ Μεγάλου Σπηλαίου πορηγοῦνται τὰ ἐφεξῆς· «Ποιεῖ ὁ Ἱερεὺς Εὐλογητόν. Τὸ Τρισάγιον· Παναγία Τριάς· Πάτερ » ἡμῶν. Ὅτι σοῦ ἐστι. Τὸ Ἀπολυτίκιον τῆς ἡμέρας, καὶ τὸ Κοντάκιον, εἰ » ἔστιν Ἑορτή· εἰδὲ μὴ, Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον. Δόξα. Κύριε » ἐλέησον ἡμᾶς, πάσης. Καὶ νῦν· Τῆς εὐσπλαγχνίας. Εἰ δὲ βούλει, » λέγε· Ἡ Γέννησίς σου Χριςὲ ὁ Θεὸς ἡμῶν κτλ. καὶ τὸ, Ἡ Γέννησίς » σου Θεοτόκε κτλ. Εἶτα· Τοῦ Κυρίου δεηθῶμεν» κτλ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τὴν ἀπὸ τῆς κλίνης, ἧς ἐπίκειται· ὅτι, κατὰ τὸν τοῦ Προφήτου Δαυῒδ λόγον, ἐν ἀνομίαις συνελήφθημεν, καὶ διὰ ῥύπου πάντες ἐσμὲν ἐνώπιόν σου. Φύλαξον ταύτην, καὶ τὸ παρὸν Νήπιον, ὃ ἔτεκε· σκέπασον αὐτὴν ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου ἀπὸ τῆς σήμερον, μέχρι τῆς ἐσχάτης αὐτῆς τελειώσεως· πρεσβείαις τῆς παναχράντȣ Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τεχθεὶς ἐκ τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ ὡς νήπιον ἐν φάτνῃ ἀνακλιθεὶς, καὶ ὡς βρέφος ἀναδειχθείς· αὐτὸς καὶ τὴν παροῦσαν δούλην σου, τὴν σήμερον τέξασαν τὸ παρὸν Παιδίον, ἐλέησον, καὶ συγχώρησον τὰ ἑκούσια καὶ τὰ ἀκούσια αὐτῆς πταίσματα, καὶ διαφύλαξον αὐτὴν ἀπὸ πάσης τοῦ διαβόλου τυραννίδος· καὶ τὸ ἐξ αὐτῆς κυηθὲν Νήπιον διατήρησον ἀπὸ πάσης φαρμακείας, ἀπὸ πάσης χαλεπότητος, ἀπὸ πάσης ζάλης τοῦ ἀντικειμένου, ἀπὸ πνευμάτων πονηρῶν, ἡμερινῶν τε καὶ νυκτερινῶν· ταύτην δὲ διατήρησον ὑπὸ τὴν κραταιάν χεῖρά σου, καὶ δὸς αὐτῇ ταχινὴν ἐξανάστασιν, καὶ τοῦ ῥύπου κάθαρον, καὶ τοὺς πόνους θεράπευσον, καὶ ῥῶσιν καὶ εὐρωστίαν ψυχῇ τε καὶ σώματι δώρησαι· καὶ δι' Ἀγγέλων φαιδρῶν καὶ φωτεινῶν ταύτην περίθαλψον, καὶ περιφρούρησον ἀπὸ πάσης ἐπελεύσεως τῶν ἀοράτων πνευμάτων. Ναὶ, Κύριε, ἀπὸ νόσου καὶ μαλακίας, ἀπὸ ζήλου καὶ φθόνου, καὶ ὀφθαλμῶν βασκανίας, καὶ ἐλέησον αὐτὴν καὶ τὸ Βρέφος, κατὰ τὸ μέγα σου ἔλεος· καὶ καθάρισον αὐτὴν ἀπὸ τοῦ σωματικοῦ ῥύπου, καὶ τῶν ποικίλων αὐτῇ ἐπερχομένων σπλαγχνικῶν ἐνοχλήσεων· καὶ ἔξαξον αὐτὴν, διὰ τῆς ταχινῆς σου ἐλεημοσύνης, ἐν τῷ ταπεινῷ αὐτῆς σώματι εἰς ἐπανόρθωσιν· καὶ τὸ ἐξ αὐτῆς κυηθὲν Νήπιον ἀξίωσον προσκυνῆσαι τὸν ἐπίγειον Ναὸν, ὃν ἡτοίμασας εἰς τὸ δοξολογεῖσθαι τὸ Ὄνομά σου τὸ ἅγιον. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας κατελθεῖν ἐκ τῶν οὐρανῶν, καὶ γεννηθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, διὰ τὴν σωτηρίαν ἡμῶν τῶν ἁμαρτωλῶν, ὁ γινώσκων τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως, συγχώρησον τῇ δούλῃ σου (τῇδε), τῇ τεξάσῃ σήμερον, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου· σὺ γὰρ εἶπας, Κύριε· Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. Διὰ τοῦτο καὶ ἡμεῖς οἱ δοῦλοί σου δεόμεθα, καὶ θαῤῥοῦντες διὰ τῆς ἀνεξικάκου σου φιλανθρωπίας, φόβῳ βοῶμεν πρὸς τὸ τῆς βασιλείας σου ἅγιον Ὄνομα· Ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε τὴν ἀσθένειαν ἡμῶν τῶν καταδίκων, καὶ συγχώρησον τῇ δούλῃ σου (τῇδε), καὶ παντὶ τῷ οἴκῳ, ᾧ ἐγεννήθη τὸ Παιδίον· καὶ τοῖς ἁψαμένοις αὐτῆς, καὶ τοῖς ἐνθάδε εὑρισκομένοις πᾶσιν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον· ὅτι μόνος ἔχεις ἐξουσίαν ἀφιέναι ἁμαρτίας· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν Ἁγίων σου. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΙΣ ΤΟ ΚΑΤΑΣΦΡΑΓΙΣΑΙ ΠΑΙΔΙΟΝ, ΛΑΜΒΑΝΟΝ ΟΝΟΜΑ Τῌ ΟΓΔΟῌ ΗΜΕΡᾼ ΤΗΣ ΓΕΝΝΗΣΕΩΣ ΑΥΤΟΥ.

Ἰστέον δέ, ὅτι τῇ ὀγδόῃ ἡμέρᾳ μετὰ τὴν γέννησιν, προσάγεται ἐν τῷ Ναῷ τὸ Βρέφος παρὰ τῆς Μαίας, καὶ ἵσταται πρὸ τῶν πυλῶν τοῦ Ναοῦ. Ὁ δὲ Ἱερεὺς ποιεῖ Εὐλογητόν· Τρισάγιον· τό, Παναγία Τριάς· Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία. Εἶτα τὸ Ἀπολυτίκιον τῆς ἡμέρας, ἢ τοῦ Ἁγίου τῆς Μονῆς· καὶ σφραγίζει αὐτοῦ τὸ μέτωπον, τὸ στόμα, καὶ τὸ στῆθος, λέγων τὴν ἑπομένην Εὐχήν·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν· Σημειωθήτω τὸ φῶς τοῦ προσώπου σου ἐπὶ τὸν δοῦλόν σου (τόνδε), καὶ σημειωθήτω ὁ Σταυρὸς τοῦ μονογενοῦς σου Υἱοῦ ἐν τῇ καρδίᾳ, καὶ τοῖς διαλογισμοῖς αὐτοῦ, εἰς τὸ φυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

γεῖν τὴν ματαιότητα τοῦ κόσμου, καὶ πᾶσαν τὴν πονηρὰν ἐπιβουλὴν τοῦ ἐχθροῦ, ἀκολουθεῖν δὲ τοῖς προστάγμασί σου. Καὶ δὸς, Κύριε, ἀνεξάρνητον μεῖναι τὸ ὄνομά σου τὸ ἅγιον ἐπ' αὐτὸν, συναπτόμενον ἐν καιρῷ εὐθέτῳ τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, καὶ τελειούμενον διὰ τῶν φρικτῶν Μυστηρίων τοῦ Χριστοῦ σου· ἵνα, κατὰ τὰς ἐντολάς σου πολιτευσάμενος, καὶ φυλάξας τὴν σφραγίδα ἄθραυστον, τύχῃ τῆς μακαριότητος τῶν ἐκλεκτῶν ἐν τῇ Βασιλείᾳ σου. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀνὰ χεῖρας λαβὼν τὸ Παιδίον, ἵσταται ἔμπροσθεν τῶν πυλῶν τοῦ Ναοῦ, ἢ τῆς Ὑπεραγίας Θεοτόκου, καὶ ποιεῖ Σταυροῦ τύπον, λέγων· **Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ** κ.τ.λ. Καὶ γίνεται Ἀπόλυσις.

---

Δεῖ γινώσκειν ὅτι, ἐὰν ἄρα τὸ γεννηθὲν Βρέφος ἀσθενοῦν μὴ θηλάζῃ, ἀλλὰ πρὸς θάνατον ἀφορᾷ, οὐ χρὴ περιμένειν, ὥς τινες κακῶς φασι, τὴν ἕκτην, ἢ τὴν ὀγδόην ἡμέραν, καὶ οὕτω βαπτίζειν αὐτό· ἀλλὰ τῇ ὥρᾳ, ᾗ ἐγεννήθη, μόνον ἀποπλυθῆναι, καὶ εὐθὺς βαπτισθῆναι, ἵνα μὴ τελευτήσῃ ἀφώτιστον. Αἱ γὰρ πέντε μῆνας ἐγκυμονοῦσαι, εἰ τύχοι ἀπό τινος πληγῆς τὸ ἔμβρυον ἐκτρῶσαι, φόνου δίκην, κατὰ τοὺς νόμους καὶ τοὺς Κανόνας ἐνέχονται, πολλῷ μᾶλλον τὸ κρίμα δεῖ ἐκφεύγειν τῶν γεννωμένων, ἵνα μὴ ἀφώτιστα τελευτῶσιν.

---

# ΕΥΧΑΙ

## ΕΙΣ ΓΥΝΑΙΚΑ ΛΕΧΩ, ΜΕΤΑ ΤΕΣΣΑΡΑΚΟΝΤΑ ΗΜΕΡΑΣ.

Τῇ δὲ τεσσαρακοστῇ ἡμέρᾳ, τὸ Παιδίον πάλιν προσάγεται τῷ Ναῷ ἐπὶ τῷ ἐκκλησιασθῆναι, εἴτουν ἀρχὴν λαβεῖν τοῦ εἰσάγεσθαι εἰς τὴν Ἐκκλησίαν· προσάγεται δὲ παρὰ τῆς Μητρὸς, ἤδη κεκαθαρμένης καὶ λελουμένης οὔσης, παρόντος καὶ τοῦ μέλλοντος ἀναδέχεσθαι τοῦτο κατὰ τὸ Βάπτισμα.

Ἱσταμένης δὲ αὐτῆς μετὰ τοῦ Παιδὸς πρὸ τῶν πυλῶν τοῦ Ναοῦ, ποιεῖ ὁ Ἱερεὺς Εὐλογητόν· Τρισάγιον· τό, **Παναγία**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τριάς· Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Εἶτα τὸ Ἀπολυτίκιον τῆς ἡμέρας τὸ τυχὸν, ἢ τοῦ λαχόντος Ἁγίου. Δόξα, καὶ νῦν· Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων. Καὶ κλινούσης τῆς μητρὸς τὴν κεφαλὴν, ἅμα τῷ Βρέφει, ποιεῖ ὁ Ἱερεὺς τὴν τοῦ Σταυροῦ σφραγῖδα ἐπ' αὐτῷ· καὶ ἁπτόμενος τῆς κεφαλῆς αὐτοῦ, λέγει τὴν Εὐχὴν ταύτην (*)·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικήν τε καὶ ἄλογον, διὰ τοῦ λόγου σου δημιουργήσας· ὁ πάντα ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν· Ἣν τῷ σῷ θελήματι διέσωσας δούλην σου (τήνδε), καθάρισον ἀπὸ πάσης ἁμαρτίας, καὶ ἀπὸ παντὸς ῥύπου, προσερχομένην τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ· ἵνα ἀκατακρίτως ἀξιωθῇ μετασχεῖν τῶν ἁγίων σου Μυστηρίων.

(Ἰστέον ὅτι, ἕως ὧδε λέγεται ἡ παροῦσα Εὐχὴ, εἰ οὐ ζῇ τὸ Βρέφος· εἶτα ἐκφώνως· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις. Εἰ δὲ ζῇ, καὶ ἔστιν ἀφώτιστον, ἀναγινώσκεται ἕως τέλους).

Καὶ τὸ ἐξ αὐτῆς τεχθὲν Παιδίον (**) εὐλόγησον, αὔξησον, ἁγίασον, συνέτισον, σωφρόνισον, καλοφρόνισον, ὅτι σὺ παρήγαγες αὐτὸ, καὶ ἔδειξας αὐτῷ τὸ φῶς τὸ αἰσθητὸν, ἵνα καὶ τοῦ νοητοῦ καταξιωθῇ φωτὸς ἐν καιρῷ ᾧ προώρισας, καὶ συγκαταριθμηθῇ τῇ ἁγίᾳ σου ποίμνῃ, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεὺς· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ.

(*) Ἀκριβέστερον ἴσως ταῦτα ἐν τῷ Χειρογράφῳ· «Ἔχουσα δὲ ἐν ταῖς ἀγ- » κάλαις τὸ βρέφος, ἡ μήτηρ κλίνει τὴν κεφαλὴν, ἅμα τῷ βρέφει, πρὸ τῶν » πυλῶν τοῦ Ναοῦ, καὶ τὴν τοῦ τιμίου Σταυροῦ σφραγῖδα ποιῶν ὁ Ἱερεὺς, ἁπτό- » μενός τε τῆς κεφαλῆς αὐτῆς, λέγει· Τοῦ Κυρίου δεηθῶμεν.»

(**) Τὸ Χειρόγραφον ἔχει· «Καὶ τοῦτο δὲ τὸ ἐξ αὐτῆς γεγεννημέ- » νον Παιδίον.....» — Οὕτω καὶ, λαλοφρόνισον, ἀντὶ τοῦ, καλοφρόνισον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εὐχὴ εἰς τὴν Μητέρα τοῦ Παιδίου.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, παραγενοῦ καὶ ἐπὶ τὴν δούλην σου (τήνδε), καὶ καταξίωσον αὐτὴν, διὰ τῶν εὐχῶν τοῦ τιμίου Πρεσβυτερίου, καταφυγεῖν ἐν τῇ ἁγίᾳ σου Καθολικῇ Ἐκκλησίᾳ τῆς εἰσόδου τοῦ Ναοῦ τῆς δόξης σου (*)· καὶ ἀξίωσον αὐτὴν μεταλαβεῖν τοῦ τιμίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου. Ἀπόπλυνον αὐτῆς τὸν ῥύπον τοῦ σώματος, καὶ τὸν σπῖλον τῆς ψυχῆς, ἐν τῇ συμπληρώσει τῶν τεσσαράκοντα ἡμερῶν· ὅπως, ἀξιωθεῖσα εἰσελθεῖν ἐν τῷ ἁγίῳ Ναῷ σου, δοξάσῃ σὺν ἡμῖν τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἕως ἐνταῦθα ἀναγινώσκεται, εἰ οὐ ζῇ τὸ Βρέφος, καὶ γίνεται Ἀπόλυσις· εἰ δὲ ζῇ, ἀναγινώσκεται ἕως τέλους.

Εὐχὴ ἑτέρα εἰς τὸ Παιδίον,
ἥνπερ ὁ Ἱερεὺς, σφραγίζων αὐτὸ, ἐπεύχεται.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις Βρέφος τῷ νομικῷ Ναῷ προσαχθεὶς ὑπὸ Μαρίας τῆς ἀπειρογάμου καὶ ἁγίας σου Μητρὸς, καὶ ἐν ταῖς ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς· αὐτὸς, Δέσποτα παντοδύναμε, καὶ τὸ προσαχθὲν τοῦτο Βρέφος, ἐμφανισθῆναί σοι τῷ πάντων Ποιητῇ, εὐλόγησον, καὶ εἰς πᾶν ἔργον ἀγαθὸν καὶ σοὶ εὐάρεστον αὔξησον, ἀποσοβῶν ἀπ' αὐτοῦ πᾶσαν ἐναντίαν δύναμιν, διὰ τῆς σημειώσεως τοῦ τύπου τοῦ Σταυροῦ σου· σὺ γὰρ εἶ ὁ φυλάσσων τὰ νήπια, Κύριε· ἵνα, καταξιωθὲν τοῦ ἁγίου Βαπτίσματος, τύχῃ τῆς μερίδος τῶν ἐκλεκτῶν τῆς Βασιλείας σου, φυλαττόμενον σὺν ἡμῖν, τῇ χάριτι τῆς ἁγίας, καὶ ὁμοουσίου, καὶ ἀδιαιρέτου Τριάδος. Σοὶ γὰρ πρέπει πᾶσα δόξα, καὶ εὐχαριστία, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ,

(*) Τὸ ἀσύντακτον τῆς περιόδου ἐπανορθοῦται ἐκ τοῦ Χειρογράφου οὕτω· «καὶ καταξίωσον αὐτὴν, διὰ τοῦ τιμίου Πρεσβυτερίου, τῆς εἰσόδου τοῦ Ναοῦ τῆς δόξης σου».

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Θεὸς, ὁ Πατὴρ, ὁ Παντοκράτωρ, ὁ διὰ τοῦ μεγαλοφωνοτάτου τῶν Προφητῶν Ἠσαΐου προκαταγγείλας ἡμῖν τὴν ἐκ Παρθένου σάρκωσιν τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, ὃς ἐπ' ἐσχάτων τῶν ἡμερῶν, εὐδοκίᾳ σῇ, καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, διὰ τὴν τῶν βροτῶν σωτηρίαν, ἀμέτρῳ εὐσπλαγχνίᾳ ἐξ αὐτῆς νηπιάσαι καταδεξάμενος, καὶ κατὰ τὸ εἰθισμένον ἐν Νόμῳ τῷ ἁγίῳ σȣ, μετὰ τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τȣ̃ καθαρισμȣ̃, τῷ Ἱερῷ προσαχθῆναι ἠνέσχετο, ἀληθὴς Νομοθέτης ὑπάρχων, καὶ ἐν ἀγκάλαις τοῦ δικαίȣ Συμεὼν βασταχθῆναι κατεδέξατο· οὗπερ μυστηρίου τὴν προτύπωσιν, ἐν τῷ προλεχθέντι Προφήτῃ, διὰ τῆς λαβίδος τοῦ ἄνθρακος δηλωθεῖσαν ἐπέγνωμεν· οὗ καὶ ἡμεῖς οἱ πιστοὶ τὴν μίμησιν ἐν χάριτι κατέχομεν· αὐτὸς καὶ νῦν, ὁ φυλάσσων τὰ νήπια, Κύριε, εὐλόγησον τὸ Παιδίον τοῦτο, ἅμα τοῖς γονεῦσι καὶ ἀναδόχοις αὐτȣ̃· καὶ καταξίωσον αὐτὸ ἐν καιρῷ εὐθέτῳ, καὶ τῆς δι' ὕδατος καὶ Πνεύματος ἀναγεννήσεως· συγκαταρίθμησον αὐτὸ τῇ ἁγίᾳ σου ποίμνῃ τῶν λογικῶν προβάτων, τῶν ἐπικεκλημένων τῷ ὀνόματι τοῦ Χριστοῦ σου. Ὅτι σὺ εἶ ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα, λαβὼν ὁ Ἱερεὺς τὸ Παιδίον, σχηματίζει Σταυρὸν μετ' αὐτοῦ πρὸ τῶν πυλῶν τοῦ Ναοῦ, λέγων·

Ἐκκλησιάζεται ὁ δοῦλος τοῦ Θεȣ̃ (ὁ δεῖνα), εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Εἶτα εἰσάγει αὐτὸ ἐν τῷ Ναῷ, λέγων·

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σȣ, προσκυνήσω πρὸς Ναὸν ἅγιόν σȣ.

Καὶ εἰσέρχεται ἐν τῷ μέσῳ τοῦ Ναοῦ, λέγων·

Ἐκκλησιάζεται ὁ δοῦλος τοῦ Θεοῦ, κ.τ.λ.

Εἶτα λέγει· Ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε.

Εἶτα εἰσάγει αὐτὸ πρὸ τῶν πυλῶν τοῦ Θυσιαστηρίου, λέγων·

Ἐκκλησιάζεται ὁ δοῦλος τοῦ Θεοῦ κ.τ.λ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ εἰσάγει αὐτὸ εἰς τὸ ἅγιον Θυσιαστήριον, εἰ μὲν εἴη ἄῤῥεν· εἰδὲ Θῆλυ, ἕως τῶν ὡραίων Πυλῶν, λέγων τὸ, Νῦν ἀπολύεις.

Καὶ μετὰ ταῦτα τίθησιν αὐτὸ παρὰ τὰς Θύρας τοῦ Θυσιαςηρίου. Καὶ οὕτως ὁ Ἀνάδοχος, προσκυνήσας τρὶς, λαμβάνει αὐτὸ, καὶ ἐξέρχεται.

Καὶ ὁ Ἱερεὺς ποιεῖ, ἔθος, Ἀπόλυσιν.

---

# ΕΥΧΗ

## ΕΙΣ ΓΥΝΑΙΚΑ, ΟΤΑΝ ΑΠΟΒΑΛΗΤΑΙ.

Ποιεῖ ὁ Ἱερεὺς Εὐλογητόν. Τρισάγιον· τὸ, Παναγία Τριάς· τὸ, Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι. Τὸ Ἀπολυτίκιον τῆς ἡμέρας, καὶ τὸ Θεοτοκίον. Εἶτα·

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τεχθεὶς ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένȣ Μαρίας, καὶ ἐν φάτνῃ ὡς βρέφος ἀνακλιθείς· αὐτὸς τὴν παροῦσαν δούλην σου (τήνδε), τὴν ἐν ἁμαρτίαις σήμερον εἰς φόνον περιπεσοῦσαν ἑκουσίως, ἢ ἀκουσίως, καὶ τὸ ἐν αὐτῇ συλληφθὲν ἀποβαλομένην, ἐλέησον, κατὰ τὸ μέγα σου ἔλεος· καὶ συγχώρησον αὐτῆς τὰ ἑκούσια καὶ τὰ ἀκούσια πταίσματα, καὶ διαφύλαξον ἀπὸ πάσης τȣ̃ διαβόλου μηχανουργίας· καὶ τὸν ῥύπον κάθαρον, τοὺς πόνȣς θεράπευσον, τὴν ῥῶσιν καὶ εὐρωστίαν τῷ σώματι σὺν τῇ ψυχῇ αὐτῆς, Φιλάνθρωπε, δώρησαι· καὶ δι' Ἀγγέλου φωτεινοῦ ταύτην περιφρούρησον ἀπὸ πάσης ἐπελεύσεως τῶν ἀοράτων δαιμόνων. Ναὶ, Κύριε, ἀπὸ νόσου καὶ μαλακίας· καὶ καθάρισον αὐτὴν ἀπὸ τοῦ σωματικοῦ ῥύπου, καὶ τῶν ποικίλων αὐτῇ ἐπερχομένων ἐνοχλήσεων σπλαγχνικῶν, καὶ ἔξαξον αὐτὴν διὰ τῆς πολλῆς σου ἐλεημοσύνης ἐν τῷ ταπεινῷ αὐτῆς σώματι, καὶ ἀνάστησον αὐτὴν ἀπὸ τῆς κλίνης, ἧς ἐπίκειται· ὅτι ἐν ἁμαρτίαις ἐκυήθημεν καὶ ἐν ἀνομίαις, καὶ διὰ ῥύπου πάντες ἐσμὲν ἐνώπιόν σου, Κύριε, καὶ μετὰ φόβου βοῶμεν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ λέγομεν· Ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε τὴν ἀσθένειαν ἡμῶν τῶν καταδίκων· καὶ συγχώρησον τῇ δούλῃ σου (τῇδε), τῇ ἐν ἁμαρτίαις φόνῳ περιπεσούσῃ ἑκουσίως, ἢ ἀκουσίως, καὶ τὸ ἐν αὐτῇ συλληφθὲν ἀποβαλομένῃ, καὶ πάντας τοὺς εὑρισκομένους, καὶ ἀψαμένους αὐτῆς, κατὰ τὸ μέγα σου ἔλεος, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς, ἐλέησον καὶ συγχώρησον· ὅτι σὺ μόνος ἔχεις ἐξουσίαν ἀφιέναι ἁμαρτίας καὶ ἀνομίας· πρεσβείαις τῆς πανάγνου σου Μητρὸς, καὶ πάντων τῶν Ἁγίων. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ γίνεται Ἀπόλυσις.

---

# ΚΑΝΟΝΕΣ

## ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ, ΚΑΙ ΤΩΝ ΘΕΙΩΝ ΠΑΤΕΡΩΝ, ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ.

Ὁ μζʹ. τῶν ἁγίων Ἀποστόλων Κανὼν φησίν· Εἴτις Ἐπίσκοπος, ἢ Πρεσβύτερος, τὸν κατὰ ἀλήθειαν ἔχοντα Βάπτισμα, ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν Σταυρὸν καὶ τὸν τοῦ Κυρίου θάνατον, μὴ διακρίνων Ἱερέας ψευδοϊερέων.

Τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Καρθαγένῃ Συνόδου, Νʹ. διατάττεται.

Ὁ δὲ μθʹ. τῶν ἁγίων Ἀποστόλων, εἰς Πατέρα, καὶ Υἱὸν, καὶ Ἅγιον Πνεῦμα βαπτίζειν, κατὰ τὸν τοῦ Κυρίου παρεγγυᾶται λόγον· ἀλλὰ μὴ εἰς τρεῖς Ἀνάρχους, ἢ τρεῖς Υἱοὺς, ἢ τρεῖς Παρακλήτους· εἷς γὰρ ὁ ἄναρχος Πατὴρ, διὰ τὸ ἀναίτιον, καὶ εἷς ὁ Υἱὸς, διὰ τὴν ἄῤῥητον γέννησιν, καὶ εἷς ὁ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὴν ἐκ τοῦ ἀγεννήτου ἐκπόρευσιν. Εἰ δὲ μὴ οὕτω ποιοῦντες Ἐπίσκοποι, ἢ Πρεσβύτεροι, ἐπιτιμίαν ὑφίστανται τὴν καθαίρεσιν.

Ὁ δὲ νʹ. τρία Βαπτίσματα μιᾶς μυήσεως ἐπιτελεῖν, τρεῖς δηλαδὴ καταδύσεις ἐν ἑνὶ Βαπτίσματι, καὶ ἑκάστη τῶν κα-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ταδύσεων, ἓν ὄνομα τῆς ἁγίας ἐπιλέγειν Τριάδος· ἀλλὰ μὴ ἐν Βάπτισμα εἰς τὸν θάνατον τοῦ Κυρίου διδόμενον· ἤτοι ἅπαξ καταδύειν τὸν βαπτιζόμενον, καὶ εἰς τὴν μίαν κατάδυσιν τὸν τοῦ Κυρίου ἐπιφημίζειν θάνατον, ὡς ἡ παραπληξίας γέμουσα τῶν Εὐνομιανῶν αἵρεσις ὑποτίθεται· ἧς καὶ ὁ ζ΄. τῆς β΄. Συνόδου Κανὼν μέμνηται· οὐ γὰρ εἶπεν ὁ Κύριος· Εἰς τὸν θάνατόν μου βαπτίσατε· ἀλλὰ, Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Τὸν δὲ μὴ οὕτω δρῶντα Ἐπίσκοπον, ἢ Πρεσβύτερον, τῇ ἀφαιρέσει ζημιοῖ τῆς Ἱερωσύνης.

Ἀλλὰ γὰρ ὁ θ΄. Κανὼν τῆς Οἰκουμενικῆς β΄. Συνόδου, ὅπως χρὴ δέχεσθαι τοὺς ἐξ αἱρέσεων ἐπιστρέφοντας, ἀριδήλως νομοθετεῖ. Εἰς δύω γὰρ μοίρας ἅπαντας διελὼν, τοὺς μὲν Μύρῳ χρίεσθαι, τοὺς δὲ ἀναβαπτίζεσθαι διωρίσατο. Ἀρειανοὺς μὲν οὖν, καὶ Μακεδονιανοὺς, καὶ Σαββατιανοὺς, καὶ Ναβατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς, καὶ Ἀριστεροὺς, καὶ Τεσσαρεσκαιδεκατίτας, εἴτουν Τετραδίτας, καὶ Ἀπολλιναριστὰς, ἐπείπερ ἐξίσης ἡμῖν τῷ θείῳ τελοῦνται Βαπτίσματι, οὐκ οἴεται δεῖν τούτους ἀναβαπτίζειν, ἀλλὰ μετὰ τὸν τῆς σφετέρας αἱρέσεως ἔγγραφον ἀναθεματισμὸν, τῷ ἁγίῳ χρίειν Μύρῳ κελεύει, τό,τε μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥίνας, τὸ στόμα τε, καὶ τὰ ὦτα, καὶ σφραγίζοντας, λέγειν· Σφραγὶς δωρεᾶς Πνεύματος Ἁγίου. Ἀμήν.

Εὐνομιανούς γε μὴν, τοὺς εἰς κατάδυσιν βαπτιζομένους μίαν, καὶ Μοντανιστὰς, τοὺς καλουμένους Φρύγας, καὶ Σαβελλιανοὺς τȣ̀ς διδάσκοντας τὴν Υἱοπατρίαν, καὶ τοὺς παραπλησίȣς τούτοις, ὡς οὐδὲν ἄμεινον τῶν ἀβαπτίστων Ἑλλήνων, ἀληθείας δικαζούσης διακειμένους, τῇ Καθολικῇ προσιόντας Ἐκκλησίᾳ, ἱερῶς κελεύει βαπτίζεσθαι· ἢ γὰρ ὅλως οὐκ ἐβαπτίσαντο, ἢ βαπτισάμενοι, οὐ κατὰ τοὺς θεσμοὺς τῆς τῶν Ὀρθοδόξων Ἐκκλησίας ἐσημάνθησαν· ταῦτά τοι καὶ ὡς ἀφώτιστοι τοῖς θείοις Πατράσι λογίζονται.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ μή. καὶ τῷ ἐπȣρανίῳ χρίεσθαι Μύρῳ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τοὺς φωτιζομένους θεσπίζει· τοῦτο γὰρ ταῖς εὐχαῖς καὶ τῇ ἐπικλήσει τοῦ Ἁγίου Πνεύματος ἁγιαζόμενον, τοὺς χριομένους ἁγιάζει, καὶ μετόχους τῆς ἐπουρανίου Βασιλείας Χριστοῦ καθίστησιν, εἰμὴ τὸ τοῦ βίου ἠμελημένον, καὶ ἡ τῶν ἔργων φαυλότης ἡμᾶς ταύτης ἀλλοτριώσειε.

Ὁ δὲ ς'. τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου, τῶν γυναικῶν τὰς ἐγκύμονας οὐκ ἀπείργει βουλομένας βαπτίσασθαι· οὐ γὰρ κοινωνεῖ ταύταις τοῦ Φωτίσματος καὶ τὸ ἔμβρυον, μήπω πρὸ τῆς φύσεως δεξάμενον τὴν τοῦ ἀγαθοῦ προαίρεσιν, καὶ χείρονος· οὐδὲ οἷόν τε περιεργάσασθαι, ὅπως ἔχουσι διαθέσεως· τὰ δέ γε νήπια τῶν Ἀναδόχων κατατιθέμενα, καὶ τοῖς ἔργοις αὐτοῖς φωτιζόμενα, τῆς θείας κοινωνοῦσιν ἐλλάμψεως.

Ὁ δὲ ς'. τοῦ Τιμοθέου Ἀλεξανδρείας· Ἡ κατηχουμένη γυνή, φησίν, εἰ κατὰ τὴν ἡμέραν, ἐν ᾗ βαπτισθῆναι προέθετο, τὰ κατ' ἔθος αὐτῇ συμβαίνῃ, εἰς τὴν ἐπιοῦσαν ὑπερτιθέσθω τὸ Φώτισμα.

Ὁ δὲ α'. τοῦ αὐτοῦ· Εἰ παιδίον κατηχούμενον, ἢ καὶ ἀνήρ, τῆς ἱερᾶς τελουμένης Θυσίας, προσελθὼν ἀπονήρως, τῶν θείων μεταλήψεται Δώρων, ἀγνοοῦντος τοῦ Ἱερέως εἶναι τοῦτον κατηχούμενον, εὐθὺς βαπτιζέσθω· ὑπὸ γὰρ Κυρίου προσκέκληται.

Ὁ δὲ δ'. τοῦ ἁγίου Κυρίλλου· Κἂν χωρισμόν, φησιν, ὑπομείνωσι τινὲς τῶν Κατηχουμένων, ἐπιτιμηθέντες πταισμάτων ἕνεκα, καὶ μέλλωσι τελευτᾷν, βαπτιζέσθωσαν, καὶ μὴ ἀμέτοχοι τῆς χάριτος, τῶν ἀνθρωπίνων ἀποδημείτωσαν.

Ὁ δὲ β'. τοῦ Τιμοθέου Ἀλεξανδρείας· Κατηχούμενον δαιμονῶντα, πρὶν ἢ τοῦ ἀκαθάρτου δαίμονος καθαρθῆναι, κωλύει βαπτίζεσθαι· ἀθέμιτον γὰρ τὸν παρασχόντα ἑαυτὸν τῷ πονηρῷ δαίμονι εἰς ἐνοίκησιν τῇ πρὸς τὰ φαῦλα ῥοπῇ, καὶ τὸ φῶς τοῦ Ἁγίου Πνεύματος ὑποδέχεσθαι, μὴ τελείως ἀπαλλαγέντα τοῦ σκοτεινοῦ καὶ πονηροῦ πνεύματος. Εἰ δὲ ἡ τελευτὴ τούτῳ ἐπισταίη, κελεύει βαπτίζεσθαι, ἵνα μὴ κενὸς ἐξέλθῃ τοῦ βίου, καὶ ἀμέτοχος τῆς θείας χάριτος.

Ὁ δὲ δ'.· Εἰδὲ μὴ ὑπὸ δαίμονός, φησιν, ὁ Κατηχούμενος ἐνοχλῆται, ἀλλ' ὑπὸ νόσου τῶν φρενῶν ἐξεκρούσθη, ὡς μηδὲ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἀποκρίνεσθαι οἷός τε, ἀφῃρημένος καὶ τὴν φθογγήν· ἀλλ' ἐπεὶ ἔδειξεν ἐκ προαιρέσεως τὴν Πίστιν ἀσπάζεσθαι, ἐκεῖνος εἰς τοὺς Κατηχουμένους καταγεὶς, ἀναμφιβόλως βαπτίζεται.

Ο' δὲ ριά. τῆς ἐν Καρθαγένῃ Συνόδου· Ἡ διὰ τοῦ Βαπτίσματος, φησὶ, χορηγουμένη χάρις ἡμῖν, οὐ μόνον τῶν ἁμαρτημάτων ἄφεσιν, ἀλλὰ καὶ δύναμιν ἐνίησιν, εἰς τὸ μηκέτι ἁμαρτάνειν ἡμᾶς, εἰ μὴ, διὰ ῥᾳθυμίαν ἑκόντες, τὰ τῆς ἁμαρτίας ἠσπασάμεθα· τοὺς δὲ μὴ οὕτω φρονοῦντας, τῷ ἀναθέματι παραπέμπει.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ

### ΠΡΟ ΤΟΥ ΑΓΙΟΥ

## ΒΑΠΤΙΣΜΑΤΟΣ

## ΕΥΧΗ

### ΕΙΣ ΤΟ ΠΟΙΗΣΑΙ ΚΑΤΗΧΟΥΜΕΝΟΝ.

Λύει ὁ Ἱερεὺς τὴν ζώνην τοῦ μέλλοντος φωτισθῆναι, καὶ ἀποδύει, καὶ ὑπολύει αὐτόν· καὶ ἵστησιν αὐτὸν κατὰ Ἀνατολὰς, μονοχίτωνα, λυσίζωνον, ἀσκεπῆ, καὶ ἀνυπόδετον, ἔχοντα τὰς χεῖρας κάτω· καὶ ἐμφυσᾷ εἰς τὸ πρόσωπον αὐτοῦ τρὶς, καὶ σφραγίζει αὐτοῦ τὸ μέτωπον καὶ τὸ ςῆθος, ἐκ τρίτȣ, καὶ ἐπιτίθησι τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτȣ̃, λέγων τὴν παρȣ̃σαν Εὐχήν·

Ἐπὶ τῷ ὀνόματί σου, Κύριε, ὁ Θεὸς τῆς ἀληθείας, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ Ἁγίου σου Πνεύματος, ἐπιτίθημι τὴν χεῖρά μου ἐπὶ τὸν δοῦλόν σου (τόνδε) τὸν καταξιωθέντα καταφυγεῖν ἐπὶ τὸ ἅγιον Ὄνομά σου, καὶ ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου διαφυλαχθῆναι. Ἀπόςησον ἀπ' αὐτοῦ τὴν παλαιὰν ἐκείνην πλάνην, καὶ ἔμπλησον αὐτὸν τῆς εἰς σὲ πίςεως, καὶ ἐλπίδος, καὶ ἀγάπης· ἵνα γνῷ, ὅτι σὺ εἶ Θεὸς μόνος, Θεὸς ἀληθινὸς, καὶ ὁ μονογενής σȣ Υἱὸς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ τὸ Ἅγιόν σου Πνεῦμα. Δὸς αὐτῷ ἐν πάσαις ταῖς ἐντολαῖς σου πορευθῆναι, καὶ τὰ ἀρεςά σοι φυλάξαι· ὅτι, ἐὰν ποιήσῃ αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. Γράψον αὐτὸν ἐν βίβλῳ ζωῆς σȣ, καὶ ἕνωσον αὐτὸν τῇ ποίμνῃ τῆς κληρονομίας σȣ. Δοξασθήτω τὸ Ὄνομά σου τὸ ἅγιον ἐπ' αὐτῷ, καὶ τοῦ ἀγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησȣ̃ Χριςοῦ, καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος. Ἔςωσαν οἱ ὀφθαλμοί σου ἀτενίζοντες εἰς αὐτὸν ἐν ἐλέει διαπαντὸς, καὶ τὰ ὦτά σου, τοῦ ἀκούειν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τῆς φωνῆς τῆς δεήσεως αὐτοῦ. Εὔφρανον αὐτὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ, καὶ ἐν παντὶ τῷ γένει αὐτοῦ· ἵνα ἐξομολογήσηταί σοι, προσκυνῶν καὶ δοξάζων τὸ Ὄνομά σου τὸ μέγα καὶ ὕψιςον, καὶ αἰνέσῃ σε διαπαντὸς πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Σὲ γὰρ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐςιν ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀφορκισμὸς α΄. Τοῦ Κυρίου δεηθῶμεν.

Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ παραγενόμενος εἰς τὸν κόσμον, καὶ κατασκηνώσας ἐν ἀνθρώποις, ἵνα τὴν σὴν καθέλῃ τυραννίδα, καὶ τοὺς ἀνθρώπους ἐξέληται· ὃς ἐπὶ ξύλου τὰς ἀντικειμένας δυνάμεις ἐθριάμβευσεν, ἡλίου σκοτισθέντος, καὶ γῆς σαλευομένης, καὶ μνημάτων ἀνοιγομένων, καὶ σωμάτων Ἁγίων ἀνισταμένων· ὃς ἔλυσε θανάτῳ τὸν θάνατον, καὶ κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέςι σὲ τὸν Διάβολον. Ὁρκίζω σε κατὰ τοῦ Θεοῦ, τοῦ δείξαντος τὸ ξύλον τῆς ζωῆς, καὶ τάξαντος τὰ Χερουβὶμ, καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φρουρεῖν αὐτό. Ἐπιτιμήθητι, καὶ ἀναχώρησον· κατ᾿ ἐκείνου γάρ σε ὁρκίζω, τοῦ περιπατήσαντος, ὡς ἐπὶ ξηρᾶς, ἐπὶ νῶτα θαλάσσης, καὶ ἐπιτιμήσαντος τῇ λαίλαπι τῶν ἀνέμων· οὗ τὸ βλέμμα ξηραίνει ἀβύσσους, καὶ ἡ ἀπειλὴ τήκει ὄρη. Αὐτὸς γὰρ καὶ νῦν ἐπιτάσσει σοι δι᾿ ἡμῶν· Φοβήθητι, ἔξελθε, καὶ ὑπαναχώρησον ἀπὸ τοῦ πλάσματος τούτου, καὶ μὴ ὑποςρέψῃς, μηδὲ ὑποκρυβῇς ἐν αὐτῷ, μηδὲ, συναντήσας αὐτῷ, ἢ ἐνεργήσῃς, ἢ ἐκραγῇς, μὴ ἐν νυκτὶ, μὴ ἐν ἡμέρᾳ, ἢ ὥρᾳ, ἢ ἐν μεσημβρίᾳ· ἀλλ᾿ ἄπελθε εἰς τὸν ἴδιον τάρταρον, ἕως τῆς ἡτοιμασμένης μεγάλης ἡμέρας τῆς κρίσεως. Φοβήθητι τὸν Θεὸν τὸν καθήμενον ἐπὶ τῶν Χερουβὶμ, καὶ ἐπιβλέποντα ἀβύσσους· ὃν τρέμουσιν Ἄγγελοι, Ἀρχάγγελοι, Θρόνοι, Κυριότητες, Ἀρχαὶ, Ἐξουσίαι, Δυνάμεις, τὰ πολυόμματα Χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ· ὃν τρέμει ὁ οὐρανὸς, καὶ ἡ γῆ, ἡ θάλασσα, καὶ πάντα τὰ ἐν αὐτοῖς. Ἔξελθε, καὶ ἀναχώρησον ἀπὸ τοῦ σφραγισθέντος νεολέκτου ςρατιώτου Χριςοῦ τοῦ Θεοῦ ἡμῶν· κατ᾿ ἐκείνου γάρ σε ὁρκίζω, τοῦ περιπατοῦντος ἐπὶ πτερύγων ἀνέμων, τοῦ ποιοῦντος τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

αὐτοῦ πῦρ φλέγον· ἔξελθε, καὶ ἀναχώρησον ἀπὸ τοῦ πλάσματος τούτου σὺν πάσῃ τῇ δυνάμει καὶ τοῖς ἀγγέλοις σου. Ὅτι δεδόξασαι τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίȣ Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀφορκισμὸς β΄. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ Ἅγιος, ὁ φοβερὸς, καὶ ἔνδοξος, ὁ ἐπὶ πᾶσι τοῖς ἔργοις καὶ τῇ ἰσχύϊ αὐτοῦ ἀκατάληπτος, καὶ ἀνεξιχνίαστος ὑπάρχων· αὐτὸς ὁ προορίσας σοι, Διάβολε, τῆς αἰωνίου κολάσεως τὴν τιμωρίαν, δι' ἡμῶν τῶν ἀχρείων αὐτοῦ δούλων κελεύει σοὶ, καὶ πάσῃ τῇ συνεργῷ σου δυνάμει, ἀποςῆναι ἀπὸ τοῦ νεωστὶ σφραγισθέντος ἐπ' ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. Ὁρκίζω σε οὖν, παμπόνηρον, καὶ ἀκάθαρτον, καὶ μιαρὸν, καὶ ἐβδελυγμένον, καὶ ἀλλότριον πνεῦμα, κατὰ τῆς δυνάμεως Ἰησοῦ Χριςοῦ, τοῦ πᾶσαν ἐξουσίαν ἔχοντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, τοῦ εἰπόντος τῷ κωφῷ καὶ ἀλάλῳ δαίμονι· Ἔξελθε ἀπὸ τοῦ ἀνθρώπου, καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. Ἀναχώρησον, γνώρισον τὴν σὴν ματαίαν δύναμιν, τὴν μηδὲ χοίρων ἐξουσίαν ἔχουσαν. Ὑπομνήσθητι τοῦ ἐπιτάξαντός σοι κατὰ τὴν σὴν αἴτησιν, εἰς τὴν ἀγέλην τῶν χοίρων εἰσελθεῖν. Φοβήθητι τὸν Θεὸν, οὗ τῷ προςάγματι ἡ γῆ καθ' ὑδάτων ἐστήρικται· τὸν κτίσαντα τὸν οὐρανὸν, καὶ ςήσαντα τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ, καὶ θέντα ἄμμον θαλάσσῃ ὅριον, καὶ ἐν ὕδατι σφοδρῷ τρίβον ἀσφαλῆ· τὸν ἁπτόμενον τῶν ὀρέων, καὶ καπνίζονται· τὸν ἀναβαλλόμενον φῶς ὡς ἱμάτιον· τὸν ἐκτείναντα τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν· τὸν ςεγάζοντα ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ· τὸν θεμελιοῦντα τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὸν προσκαλούμενον τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέοντα αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Ἔξελθε, καὶ ἀναχώρησον ἀπὸ τοῦ πρὸς τὸ ἅγιον Φώτισμα εὐτρεπιζομένου. Ὁρκίζω σε κατὰ τοῦ σωτηριώδους Πάθους τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ τιμίου αὐτοῦ Σώματος καὶ Αἵματος, καὶ κατὰ τῆς Ἐλεύσεως αὐτοῦ τῆς φοβερᾶς· ἥξει γὰρ ἐπὶ τῶν νεφελῶν, ἥξει, καὶ οὐ χρονιεῖ, κρίνων πᾶσαν τὴν γῆν, καὶ σὲ, καὶ τὴν σύνεργόν σȣ δύναμιν κολάσει εἰς τὴν

γέενναν τοῦ πυρὸς, παραδοὺς εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπȣ ὁ σκώληξ ὁ ἀκοίμητος, καὶ τὸ πῦρ οὐ σβέννυται. Ὅτι τὸ κράτος Χριςοῦ τοῦ Θεȣ̃ ἡμῶν σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀφορκισμὸς γ'. Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε Σαβαὼθ, ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου, ἐκζήτησον, ἐξερεύνησον, καὶ ἀπέλασον ἀπ' αὐτοῦ πάντα τὰ ἐνεργήματα τοῦ Διαβόλου. Ἐπιτίμησον τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ δίωξον αὐτὰ, καὶ καθάρισον τὸ ἔργον τῶν χειρῶν σου, καὶ τῇ ὀξείᾳ σȣ χρησάμενος ἐνεργείᾳ, σύντριψον τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας αὐτοῦ ἐν τάχει· καὶ δὸς αὐτῷ νίκας κατ' αὐτοῦ καὶ τῶν ἀκαθάρτων αὐτοῦ πνευμάτων· ὅπως, τοῦ παρὰ σοῦ ἐλέους τυγχάνων, καταξιωθῇ τῶν ἀθανάτων καὶ ἐπουρανίων σου Μυστηρίων, καὶ δόξαν σοι ἀναπέμψῃ τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ὢν, Δέσποτα Κύριε, ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ δοὺς αὐτῷ ἐξȣσίαν ζωῆς αἰωνίȣ, εἶτα ἐκπεσόντα διὰ τῆς ἁμαρτίας μὴ παριδὼν, ἀλλ' οἰκονομήσας, διὰ τῆς ἐνανθρωπήσεως τȣ̃ Χριςοῦ σȣ, τὴν σωτηρίαν τοῦ κόσμου· αὐτὸς καὶ τὸ πλάσμα σου τοῦτο λυτρωσάμενος ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, πρόσδεξαι εἰς τὴν Βασιλείαν σου τὴν ἐπȣράνιον. Διάνοιξον αὐτοῦ τοὺς ὀφθαλμοὺς τῆς διανοίας, εἰς τὸ αὐγάσαι ἐν αὐτῷ τὸν φωτισμὸν τοῦ Εὐαγγελίȣ σȣ. Σύζευξον τῇ ζωῇ αὐτοῦ Ἄγγελον φωτεινὸν, ῥυόμενον αὐτὸν ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου, ἀπὸ συναντήματος πονηροῦ, ἀπὸ δαιμονίȣ μεσημβρινοῦ, ἀπὸ φαντασμάτων πονηρῶν.

Καὶ ἐμφυσᾷ αὐτοῦ ὁ Ἱερεὺς τὸ στόμα, τὸ μέτωπον, καὶ τὸ στῆθος, λέγων·

Ἐξέλασον ἀπ' αὐτοῦ πᾶν πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα, κεκρυμμένον, καὶ ἐμφωλεῦον αὐτοῦ τῇ καρδίᾳ. (Καὶ λέγει τοῦτο ἐκ γ'). Πνεῦμα πλάνης, πνεῦμα πονηρίας, πνεῦμα εἰδωλολατρείας, καὶ πάσης πλεονεξίας· πνεῦμα ψεύδους, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

πάσης ἀκαθαρσίας (*), τῆς ἐνεργουμένης κατὰ τὴν διδασκαλίαν τοῦ διαβόλου. Καὶ ποίησον αὐτὸν πρόβατον λογικὸν τῆς ἁγίας ποίμνης τοῦ Χριστοῦ σου, μέλος τίμιον τῆς Ἐκκλησίας σου, σκεῦος ἡγιασμένον, υἱὸν φωτὸς (**), καὶ κληρονόμον τῆς Βασιλείας σου· ἵνα, κατὰ τὰς ἐντολάς σου πολιτευσάμενος, καὶ φυλάξας τὴν σφραγίδα ἄθραυστον, καὶ διατηρήσας τὸν χιτῶνα ἀμόλυντον, τύχῃ τῆς μακαριότητος τῶν Ἁγίων ἐν τῇ Βασιλείᾳ σου. Ἐκφώνως·

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀποδυομένου, καὶ ὑπολυομένου τοῦ βαπτιζομένου, στρέφει αὐτὸν ὁ Ἱερεὺς πρὸς Δυσμάς, ἄνω τὰς χεῖρας ἔχοντα, καὶ λέγει τρίς·

Ἀποτάσσῃ τῷ Σατανᾷ; καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ; καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ; καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ; καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ;

Καὶ ἀποκρίνεται πρὸς ἕκαστον ὁ Κατηχούμενος, ἢ ὁ Ἀνάδοχος αὐτοῦ, εἰ ἔστιν ὁ βαπτιζόμενος βάρβαρος, ἢ παιδίον, καὶ λέγει· Ἀποτάσσομαι.

Καὶ ὅτε εἴπῃ τρίς, ἐρωτᾷ πάλιν ὁ Ἱερεὺς τὸν βαπτιζόμενον·

Ἀπετάξω τῷ Σατανᾷ;

Καὶ ἀποκρίνεται ὁ Κατηχούμενος, ἢ ὁ Ἀνάδοχος· Ἀπεταξάμην.

Καὶ ὅτε εἴπῃ, τρὶς, λέγει ὁ Ἱερεύς·

Καὶ ἐμφύσησον, καὶ ἔμπτυσον αὐτῷ.

Καὶ τοῦτο ποιήσαντος, στρέφει αὐτὸν ὁ Ἱερεὺς κατὰ Ἀνατολάς, κάτω τὰς χεῖρας ἔχοντα, καὶ λέγει αὐτῷ ὁ Ἱερεὺς τρίς·

Συντάσσῃ τῷ Χριστῷ;

Καὶ ἀποκρίνεται ὁ Κατηχούμενος, ἢ ὁ Ἀνάδοχος, λέγων· Συντάσσομαι.

(*) Τὸ Χειρόγραφον ἔχει, ῥᾳδιουργίας, ἴσως καὶ ὀρθότερον.

(**) Αἱ λέξεις, σκεῦος ἡγιασμένον, υἱὸν φωτός, προσετέθησαν ἔκ τινων ἐκδόσεων, καὶ τοῦ Χειρογράφου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα πάλιν λέγει αὐτῷ ὁ Ἱερεὺς, ἐκ τρίτου·

Συνετάξω τῷ Χριστῷ; καὶ ἀποκρίνεται ὁ Κατηχούμενος, ἢ ὁ Ἀνάδοχος· Συνεταξάμην.

Καὶ πάλιν λέγει·

Καὶ πιστεύεις αὐτῷ; Καὶ ἀποκρίνεται· Πιστεύω αὐτῷ, ὡς Βασιλεῖ καὶ Θεῷ· καὶ λέγει τὸ, Πιστεύω εἰς ἕνα Θεόν.

Καὶ ὅτε πληρώσῃ τὸ ἅγιον Σύμβολον, λέγει πάλιν πρὸς αὐτὸν ἐκ γ'. τὸ, Συνετάξω τῷ Χριςῷ; καὶ τὰ ἕτερα, ἀποκρινομένου καθ' ἕκαστον τοῦ Κατηχουμένου, ἢ τοῦ Ἀναδόχου, ὡς εἴρηται. Ἐρωτηθέντος δὲ τρὶς, καὶ ἐκ τρίτῳ εἰπόντος τὸ ἅγιον Σύμβολον, ἐρωτᾷ αὐτὸν ἐκ τρίτου·

Συνετάξω τῷ Χριστῷ; Καὶ ἀποκρίνεται· Συνεταξάμην.

Καὶ λέγει ὁ Ἱερεύς· Καὶ προσκύνησον αὐτῷ· (*) καὶ προσκυνεῖ, λέγων·

Προσκυνῶ Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Εἶτα λέγει ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει τὴν Εὐχὴν ταύτην.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, προσκάλεσαι τὸν δοῦλόν σου (τόνδε) πρὸς τὸ ἅγιόν σου Φώτισμα, καὶ καταξίωσον αὐτὸν τῆς μεγάλης ταύτης χάριτος τοῦ ἁγίου σου Βαπτίσματος. Ἀπόδυσον αὐτοῦ τὴν παλαιότητα, καὶ ἀνακαίνισον (**) αὐτὸν εἰς τὴν ζωὴν τὴν αἰώνιον, καὶ πλήρωσον αὐτὸν τῆς τοῦ Ἁγίου σου Πνεύματος δυνάμεως, εἰς ἕνωσιν τοῦ Χριστοῦ σου· ἵνα μηκέτι τέκνον σώματος ᾖ, ἀλλὰ τέκνον τῆς σῆς Βασιλείας. Εὐδοκίᾳ καὶ χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(*) Τὸ καὶ, ὀρθῶς ἐλλείπει ἐκ τοῦ Χειρογράφου.

(**) Ἐν τῷ Χειρογράφῳ, ἀναγέννησον.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ.

Εἰσέρχεται ὁ Ἱερεὺς, καὶ ἀλλάσσει λευκὴν ἱερατικὴν ςολὴν, καὶ ἐπιμανίκια· καὶ ἀπτομένων πάντων τῶν κηρῶν, λαβὼν Θυμιατὸν, ἀπέρχεται ἐν τῇ Κολυμβήθρᾳ, καὶ θυμιᾷ κύκλῳ· καὶ ἀποδοὺς τὸν Θυμιατὸν, προσκυνεῖ. Εἶτα λέγει ὁ Διάκονος· Εὐλόγησον, Δέσποτα.

Ὁ δὲ Ἱερεὺς ἐκφώνως·

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ Διάκονος·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ ἐνεργείᾳ τοῦ Ἁγίȣ Πνεύματος, τοῦ Κυρίȣ δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τȣ̃ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως καὶ εὐσεβείας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸ ἀποτρόπαιον πάσης ἐπιβουλῆς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἄξιον γενέσθαι τῆς ἀφθάρτου Βασιλείας τὸν ἐν αὐτῷ βαπτιζόμενον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ νῦν προσερχομένου τῷ ἁγίῳ Φωτίσματι, καὶ τῆς σωτηρίας αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸν υἱὸν φωτὸς, καὶ κληρονόμον τῶν αἰωνίων ἀγαθῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτὸν σύμφυτον, καὶ κοινωνὸν τοῦ θανάτου καὶ τῆς ἀναστάσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτῷ τὴν ςολὴν τοῦ Βαπτίσματος, καὶ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος, ἄσπιλον καὶ ἀμώμητον ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ Χριςοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτῷ τὸ ὕδωρ τοῦτο, λουτρὸν παλιγγενεσίας, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ ἔνδυμα ἀφθαρσίας, τοῦ Κυρίȣ δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτόν τε καὶ ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου.

**Καὶ τοῦ Διακόνȣ λέγοντος ταῦτα, ὁ Ἱερεὺς λέγει καθ᾽ ἑαυτὸν τὴν Εὐχὴν ταύτην μυστικῶς.**

Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεὸς, ὁ ἐτάζων καρδίας καὶ νεφροὺς, καὶ τὰ κρύφια τῶν ἀνθρώπων ἐπιστάμενος μόνος· οὐ γάρ ἐστι πρᾶγμα ἀφανὲς ἐνώπιόν σου, ἀλλὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς σου· ὁ γινώσκων τὰ κατ᾽ ἐμὲ, μὴ βδελύξῃ με, μηδὲ τὸ πρόσωπόν σου ἀποςρέψῃς ἀπ᾽ ἐμοῦ, ἀλλὰ πάριδέ μου τὰ παραπτώματα ἐν τῇ ὥρᾳ ταύτῃ, ὁ παρορῶν ἀνθρώπων ἁμαρτήματα εἰς μετάνοιαν, καὶ ἀπόπλυνόν μου τὸν ῥύπον τοῦ σώματος, καὶ τὸν σπῖλον τῆς ψυχῆς, καὶ ὅλον με ἁγίασον ὁλοτελῆ τῇ δυνάμει σȣ τῇ ἀοράτῳ, καὶ πνευματικῇ δεξιᾷ· ἵνα μὴ, ἐλευθερίαν ἄλλοις ἐπαγγελλόμενος, καὶ ταύτην παρέχων πίστει τῇ ἠρτημένῃ τῆς σῆς ἀφάτου φιλανθρωπίας, αὐτὸς ὡς δοῦλος ἁμαρτίας ἀδόκιμος γένωμαι. Μὴ, Δέσποτα, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, μὴ ἀποστραφείην τεταπεινωμένος καὶ κατῃσχυμμένος· ἀλλ᾽ ἐξα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη ...

πόστειλόν μοι δύναμιν ἐξ ὕψους, καὶ ἐνίσχυσόν με πρὸς τὴν διακονίαν τοῦ προκειμένου σου Μυστηρίου, τοῦ μεγάλου καὶ ἐπουρανίου· καὶ μόρφωσόν σου τὸν Χριστὸν ἐν τῷ μέλλοντι ἀναγεννᾶσθαι, διὰ τῆς ἐμῆς ἐλεεινότητος· καὶ οἰκοδόμησον αὐτὸν ἐν τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν σου, καὶ μὴ καθέλῃς, ἀλλὰ φύτευσον αὐτὸν φύτευμα ἀληθείας, ἐν τῇ Ἁγίᾳ σου, Καθολικῇ, καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ μὴ ἐκτίλῃς· ὅπως, προκόπτοντος αὐτοῦ ἐν εὐσεβείᾳ, δοξάζηται καὶ δι' αὐτοῦ τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δεῖ εἰδέναι, ὅτι οὐκ ἐκφωνεῖ οὐδὲν ὁ Ἱερεὺς, ἀλλὰ καὶ τὸ, Ἀμὴν, καθ' ἑαυτὸν λέγει. Εἶτα λέγει τὴν Εὐχὴν ταύτην μεγαλοφώνως·

Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου (τρίς). Σὺ γὰρ βουλήσει ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, τῷ σῷ κράτει συνέχεις τὴν κτίσιν, καὶ τῇ σῇ προνοίᾳ διοικεῖς τὸν κόσμον. Σὺ ἐκ τεσσάρων στοιχείων τὴν κτίσιν συναρμόσας, τέτταρσι καιροῖς τὸν κύκλον τοῦ ἐνιαυτοῦ ἐστεφάνωσας. Σὲ τρέμουσιν αἱ νοεραὶ πᾶσαι Δυνάμεις· σὲ ὑμνεῖ ἥλιος· σὲ δοξάζει σελήνη· σοὶ ἐντυγχάνει τὰ ἄστρα· σοὶ ὑπακούει τὸ φῶς· σὲ φρίττουσιν ἄβυσσοι· σοὶ δουλεύουσιν αἱ πηγαί. Σὺ ἐξέτεινας τὸν οὐρανὸν ὡσεὶ δέρριν· σὺ ἐστερέωσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων· σὺ περιετείχισας τὴν θάλασσαν ψάμμῳ· σὺ πρὸς ἀναπνοὰς τὸν ἀέρα ἐξέχεας. Ἀγγελικαὶ Δυνάμεις σοὶ λειτουργοῦσιν· οἱ τῶν Ἀρχαγγέλων χοροὶ σὲ προσκυνοῦσι· τὰ πολυόμματα Χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ, κύκλῳ ἑστῶτα καὶ περιϊπτάμενα, φόβῳ τῆς ἀπροσίτου σου δόξης, κατακαλύπτεται. Σὺ γὰρ, Θεὸς ὢν ἀπερίγραπτος, ἄναρχός τε καὶ ἀνέκφραστος, ἦλθες ἐπὶ τῆς γῆς, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· οὐ γὰρ ἔφερες Δέσποτα, διὰ σπλάγχνα ἐλέους σου, θεᾶσθαι (*)

(*) Θεᾶσθαι, κατ' ἐνεστῶτα, ἢ καὶ καθορᾶσθαι, ἀπαντᾶται ἐν τοῖς χειρογράφοις, ἀντὶ τοῦ, θεάσασθαι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ὑπὸ τοῦ διαβόλȣ τυραννούμενον τὸ γένος τῶν ἀνθρώπων, ἀλλ' ἦλθες καὶ ἔσωσας ἡμᾶς. Ὁμολογοῦμεν τὴν χάριν, κηρύττομεν τὸν ἔλεον, οὐ κρύπτομεν τὴν εὐεργεσίαν· τὰς τῆς φύσεως ἡμῶν γονὰς ἠλευθέρωσας, παρθενικὴν ἡγίασας μήτραν τῷ τόκῳ σȣ· πᾶσα ἡ κτίσις ὕμνησέ σε ἐπιφανέντα. Σὺ γὰρ, ὁ Θεὸς ἡμῶν, ἐπὶ τῆς γῆς ὤφθης, καὶ τοῖς ἀνθρώποις συνανεστράφης· σὺ καὶ τὰ Ἰορδάνεια ῥεῖθρα ἡγίασας, ȣ̓ρανόθεν καταπέμψας τὸ πανάγιόν σου Πνεῦμα, καὶ τὰς κεφαλὰς τῶν ἐκεῖσε ἐμφωλευόντων συνέτριψας (*) δρακόντων. Αὐτὸς οὖν, φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν, διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σȣ Πνεύματος, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο (τρίς). Καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου. Ποίησον αὐτὸ ἀφθαρσίας πηγὴν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξητήριον, δαίμοσιν ὀλέθριον, ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον, ἀγγελικῆς ἰσχύος πεπληρωμένον· καὶ φυγέτωσαν ἀπ' αὐτοῦ οἱ ἐπιβουλεύοντες τῷ πλάσματί σου· ὅτι τὸ ὄνομά σου, Κύριε, ἐπεκαλεσάμην, τὸ θαυμαστὸν, καὶ ἔνδοξον, καὶ φοβερὸν τοῖς ὑπεναντίοις.

**Καὶ σφραγίζει, ἐμφυσῶν τὸ ὕδωρ τρίτον, καὶ ἐπεύχεται, λέγων·**

Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ τύπου τοῦ Σταυροῦ σου πᾶσαι αἱ ἐναντίαι δυνάμεις (γ΄.) Ὑποχωρησάτωσαν ἡμῖν πάντα τὰ ἐναέρια καὶ ἀφανῆ εἴδωλα, καὶ μὴ ὑποκρυβήτω τῷ ὕδατι τούτῳ δαιμόνιον σκοτεινὸν, μηδὲ συγκαταβήτω τῷ βαπτιζομένῳ, δεόμεθά σου, Κύριε, πνεῦμα πονηρὸν, σκότωσιν λογισμῶν, καὶ ταραχὴν διανοίας ἐπάγον. Ἀλλὰ σὺ, Δέσποτα τῶν ἁπάντων, ἀνάδειξον τὸ ὕδωρ τȣ̃το, ὕδωρ ἀπολυτρώσεως, ὕδωρ ἁγιασμοῦ, καθαρισμὸν μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἄνεσιν δεσμῶν, ἄφεσιν παραπτωμάτων, φωτισμὸν ψυχῆς, λουτρὸν παλιγγενεσίας, ἀνακαινισμὸν πνεύματος, υἱοθεσίας χάρισμα, ἔνδυμα ἀφθαρσίας, πηγὴν ζωῆς. Σὺ γὰρ εἶπας, Κύριε· Λούσασθε, καὶ καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ἡμῶν. Σὺ ἐχαρίσω ἡμῖν τὴν ἄνωθεν ἀναγέν-

(*) Τὸ χειρόγραφον ἔχει, συντρίψας.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

νησιν, δι' ὕδατος καὶ Πνεύματος. Ἐπιφάνηθι, Κύριε, τούτῳ· καὶ δὸς μεταποιηθῆναι τὸν ἐν αὐτῷ βαπτιζόμενον, εἰς τὸ ἀποθέσθαι μὲν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἐνδύσασθαι δὲ τὸν νέον, τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν· ἵνα, γενόμενος σύμφυτος τῷ ὁμοιώματι τοῦ θανάτου σου, διὰ τοῦ Βαπτίσματος, κοινωνὸς καὶ τῆς ἀναστάσεώς σου γένηται· καὶ φυλάξας τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, καὶ αὐξήσας τὴν παρακαταθήκην τῆς χάριτος, δέξηται τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ συγκαταριθμηθῇ τοῖς πρωτοτόκοις, τοῖς ἀπογεγραμμένοις ἐν οὐρανῷ, ἐν σοὶ τῷ Θεῷ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ. Ὅτι σοὶ πρέπει δόξα, κράτος, τιμὴ, καὶ προσκύνησις, ἅμα τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Καὶ ἐμφυσᾷ εἰς τὸ τοῦ ἐλαίου ἀγγεῖον γ'., καὶ σφραγίζει τρίτον τοῦτο, ἤτοι τὸ ἔλαιον, βασταζόμενον ὑπὸ τοῦ Διακόνου· καὶ εἰπόντος τοῦ αὐτοῦ, Τοῦ Κυρίου δεηθῶμεν, ὁ Ἱερεὺς λέγει τὴν παροῦσαν Εὐχὴν μυστικῶς.

Δέσποτα Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ τοῖς ἐν τῇ κιβωτῷ τοῦ Νῶε περιστερὰν ἀποστείλας, κάρφος ἐλαίας ἔχουσαν ἐπὶ τοῦ στόματος, καταλλαγῆς σύμβολον, σωτηρίας τε τῆς ἀπὸ τοῦ κατακλυσμοῦ, καὶ τὸ τῆς χάριτος μυστήριον, δι' ἐκείνων προτυπώσας, καὶ ὁ τῆς ἐλαίας τὸν καρπὸν εἰς τὴν πλήρωσιν τῶν ἁγίων σου Μυστηρίων χορηγήσας· ὁ δι' αὐτοῦ καὶ τοὺς ἐν νόμῳ Πνεύματος Ἁγίου πληρώσας, καὶ τοὺς ἐν χάριτι τελειῶν· αὐτὸς εὐλόγησον καὶ τοῦτο τὸ ἔλαιον, τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ ἐνεργείᾳ τοῦ Ἁγίου σου Πνεύματος, ὥστε γενέσθαι αὐτὸ χρίσμα ἀφθαρσίας, ὅπλον δικαιοσύνης, ἀνακαινισμὸς ψυχῆς καὶ σώματος, πάσης διαβολικῆς ἐνεργείας ἀποτρόπαιον, εἰς ἀπαλλαγὴν κακῶν πάντων τοῖς χριομένοις αὐτὸ ἐν πίστει, ἢ καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ·

Εἰς δόξαν σὴν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ πα-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ναγίου, καὶ ἀγαθοῦ, καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Ὁ Διάκονος· Πρόσχωμεν.

Καὶ ὁ Ἱερεὺς, λαβὼν τὸ ἀγγεῖον τοῦ ἐλαίου, καταχέει ἐν τῇ Κολυμβήθρᾳ, ποιῶν Σταυροὺς, γ'. καὶ ψάλλων ἐν ἑκάστῳ Σταυρῷ τὸ, Ἀλληλούϊα. Εἶτα ἐκφωνεῖ·

Εὐλογητὸς ὁ Θεὸς, ὁ φωτίζων καὶ ἁγιάζων πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ προσφέρεται ὁ βαπτιζόμενος. Ὁ δὲ Ἱερεὺς λαμβάνει ἐκ τοῦ ἐλαίου, καὶ ποιεῖ Σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, καὶ τοῦ στήθους, καὶ τῶν μεταφρένων τοῦ βαπτιζομένου, λέγων·

Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δεῖνα) ἔλαιον ἀγαλλιάσεως, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· Ἀμήν. (*)

Καὶ σφραγίζων αὐτοῦ τὸ στῆθος, καὶ τὰ μετάφρενα,

Εἰς μὲν τὸ στῆθος, λέγει·

Εἰς ἴασιν ψυχῆς καὶ σώματος.

Εἰς δὲ τὰς ἀκοάς·

Εἰς ἀκοὴν πίστεως.

Εἰς τοὺς πόδας·

Τοῦ πορεύεσθαι τὰ διαβήματά σου.

Εἰς τὰς χεῖρας·

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με.

Καὶ ὅτε χρισθῇ ὅλον τὸ σῶμα, βαπτίζει αὐτὸν ὁ Ἱερεὺς, ὄρθιον αὐτὸν κατέχων, καὶ βλέποντα κατὰ Ἀνατολὰς, καὶ λέγων·

Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δεῖνα) εἰς τὸ ὄνομα τοῦ Πατρὸς, Ἀμήν· καὶ τοῦ Υἱοῦ, Ἀμήν· καὶ τοῦ Ἁγίου Πνεύματος, Ἀμήν· (ἑκάστῃ προσρήσει κατάγων αὐτὸν, καὶ ἀνάγων). (**)

(*) Τὸ, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας.... οὐκ ἀπαντᾶται ἐν τῷ Χειρογράφῳ· ἀλλ' οὐδὲ ἐν τῷ, Βαπτίζεται, καὶ τῷ, Ἐνδύεται καὶ τοῖς παραπλησίοις· θεωρούμενον γὰρ κατὰ τὴν ἔννοιαν, οὐκ ἔχει χώραν.

(**) Τὸ Χειρόγραφον ἔχει· «ἐπιλέγοντος τοῦ Διακόνου σὺν τῷ λαῷ τὸ, Ἀμήν.»

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Μετὰ δὲ τὸ τελεσθῆναι τὸν Βαπτισμὸν, νίπτεται ὁ Ἱερεὺς, καὶ ψάλλεται τὸ,

Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. (ἐκ γ΄.) Καὶ τὸν λοιπὸν ψαλμόν. Δόξα, καὶ νῦν.

Εἶτα ὁ Ἱερεὺς ἐνδύει αὐτὸν τὰ ἄμφια, λέγων·

Ἐνδύεται ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δεῖνα) χιτῶνα δικαιοσύνης, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Καὶ ψάλλεται Τροπάριον, εἰς ἦχον πλ. δ΄.

Χιτῶνά μοι παράσχου φωτεινὸν, ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, πολυέλεε Χριστὲ, ὁ Θεὸς ἡμῶν.

Καὶ μετὰ τὸ ἐνδῦσαι αὐτὸν, ὁ Διάκονος λέγει, Τοῦ Κυρίου δεηθῶμεν· καὶ ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς ὁ Παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν, ὁ ἥλιος τῆς δικαιοσύνης, ὁ λάμψας τοῖς ἐν σκότει φῶς σωτηρίας, διὰ τῆς ἐπιφανείας τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, καὶ χαρισάμενος ἡμῖν τοῖς ἀναξίοις τὴν μακαρίαν κάθαρσιν ἐν τῷ ἁγίῳ Βαπτίσματι, καὶ τὸν θεῖον ἁγιασμὸν ἐν τῷ ζωοποιῷ χρίσματι· ὁ καὶ νῦν εὐδοκήσας ἀναγεννῆσαι τὸν δοῦλόν σου τὸν νεοφώτιστον δι᾽ ὕδατος καὶ Πνεύματος, καὶ τὴν τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἄφεσιν αὐτῷ δωρησάμενος· αὐτὸς οὖν, Δέσποτα, Παμβασιλεῦ εὔσπλαγχνε, χάρισαι αὐτῷ καὶ τὴν σφραγῖδα τῆς δωρεᾶς τοῦ ἁγίου, καὶ παντοδυνάμου, καὶ προσκυνητοῦ σου Πνεύματος, καὶ τὴν μετάληψιν τοῦ ἁγίου Σώματος καὶ τοῦ τιμίου Αἵματος τοῦ Χριστοῦ σου. Φύλαξον αὐτὸν ἐν τῷ σῷ ἁγιασμῷ· βεβαίωσον ἐν τῇ Ὀρθοδόξῳ Πίστει· ῥῦσαι ἀπὸ τοῦ πονηροῦ, καὶ πάντων τῶν ἐπιτηδευμάτων αὐτοῦ, καὶ τῷ σωτηρίῳ σου φόβῳ, ἐν ἁγνείᾳ καὶ δικαιοσύνῃ τὴν ψυχὴν αὐτοῦ διατήρησον· ἵνα, ἐν παντὶ ἔργῳ καὶ λόγῳ εὐαρεστῶν σοι, υἱὸς καὶ κληρονόμος τῆς ἐπουρανίου σου γένηται Βασιλείας.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Α'γίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν (*).

Καὶ μετὰ τὴν Εὐχὴν, χρίει τὸν βαπτισθέντα τῷ ἁγίῳ Μύρῳ, ποιῶν Σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ ςόματος, καὶ τῶν δύω ὤτων, καὶ τοῦ στήθους, καὶ τῶν χειρῶν, καὶ τῶν ποδῶν, λέγων·

Σφραγὶς δωρεᾶς Πνεύματος Ἁγίου. Ἀμήν.

Εἶτα ποιεῖ ὁ Ἱερεὺς μετὰ τοῦ Ἀναδόχȣ καὶ τȣ Βρέφους σχῆμα κύκλου, καὶ ψάλλομεν·

Ο῞σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα. (ἐκ γ΄.)

Εἶτα τὸ Προκείμενον. Κύριος φωτισμός μȣ, καὶ σωτήρ μου.
Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ὁ Ἀπόστολος.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ς΄. 3.

Α'δελφοὶ, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα, ὥσπερ ἠγέρθη Χριςὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος

(*) Ἐνταῦθα ἐν τῷ χειρογράφῳ Εὐχολογίῳ τοῦ Μεγάλου Σπηλαίου ἡ διάταξις οὕτως ἔχει « Μετὰ δὲ τὴν Εὐχὴν, θυμιᾷ ὁ Ἱερεὺς τὴν Κολυμβήθραν, περιερ» χόμενος αὐτὴν γύρωθεν μετὰ τοῦ Ἀναδόχου, κατεχομένου ὑπ' αὐτοῦ καὶ τοῦ » νεοφωτίστου βρέφους ψάλλοντες τὸ, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε » (ἐκ γ΄.) Δόξα, καὶ νῦν. Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα· καὶ πά» λιν ὁλόκληρον· καὶ τὰ λοιπά. — Εἶτα χρίει τῷ Ἁγίῳ Μύρῳ τὸν νεοφώτιστον, » ποιῶν Σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτή» ρων, καὶ τοῦ στόματος, καὶ τῶν δύο ὤτων, καὶ τῶν χειρῶν, καὶ τῶν γονάτων, » τοῦ στήθους τε καὶ τῶν μεταφρένων, ἑκάστῃ χρίσει ἐπιλέγων· Σφραγὶς δω» ρεᾶς κτλ. — Μετὰ δὲ ταῦτα πάντα ἀποδύεται τὴν ςολὴν τῶν βαπτισμάτων, » καὶ βάλλει τὰ τῆς Λειτουργίας. Καὶ εἰσέρχεται μετὰ τοῦ νεοφωτίστου εἰς » τὴν εἴσοδον, καὶ μεταλαμβάνει αὐτὸν τῶν ἀχράντων Μυστηρίων ». Καὶ Ἀπόλυσις.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. Ὁ γὰρ ἀποθανὼν, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν, ὅτι καὶ συζήσωμεν αὐτῷ· εἰδότες, ὅτι Χριστὸς, ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. κη΄. 16.

Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

Εἶτα ἐκτενὴς, καὶ Ἀπόλυσις.

# ΕΥΧΑΙ ΤΗΣ ΑΠΟΛΟΥΣΕΩΣ

Μεθ' ἡμέρας ἑπτὰ, πάλιν φέρουσι τὸ παιδίον ἐν τῇ Ἐκκλησίᾳ, εἰς τὸ ἀπολοῦσαι. Καὶ λύει αὐτῷ ὁ Ἱερεὺς τὸ σάβανον, καὶ τὴν ζώνην, λέγων τὰς Εὐχὰς ταύτας·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ λύτρωσιν ἁμαρτιῶν, διὰ τοῦ ἁγίου Βαπτίσματος, τῷ δούλῳ σου δωρησάμενος, καὶ ζωῆς ἀνακαινισμὸν αὐτῷ χαρισάμενος· αὐτὸς, Δέσποτα Κύριε, τὸν φωτισμὸν τοῦ προσώπου σου ἐν τῇ καρδίᾳ αὐτοῦ ἐναυγάζειν διαπαντὸς εὐδόκησον· τὸν θυρεὸν τῆς πίστεως αὐτοῦ ἀνεπιβούλευτον ἐχθροῖς διατήρησον· τὸ τῆς ἀφθαρσίας ἔνδυμα, ὃ περιεβάλετο, ἀῤῥύπωτον ἐν

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

αὐτῷ καὶ ἀμόλυντον διαφύλαξον· ἄθραυςον ἐν αὐτῷ τὴν πνευματικὴν σφραγίδα τῇ χάριτί σου διατηρῶν, ἵλεως αὐτῷ τε καὶ ἡμῖν γενόμενος, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. Ὅτι ηὐλόγηται, καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν (*).

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς κολυμβήθρας τὴν οὐράνιον ἔλλαμψιν τοῖς βαπτιζομένοις παρέχων· ὁ ἀναγεννήσας τὸν δοῦλόν σου τὸν νεοφώτιςον δι' ὕδατος καὶ Πνεύματος, καὶ τὴν τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἄφεσιν αὐτῷ δωρησάμενος, ἐπίθες αὐτῷ τὴν χεῖρά σου τὴν κραταιὰν, καὶ φύλαξον αὐτὸν ἐν τῇ δυνάμει τῆς σῆς ἀγαθότητος· ἄσυλον τὸν ἀῤῥαβῶνα διαφύλαξον· καὶ καταξίωσον αὐτὸν εἰς τὴν ζωὴν τὴν αἰώνιον, καὶ εἰς τὴν σὴν εὐαρεστίαν. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. Μυςικῶς.

Ὁ ἐνδυσάμενος σὲ τὸν Χριςὸν καὶ Θεὸν ἡμῶν, σοὶ ὑπέκλινε σὺν ἡμῖν τὴν ἑαυτοῦ κεφαλήν· ὃν διαφύλαξον ἀήττητον ἀγωνιστὴν διαμεῖναι κατὰ τῶν μάτην ἔχθραν αἰρομένων κατ' αὐτοῦ τε καὶ ἡμῶν· τῷ δὲ σῷ ἀφθάρτῳ ςεφάνῳ μέχρι τέλους νικητὰς πάντας ἀνάδειξον. Ἐκφώνως·

Ὅτι σόν ἐστι τὸ ἐλεεῖν, καὶ σώζειν ἡμᾶς, καὶ σοὶ τὴν δόξαν

(*) Κατὰ τὴν ἐν τῷ ῥηθέντι παλαιῷ Χειρογράφῳ διάταξιν, «ὁ Ἱερεὺς μετὰ » τὸ, Ἀμήν, λαβὼν σπόγγον καινὸν ἐξ ὕδατος, ἀποσπογγίζει τὸ μέτωπον αὐ» τοῦ, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τοὺς μυκτῆρας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα, καὶ » τὰς χεῖρας, καὶ τὰ γόνατα, καὶ τὸ στῆθος, καὶ τὰ μετάφρενα, πάντας τοὺς » τόπους, ἔνθα ἐχρίσθη τὸ ἅγιον Μῦρον, λέγων· Εὐλογητὸς ὁ Θεὸς, ὁ φω» τίζων καὶ ἁγιάζων πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, » νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. — Εἶτα ὁ » Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ Ἱερεὺς τὴν Εὐχὴν, Δέσποτα » Κύριε, ὁ Θεὸς ἡμῶν κ. τ. λ. Εἰρήνη πᾶσι· καὶ τοῦ Διακόνου λέγοντος, » Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν, ὁ Ἱερεὺς, κλίνας, ἐπεύχεται· » Ὁ ἐνδυσάμενος σὲ τὸν Χριστόν» καὶ τὰ λοιπὰ, ὡς ἔθος.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λύει τὸ ζωνάριον τοῦ Παιδίου, καὶ τὸ σάβανον· καὶ ἑνώσας τὰς ἄκρας αὐτῶν, βρέχει μετὰ ὕδατος καθαροῦ αὐτὰς, καὶ ῥαίνει τὸ Παιδίον, λέγων·

Ἐδικαιώθης, ἐφωτίσθης· καὶ τὰ λοιπά. Καὶ λαβὼν σπόγγον καινὸν μετὰ ὕδατος, ἀποσπογγίζει τὸ πρόσωπον αὐτοῦ, σὺν τῇ κεφαλῇ, καὶ τὸ στῆθος, καὶ τὰ λοιπὰ, λέγων·

Ἐβαπτίσθης, ἐφωτίσθης, ἐμυρώθης, ἡγιάσθης, ἀπελούσθης, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΙΣ ΤΡΙΧΟΚΟΥΡΙΑΝ.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον, ἐκ ψυχῆς λογικῆς καὶ σώματος εὐπρεποῦς κατασκευάσας αὐτὸν, ὡς ἂν τὸ σῶμα ἐξυπηρετῆσαι τῇ λογικῇ ψυχῇ· κεφαλὴν μὲν ἐπὶ τῶν ὑψηλοτάτων θεὶς, καὶ ἐν αὐτῇ τὰς πλείστας τῶν αἰσθήσεων καθιδρύσας, μὴ παρεμποδιζούσας ἀλλήλαις· ταῖς δὲ θριξὶ τὴν κεφαλὴν ὀροφώσας, πρὸς τὸ μὴ βλάπτεσθαι ταῖς μεταβολαῖς τῶν ἀέρων, καὶ πάντα τὰ μέλη αὐτῷ χρησίμως ἐμφυτεύσας, ἵνα διὰ πάντων εὐχαριστῇ σοὶ τῷ ἀριστοτέχνῃ (*)· αὐτὸς, Δέσποτα, ὁ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς σου Παύλου τοῦ Ἀποστόλου ἐντειλάμενος ἡμῖν πάντα εἰς δόξαν σὴν ποιεῖν, τὸν προσελθόντα δοῦλόν σου (**τόνδε**), ἀπαρχὴν ποιήσασθαι κείρασθαι τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, εὐλόγησον, ἅμα τῷ αὐτοῦ ἀναδόχῳ, καὶ δὸς αὐτοῖς πάντα μελετᾷν ἐν τῷ νόμῳ σου, καὶ τὰ εὐάρεστά σοι πράττειν. Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν

(*) Ἐν τῷ Χειρογράφῳ ἀναγινώσκεται· «σοὶ τῷ τεχνίτῃ αὐτοῦ τῷ ἀρίστῳ».

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. (*).

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τȣ̃ πληρώματος τῆς κολυμβήθρας τῆς σῆς ἀγαθότητος ἁγιάσας τοὺς εἰς σὲ πιστεύοντας, εὐλόγησον τὸ παρὸν Νήπιον, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἡ εὐλογία σου καταβήτω. Καὶ, ὡς εὐλόγησας διὰ τοῦ Προφήτου Σαμουὴλ, Δαυῒδ τὸν Βασιλέα, εὐλόγησον καὶ τὴν κεφαλὴν τοῦ δούλȣ σȣ (τοῦ δε), διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ἐπιφοιτῶν αὐτῷ τῷ Πνεύματί σου τῷ Ἁγίῳ· ὅπως, προκόπτοντος αὐτοῦ ἐν ἡλικίᾳ καὶ πολιᾷ γήρως, δόξαν σοι ἀναπέμψῃ, καὶ ἴδῃ τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

Ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ κουρεύει αὐτὸν σταυροειδῶς, λέγων·

Κείρεται ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δεῖνα) εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Εἶτα μνημονεύει τοῦ Ἀναδόχου.

Ἐλέησον ἡμᾶς, ὁ Θεός. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ γίνεται, ὡς ἔθος, Ἀπόλυσις.

(*) Κἀνταῦθα πάλιν οὕτω διατάσσεται ἐν τῷ Χειρογράφῳ· «Μετὰ τὸ, Ἀμὴν, »ὁ Ἱερεὺς κείρει αὐτοῦ τὰς τρίχας τῆς κεφαλῆς σταυροειδῶς, ἀρχόμενος ἀπὸ »τῆς κορυφῆς, καὶ τοῦ μετώπου, καὶ τῶν δύο πλαγίων, δεξιὰ καὶ ἀριστερὰ, καθὼς »εἴωθε τυποῦσθαι τὸν Σταυρὸν, λέγων· Κείρεται ὁ δοῦλος τοῦ Θεοῦ »κτλ. — Εἶτα λέγει· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ »κλίνωμεν· καὶ τὴν Εὐχὴν, Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ πληρώμα»τος κτλ. Ἐκφώνως· Ὅτι πρέπει σοι πᾶσα δόξα. Μετὰ ταῦτα δὲ, λα»βὼν ὁ Ἱερεὺς τὸν νεοφώτιστον ἐκ τῶν τοῦ ἀναδόχου ἀγκαλῶν, ἀνάγει καὶ »κατάγει αὐτὸν σταυροειδῶς ἔμπροσθεν τῶν ἁγίων Εἰκόνων, σχηματίζων ὡς »ἤδη προσκυνοῦντα καὶ ἀποχαιρετίζοντα τὸν Ναὸν, καὶ εὐχαριστίαν ἀναπέμ»ποντα τῷ Θεῷ, διὰ τοῦ Ἱερέως, τὸ, Νῦν ἀπολύεις τὸν δοῦλόν σου »ᾄδοντος, καὶ ποιοῦντος Ἀπόλυσιν».

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΑΙ,

## ΗΤΟΙ ΕΞΟΡΚΙΣΜΟΙ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

## Πρὸς τοὺς πάσχοντας ὑπὸ δαιμόνων, καὶ πρὸς ἑκάστην ἀσθένειαν.

Ὁ Θεὸς τῶν θεῶν, καὶ Κύριος τῶν κυρίων, ὁ τῶν πυρίνων ταγμάτων δημιουργὸς, καὶ τῶν ἀΰλων Δυνάμεων τεχνουργὸς, ὁ τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων τεχνίτης· ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται· ὃν φοβεῖται καὶ τρέμει πᾶσα ἡ κτίσις· ὁ τὸν τραχηλιάσαντα ποτὲ Ἀρχιστράτηγον, καὶ τὴν τούτου λειτουργίαν παρακοῇ ἀθετήσαντα, ῥήξας ἐπὶ τὴν γῆν, καὶ τοὺς συναποστάτας αὐτῷ Ἀγγέλους, δαίμονας γενομένους, εἰς σκότωσιν βυθοῦ ταρταρώσας· δὸς τὸν ἀφορκισμὸν τοῦτον, ἐπὶ τῷ φρικτῷ ὀνόματί σου τελούμενον, φόβῳ γενέσθαι αὐτῷ τῷ προηγουμένῳ τῆς πονηρίας, καὶ πάσαις ταῖς φάλαγξιν αὐτοῦ, ταῖς συνεκπεσούσαις αὐτῷ ἐκ τῆς ἄνω φωτοφορίας, καὶ τρέψον αὐτὸν εἰς φυγὴν, καὶ ἐπίταξον αὐτῷ καὶ τοῖς δαίμοσιν αὐτοῦ ἀναχωρῆσαι παντελῶς· ἵνα μή τι βλαβερὸν κατὰ τὴν ἐσφραγισμένην εἰκόνα ἐργάσηται· ἀλλὰ λαβέτωσαν ἰσχὺν οὗτοι οἱ ἐσφραγισμένοι κραταιότητος, τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Σοῦ γὰρ ὑμνεῖται καὶ μεγαλύνεται, καὶ παρὰ πάσης πνοῆς ἐν φόβῳ δοξάζεται τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Εὐχὴ ἑτέρα, τοῦ αὐτοῦ.** Τοῦ Κυρίου δεηθῶμεν.

Ἐξορκίζω σε τὸν ἀρχέκακον τῆς βλασφημίας, τὸν ἀρχηγὸν τῆς ἀνταρσίας, καὶ αὐτουργὸν τῆς πονηρίας. Ἐξορκίζω σε τὸν ἐκριφθέντα ἐκ τῆς ἄνω φωτοφορίας, καὶ σκότῳ βυθοῦ κατενεχθέντα διὰ τὴν ἔπαρσιν. Ἐξορκίζω σὲ, καὶ πᾶσαν τὴν ἐκπεσοῦσαν δύναμιν, τῆς σῆς ἀκόλουθον προαιρέσεως. Ὁρκίζω σε, πνεῦμα ἀκάθαρτον, κατὰ τοῦ Θεοῦ Σαβαώθ, καὶ πάσης στρατιᾶς Ἀγγέλων Θεοῦ Ἀδωναΐ, Ἐλωῒ, Θεοῦ παντοκράτορος,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἔξελθε καὶ ἀπαναχώρησον ἀπὸ τοῦ δούλȣ τοῦ Θεοῦ (τοῦδε). Ἐξορκίζω σε, κατὰ τοῦ Θεοῦ τȣ͂ πάντα λόγῳ κτίσαντος, καὶ αὐτοῦ τοῦ Κυρίȣ ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς Υἱοῦ, τοῦ πρὸ τῶν αἰώνων ἀῤῥήτως καὶ ἀπαθῶς ἐξ αὐτοῦ γεννηθέντος· τοῦ τὴν ἀόρατον καὶ ὁρατὴν κτίσιν δημιουργήσαντος, καὶ τοῦ κατ' ἰδίαν ἰδίαν τὸν ἄνθρωπον πλαστουργήσαντος. τοῦ νόμῳ πρότερον φυσικῶς ταῦτα παιδαγωγήσαντος, καὶ Ἀγγέλων ἐπιςασίᾳ φυλάξαντος· τοῦ ὕδατι τὴν ἁμαρτίαν κατακλύσαντος ἄνωθεν, καὶ τὰς ὑπ' οὐρανὸν ἀβύσσους ἀναστομώσαντος, καὶ γίγαντας ἀσεβήσαντας καταφθείραντος, καὶ πύργον τῶν βεβήλων κατασείσαντος, καὶ γῆν Σοδόμων καὶ Γομόῤῥων πυρὶ καὶ θείῳ τεφρώσαντος· οὗ μάρτυς καπνὸς ἀκοίμητος ἐξατμίζεται· τοῦ ῥάβδῳ πέλαγος ῥήξαντος, καὶ Λαὸν ἀβρόχοις ποσὶ περάσαντος, καὶ τύραννον Φαραὼ, καὶ ςρατὸν θεομάχον εἰς αἰῶνα τοῖς κύμασι κατακλύσαντος τῆς ἀσεβείας πόλεμον· τοῦ ἐπ' ἐσχάτων ἐκ Παρθένου ἁγνῆς σαρκωθέντος ἀνεκλαλήτως, καὶ σῴας τὰς σφραγίδας τῆς ἁγνείας φυλάξαντος· τοῦ πλῦναι βαπτίσματι τὸν παλαιὸν ἡμῶν ῥύπον εὐδοκήσαντος, ὃν ἡμεῖς διὰ τῆς παραβάσεως ἐπεσπασάμεθα. Ἐξορκίζω σε, κατὰ τοῦ βαπτισθέντος ἐν Ἰορδάνῃ, καὶ τύπον ἡμῖν ἀφθαρσίας ἐν ὕδατι κατὰ χάριν παρεχομένου, ὃν Ἄγγελοι καὶ πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν κατεπλάγησαν, τὸν σαρκωθέντα Θεὸν βλέπȣσαι μετριάσαντα, ὅτε ὁ ἄναρχος Πατὴρ τὴν ἄναρχον γέννησιν τοῦ Υἱοῦ ἀπεκάλυψε, καὶ τοῦ Ἁγίου Πνεύματος ἡ κατάβασις τῆς Τριάδος τὴν ἕνωσιν ἐμαρτύρησεν. Ὁρκίζω σε, κατ' ἐκείνου τοῦ ἄνεμον ἐπιτιμήσαντος, καὶ κλύδωνα θαλάσσης πραΰναντος· τοῦ στίφη δαιμόνων ἐκδιώξαντος, καὶ κόρας ὀμμάτων ἀπὸ μήτρας λειπούσας πηλῷ τυφλοῖς ἀναβλέψαι ἐναρμόσαντος, καὶ τὴν ἀρχαίαν τοῦ γένȣς ἡμῶν διάπλασιν ἀνακαινίσαντος, καὶ ἀλάλοις τὸ λαλεῖν ἀνορθώσαντος· τοῦ στίγματα λέπρας ἀποσμήξαντος, καὶ νεκροὺς ἐκ τῶν τάφων ἀναστήσαντος· τοῦ μέχρι ταφῆς τοῖς ἀνθρώποις ὁμιλήσαντος, καὶ τὸν ᾅδην ἐγέρσει σκυλεύσαντος, καὶ πᾶσαν τὴν ἀνθρωπότητα ἀνάλωτον τῷ θανάτῳ κατασκευάσαντος. Ὁρκίζω σε, κατὰ τȣ͂ Θεȣ͂ τοῦ Παντοκράτορος,

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τοῦ τῇ θεοπνεύστῳ φωνῇ τοὺς ἀνθρώπους ἐμπνεύσαντος, καὶ τοῖς Ἀποστόλοις συμπράξαντος, καὶ πᾶσαν τὴν οἰκουμένην εὐσεβεῖς πληρώσαντος. Φοβήθητι, φύγε, δραπέτευσον, ἀναχώρησον, δαιμόνιον ἀκάθαρτον καὶ ἐναγὲς, καταχθόνιον, βύθιον, ἀπατηλὸν, ἄμορφον, θεατὸν δι' ἀναίδειαν, ἀθέατον διὰ τὴν ὑπόκρισιν ὅπου ἂν τυγχάνῃς, ἢ ἀπέρχῃ, ἢ αὐτὸς εἶ ὁ Βεελζεβοὺλ, ἢ κατασείων, ἢ δρακοντοειδὴς, ἢ θηριοπρόσωπος, ἢ ὡς ἀτμὶς, ἢ ὡς καπνὸς φαινόμενος, ἢ ὡς ἄρσεν, ἢ ὡς θῆλυ, ἢ ὡς ἑρπετὸν, ἢ ὡς πετεινὸν, ἢ νυκτολάλον, ἢ κωφὸν, ἢ ἄλαλον· ἢ ἐκφοβοῦν ἐξ ἐπιδρομῆς, ἢ σπαράσσον, ἢ ἐπιβουλεῦον, ἢ ἐν ὕπνῳ βαρεῖ, ἢ ἐν νόσῳ, ἢ ἐν μαλακίᾳ, ἢ ἐν γέλωτι ῥέμβον, ἢ δάκρυα φιλήδονα ἐμποιοῦν, ἢ λάγνον, ἢ δυσῶδες, ἢ ἐπιθυμητικὸν, ἢ ἡδονικὸν, ἢ φαρμακόφιλον, ἢ ἐρωτομανὲς, ἢ ἀστρομαγικὸν, ἢ ἐνοικηματικὸν, ἢ ἀναιδὲς, ἢ φιλόνεικον, ἢ ἀκατάστατον· ἢ τῇ σελήνῃ συναλλοιούμενον, ἢ χρόνῳ τινὶ συντρεπόμενον· ἢ ὀρθρινὸν, ἢ μεσημβρινὸν, ἢ μεσονυκτικὸν, ἢ ἀωρίας τινὸς, ἢ αὐγῆς· ἢ αὐτομάτως συνήντησας, ἢ ἐπέμφθης ὑπό τινος, ἢ προσεπέλασας ἄφνω, ἢ ἐν θαλάσσῃ, ἢ ἐν ποταμῷ, ἢ ὑπὸ γῆς, ἢ φρέατος, ἢ κρημνοῦ, ἢ ἐκ λάκκου, ἢ λίμνης, ἢ καλαμῶνος, ἢ ὕλης, ἢ ἀπογαίου, ἢ ἀκαθάρτου, ἢ ἄλσους, ἢ δρυμῶνος, ἢ δένδρου, ἢ ὀρνέου, ἢ βροντῆς, ἢ ἐκ στέγης λουτροῦ, ἢ ἐν κολυμβήθρᾳ ὑδάτων, ἢ ἐκ μνήματος εἰδωλικοῦ, ἢ ὅθεν ἴσμεν, καὶ οὐκ ἴσμεν, ἢ γνωστὸν, ἢ ἄγνωστον, καὶ ἐξ ἀπερισκέπτου τόπου· μερίσθητι, καὶ ἀπαλλάγηθι. Αἰσχύνθητι τὴν εἰκόνα, τὴν χειρὶ Θεοῦ πλασθεῖσαν καὶ μορφωθεῖσαν. Φοβήθητι τοῦ σαρκωθέντος Θεοῦ τὸ ὁμοίωμα, καὶ μὴ ἐγκρυβῇς εἰς τὸν δοῦλον τοῦ Θεοῦ (τόνδε)· ἀλλὰ ῥάβδος σιδηρᾶ, καὶ κάμινος πυρὸς, καὶ τάρταρος, καὶ ὀδόντων βρυγμὸς ἄμυνα τῆς παρακοῆς σε περιμένει. Φοβήθητι, φιμώθητι, φύγε· μὴ ὑποστρέψῃς, μὴ ὑποκρυβῇς μεθ' ἑτέρας πονηρίας πνευμάτων ἀκαθάρτων, ἀλλὰ ἄπελθε εἰς γῆν ἄνυδρον, ἔρημον ἀγεώργητον, ἣν ἄνθρωπος οὐκ οἰκεῖ, Θεὸς μόνος ἐπισκοπεῖ, ὁ δεσμεύων πάντας τοὺς βασκαίνοντας, καὶ ἐπιβουλεύοντας τῇ αὐτοῦ Εἰκόνι, καὶ σειραῖς ζόφου ταρταρώσας εἰς μακρὰν νύκτα καὶ ἡμέραν σὲ πάντων τῶν κακῶν πεπειραμένον, καὶ ἐφευ-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ρετὴν διάβολον· ὅτι μέγας ὁ φόβος τοῦ Θεοῦ, καὶ μεγάλη ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εὐχὴ ἑτέρα, τοῦ αὐτοῦ.

Ὁ Θεὸς τῶν οὐρανῶν, ὁ Θεὸς τῶν φώτων, ὁ Θεὸς τῶν Ἀγγέλων τῶν ὑπὸ τὴν σὴν ἰσχὺν, ὁ Θεὸς τῶν Ἀρχαγγέλων τῶν ὑπὸ τὸ σὸν κράτος, ὁ Θεὸς τῶν ἐνδόξων Κυριοτήτων, ὁ Θεὸς τῶν Ἁγίων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ τὰς δεσμευθείσας τῷ θανάτῳ ψυχὰς λύσας· ὁ τὸν προσηλωθέντα ἄνθρωπον τῷ σκότει, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, φωτίσας· ὁ λύσας τὰς ὀδύνας ἡμῶν, καὶ πᾶν βάρος ἀποσκεδάσας· ὁ πᾶσαν τὴν προσβολὴν τοῦ ἐχθροῦ ἀφ' ἡμῶν χωρίσας· καὶ σὺ, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ, ὁ ἀπαθανατίσας ἡμᾶς τῷ θανάτῳ σου, καὶ δοξάσας ἡμᾶς τῇ δόξῃ σου· ὁ ἐξ ἀνθρώπων χωρεῖν εἰς Θεὸν ἐγέρσει τῇ σῇ χαρισάμενος· ὁ πάντα δεσμὸν τῶν ἁμαρτιῶν ἡμῶν διὰ τοῦ Σταυροῦ σου βαςάσας· ὁ τὸ σύντριμμα ἡμῶν ἀναλαβὼν καὶ ἰασάμενος, Κύριε· ὁ ὁδοποιήσας ἡμῖν ὁδὸν εἰς οὐρανοὺς, καὶ φθορὰν εἰς ἀφθαρσίαν μετασκευάσας· εἰσάκουσόν μου, πόθῳ καὶ φόβῳ κεκραγότος πρὸς σὲ, οὗ τῷ φόβῳ τὰ ὄρη τήκονται τῆς ὑπ' οὐρανὸν σὺν τῷ στερεώματι· οὗ τῇ δυνάμει ἄλαλοι στοιχείων ψυχαὶ φρίττουσι, τηροῦσαι τοὺς ἑαυτῶν ὅρους· δι' οὗ τὸ πῦρ τὸ τῆς ἐκδικήσεως οὐχ ὑπερβήσεται ὅρους τοὺς ταχθέντας αὐτῷ, ἀλλ' ἀναμένει στένον τὴν σὴν βουλήν· δι' ὃν πᾶσα ἡ κτίσις ὠδίνει, στενάζουσα στεναγμοῖς ἀλαλήτοις, εἰς καιροὺς μένειν ἐπιταχθεῖσα· οὗ πᾶσα φύσις ἐναντία πέφευγε, καὶ τοῦ ἐχθροῦ στρατιὰ δεδάμασται, καὶ διάβολος πέπτωκε, καὶ ὄφις πεπάτηται, καὶ δράκων ἀνῄρηται· δι' ὃν τὰ ἔθνη ὁμολογήσαντά σε ἐφωτίσθησαν καὶ ἐκραταιώθησαν ἐν σοὶ, Κύριε· δι' ὃν ζωὴ πεφανέρωται, ἐλπὶς ἥδρασται, ἡ πίστις κεκράτηται, τὸ Εὐαγγέλιον κεκήρυκται· δι' ὃν ἄνθρωπος ἐκ γῆς ἀναπέπλασται, πιστεύσας ἐν σοί. Τίς γάρ ἐςιν, ὡς σὺ, Θεὸς Παντοκράτωρ; Διὸ δεόμεθά σου, Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, προαιώνιε καὶ ὑπερούσιε· Τὸν πρὸς σὲ ἐληλυθότα ἐπὶ τῷ ἁγίῳ Ὀνόματί σου, καὶ τοῦ ἠγαπημένου σου παιδὸς Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ἁγίου, καὶ παντοδυνάμου, καὶ ζωοποιοῦ σου Πνεύματος πρόσ-


ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

δεξαι. Ἀποσόβησον ἀπὸ τῆς ψυχῆς αὐτοῦ πᾶσαν μαλακίαν, πᾶσαν ἀπιστίαν, πᾶν πνεῦμα ἀκάθαρτον, σπαρακτικὸν, καταχθόνιον, πύρινον, δυσωδιακὸν, ἐπιθυμητικὸν, φιλόχρυσον, φιλάργυρον, τυφωνικὸν, πορνικὸν, πᾶν δαιμόνιον ἀκάθαρτον, σκοτεινὸν, ἄμορφον, ἀναιδές. Ναὶ, ὁ Θεὸς, ἀπέλασον ἀπὸ τοῦ δούλου σου (τοῦ δεῖνος) πᾶσαν ἐνέργειαν τοῦ διαβόλου, πᾶσαν μαγείαν, πᾶσαν φαρμακείαν, εἰδωλολατρείαν, ἀςρομαντείαν, ἀστρολογίαν, νεκρομαντείαν, ὀρνεοσκοπίαν, ἡδυπάθειαν, ἔρωτα, φιλαργυρίαν, μέθην, πορνείαν, μοιχείαν, ἀσέλγειαν, ἀναίδειαν, ὀργὴν, φιλονεικίαν, ἀκαταςασίαν, καὶ πᾶσαν ὑπόνοιαν πονηράν. Ναὶ, Κύριε ὁ Θεὸς ἡμῶν, ἐμφύσησον ἐν αὐτῷ τὸ Πνεῦμά σου τὸ εἰρηνικὸν, ὅπως, φρουρούμενος ὑπ' αὐτοῦ, ποιήσῃ καρπὸν πίστεως, ἀρετῆς, σοφίας, ἁγνείας, ἐγκρατείας, ἀγάπης, χρηστότητος, ἐλπίδος, πρᾳότητος, μακροθυμίας, ὑπομονῆς, σωφροσύνης, συνέσεως· ὅτι σοὶ ἐπικέκληται δοῦλος, ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, πιστεύων εἰς τὴν ὁμοούσιον Τριάδα, συμμαρτυρούντων Ἀγγέλων, Ἀρχαγγέλων, ἐνδόξων Κυριοτήτων, καὶ πάσης οὐρανίου στρατιᾶς. Σὺν τούτῳ φύλαξον καὶ τὰς καρδίας ἡμῶν, ὅτι δυνατὸς εἶ, Κύριε· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ τοῦ Χρυσοστόμου. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ λυτρωσάμενος τὸ γένος τῶν ἀνθρώπων ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου, ῥῦσαι τὸν δοῦλόν σου (τόνδε) ἀπὸ πάσης ἐνεργείας πνευμάτων ἀκαθάρτων· ἐπίταξον τοῖς πονηροῖς καὶ ἀκαθάρτοις πνεύμασί τε καὶ δαίμοσιν, ἀποςῆναι τῆς ψυχῆς καὶ τοῦ σώματος τοῦ δούλου σου (τοῦδε), καὶ μὴ ἐμμένειν, μηδὲ ἐγκρύπτεσθαι ἐν αὐτῷ. Φυγαδευθείησαν, τῷ Ὀνόματί σου τῷ ἁγίῳ, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος, ἀπὸ τοῦ πλάσματος τῶν χειρῶν σου· ἵνα, καθαρισθεὶς ἀπὸ πάσης ἐπηρείας διαβολικῆς, ὁσίως, καὶ δικαίως, καὶ εὐσεβῶς ζήσῃ, ἀξιούμενος τῶν ἀχράντων Μυστηρίων τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν· μεθ' οὗ εὐλογητὸς εἶ, καὶ δεδοξασμένος, σὺν τῷ πανα-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

γίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα, τοῦ αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ πᾶσιν ἀκαθάρτοις πνεύμασιν ἐπιτιμήσας, καὶ δυνάμει ῥήματος ἐκδιώξας τὸν λεγεῶνα, ἐπιφάνηθι καὶ νῦν, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, ἐπὶ τὸ πλάσμα, ὃ κατ' εἰκόνα σου ἐποίησας, καὶ ἐξελοῦ αὐτὸ καταδυναστευόμενον ὑπὸ τοῦ ἀντικειμένου· ἵνα, ἐλεηθὲν καὶ καθαρισθὲν, ἐνταγῇ τῇ ἁγίᾳ σου ποίμνῃ, καὶ φυλαχθῇ ναὸς ἔμψυχος τοῦ Ἁγίου Πνεύματος, καὶ τῶν θείων καὶ ἀχράντων Ἁγιασμάτων· χάριτι, καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα, τοῦ αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν.

Ἐπικαλούμεθά σε, Δέσποτα Θεὲ Παντοκράτορ, ὕψιστε, ἀπείραστε, εἰρηνικὲ Βασιλεῦ, ἐπικαλούμεθά σε τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν· ἐκ σοῦ γὰρ ἀνεφύη καὶ τὸ Α καὶ τὸ Ω, ἡ Ἀρχὴ καὶ τὸ Τέλος· ὁ δοὺς τοῖς ἀνθρώποις ὑπακούειν τετράποδα καὶ ἄλογα ζῶα, ὅτι σὺ ὑπέταξας αὐτὰ, Κύριε· ἔκτεινον τὴν χεῖρά σου τὴν κραταιὰν, καὶ τὸν βραχίονά σου τὸν ὑψηλὸν καὶ τὸν ἅγιον, καὶ ἐπισκοπῶν ἐπισκόπησον τὸ πλάσμα σου τοῦτο· καὶ κατάπεμψον αὐτῷ Ἄγγελον εἰρηνικὸν, Ἄγγελον κραταιὸν, ψυχῆς καὶ σώματος φύλακα, ὃς ἐπιτιμήσει, καὶ ἀπελάσει ἀπ' αὐτοῦ πᾶν πονηρὸν καὶ ἀκάθαρτον δαιμόνιον· ὅτι σὺ Κύριος μόνος, ὕψιστος, παντοκράτωρ, εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα, τοῦ αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν.

Τὴν θείαν τε, καὶ ἁγίαν, καὶ μεγάλην, καὶ φρικτὴν, καὶ ἄστεκτον ὀνομασίαν καὶ ἐπίκλησιν ποιοῦμεν, πρὸς τὴν σὴν ἐξέλασιν, ἀποστάτα· ὡσαύτως καὶ ἐπιτίμησιν, εἰς τὴν σὴν ἐξολόθρευσιν, Διάβολε. Ὁ Θεὸς, ὁ ἅγιος, ὁ ἄναρχος, ὁ φοβερὸς, ὁ ἀόρατος τῇ οὐσίᾳ, ὁ ἀνείκαστος τῇ δυνάμει, καὶ ἀκατάληπτος τῇ Θεότητι, ὁ Βασιλεὺς τῆς δόξης, καὶ παντοκράτωρ Δεσπότης, ἐπιτιμήσει σοι, Διάβολε· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα εὐπραγῶς λόγῳ συστησάμενος, ὁ πε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ριπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Κύριος τῶν Δυνάμεων ὄνομα αὐτῷ. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ ὑπὸ τῶν ἀναριθμήτων οὐρανίων Ταγμάτων πυρίνων φόβῳ λειτουργούμενος, καὶ ὑμνούμενος, καὶ ὑπὸ πλήθους χορῶν Ἀγγελικῶν καὶ Ἀρχαγγελικῶν τρόμῳ προσκυνούμενος καὶ δοξαζόμενος. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ τιμώμενος ὑπὸ τῶν κύκλωθεν παρεστώτων Δυνάμεων, καὶ φρικωδεστάτων Ἑξαπτερύγων, καὶ πολυομμάτων Χερουβὶμ καὶ Σεραφίμ, τῶν τὰ πρόσωπα ἑαυτῶν ταῖς δυσὶ πτέρυξι σκεπόντων, διὰ τὴν ἀθεώρητον αὐτοῦ καὶ ἀνεξιχνίαστον Θεότητα, καὶ ταῖς δυσὶ πτέρυξι τοὺς ἑαυτῶν πόδας καλυπτόντων, εἰς τὸ μὴ κατακαυθῆναι ἐκ τῆς ἀῤῥήτου δόξης, καὶ ἀκατανοήτου μεγαλειότητος αὐτοῦ, καὶ ταῖς δυσὶ πτέρυξι πετομένων, καὶ τὸν οὐρανὸν πληρούντων ἐκ τῆς βοῆς αὐτῶν· Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ ἐκ τοῦ κόλπου τοῦ Πατρικοῦ καταβὰς ἐξ οὐρανοῦ Θεὸς Λόγος, καὶ διὰ τῆς ἐκ Παρθένου ἁγίας, προσκυνητῆς, ἀφράστου, καὶ ἀχράντου σαρκώσεως, ἀνεκλαλήτως φανεὶς ἐν τῷ κόσμῳ, τοῦ σῶσαι αὐτόν, καὶ τῇ αὐθεντικῇ αὐτοῦ δυνάμει ῥίψας σε οὐρανόθεν, καὶ ἀπόβλητον παντὶ δείξας. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ εἰπὼν τῇ θαλάσσῃ· Σιώπα, πεφίμωσο· καὶ τῷ κελεύσματι, εὐθέως ἐκόπασεν. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ τῷ ἀχράντῳ πτυέλῳ πηλὸν ποιήσας, καὶ τὸ ἐλλεῖπον μέλος τῷ ἐκ γενετῆς τυφλῷ διαπλάσας, καὶ τὸ φῶς χαρισάμενος. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ τὴν θυγατέρα τοῦ Ἀρχισυναγώγου λόγῳ ζωοποιήσας, καὶ τῆς Χήρας τὸν υἱὸν ἐκ στόματος τοῦ θανάτου ἀφαρπάσας, καὶ τῇ ἰδίᾳ μητρὶ ὁλόκληρον καὶ ὑγιῆ αὐτὸν χαρισάμενος. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ τὸν Λάζαρον ἐκ νεκρῶν τετραήμερον, ἄσηπον, ὡς μὴ θανέντα, καὶ ἄσπιλον εἰς ἔκπληξιν τῶν πολλῶν ἀναστήσας. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ διὰ τοῦ ῥαπίσματος τὴν κατάραν καταργήσας, καὶ διὰ τῆς λόγχης τῆς ἀχράντου πλευρᾶς αὐτοῦ τὴν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τὸν Παράδεισον φυλάττουσαν φλογίνην ῥομφαίαν ἀναςείλας. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ διὰ τοῦ ἐμπτύσματος τοῦ τιμίου αὐτοῦ χαρακτῆρος πᾶν δάκρυον ἐκ παντὸς προσώπου ἐκμάξας. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ πήξας τὸν Σταυρὸν εἰς ςήριγμα ἕν, καὶ σωτηρίαν κόσμου, εἰς πτῶσιν δὲ σὴν καὶ πάντων τῶν ὑπὸ σὲ Ἀγγέλων. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ δοὺς φωνὴν ἐν τῷ Σταυρῷ αὐτοῦ, καὶ τὸ καταπέτασμα τοῦ Ναοῦ ἐσχίσθη, καὶ αἱ πέτραι διεῤῥάγησαν, καὶ τὰ μνημεῖα ἠνεῴχθησαν, καὶ οἱ ἀπ' αἰῶνος θανέντες ἀνέστησαν. Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ θανάτῳ θάνατον θανατώσας, καὶ ζωὴν τῇ ἐγέρσει αὐτοῦ τοῖς ἀνθρώποις χαρισάμενος. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ καταβὰς εἰς τὸν ᾅδην, καὶ τὰ μνημεῖα αὐτοῦ ἐκτινάξας, καὶ πάντας τοὺς ἐν αὐτῷ κατεχομένους δεσμίους ἐλευθερώσας, καὶ πρὸς ἑαυτὸν ἀνακαλεσάμενος· ὃν οἱ πυλωροὶ ἰδόντες ἔφριξαν, καὶ ἀγωνίᾳ τοῦ ᾅδου κρυβέντες ἐξέλιπον. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ ἐκ νεκρῶν ἀναστὰς Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ πᾶσι τὴν Ἀνάστασιν αὐτοῦ χαρισάμενος. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ εἰς οὐρανοὺς ἐν δόξῃ ἀναληφθεὶς πρὸς τὸν Πατέρα αὐτοῦ, καὶ ἐκ δεξιῶν τῆς μεγαλωσύνης ἐπὶ θρόνου δόξης καθήμενος. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ πάλιν ἐρχόμενος μετὰ δόξης ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ τῶν ἁγίων Ἀγγέλων αὐτοῦ, κρῖναι ζῶντας καὶ νεκρούς. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὁ τὸ πῦρ τὸ ἄσβεστον, καὶ σκώληκα τὸν ἀκοίμητον, καὶ σκότος τὸ ἐξώτερον ἑτοιμάσας σοι εἰς αἰώνιον κόλασιν. Ἐπιτιμήσαι σοι Κύριος, Διάβολε, ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπȣ τῆς δυνάμεως αὐτȣ͂, ὅτι ἄςεκτος ἡ ὀργὴ τῆς ἐπὶ σὲ ἀπειλῆς αὐτȣ͂. Αὐτὸς ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, διὰ τοῦ φοβεροῦ αὐτοῦ ὀνόματος. Φρίξον, τρόμαξον, φοβήθητι, ἀναχώρησον, ἐξολοθρεύθητι, φυγαδεύθητι, ὁ πεσὼν οὐρανόθεν, καὶ σὺν σοὶ πάντα τὰ πονηρὰ πνεύματα· πᾶν πνεῦμα πονηρὸν, πνεῦμα ἀσελγείας, πνεῦμα πονηρίας, πνεῦμα νυκτερινὸν, καὶ ἡμερινὸν, μεσημβρινόν τε καὶ ἑσπερινόν· πνεῦμα μεσονυκτικὸν, πνεῦμα φανταστικὸν, πνεῦμα συναντικὸν, εἴτε χερσαῖον, εἴτε ἔνυδρον, εἴτε ἐν ἄλσοις, εἴτε ἐν καλάμοις, εἴτε ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

φάραγξιν, εἴτε ἐν διόδοις καὶ τριόδοις, ἐν λίμναις καὶ ποταμοῖς, ἐν οἴκοις, ἐν αὐλαῖς, καὶ ἐν βαλανείοις παρατρέχον, καὶ βλάπτον καὶ ἀλλοιοῦν τὸν νοῦν τοῦ ἀνθρώπου· συντόμως ἀναχωρήσατε ἀπὸ τοῦ πλάσματος τοῦ δημιουργοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ἀπαλλάχθητε ἀπὸ τοῦ δούλου τοῦ Θεοῦ (τοῦδε), ἀπὸ τοῦ νοὸς, ἀπὸ τῆς ψυχῆς, ἀπὸ τῆς καρδίας, ἀπὸ τῶν νεφρῶν, ἀπὸ τῶν αἰσθήσεων, ἀπὸ πάντων τῶν μελῶν, πρὸς τὸ εἶναι αὐτὸν ὑγιῆ, καὶ ὁλόκληρον, καὶ ἐλεύθερον, ἐπιγινώσκοντα τὸν ἴδιον Δεσπότην καὶ δημιουργὸν τῶν ἁπάντων Θεὸν, τὸν ἐπισυνάγοντα τοὺς πεπλανημένους, καὶ διδόντα αὐτοῖς σφραγίδα σωτηρίας, διὰ τῆς ἀναγεννήσεως καὶ ἀνακαινίσεως τοῦ θείου Βαπτίσματος, εἰς τὸ καταξιωθῆναι αὐτὸν τῶν ἀχράντων, καὶ ἐπουρανίων φρικτῶν αὐτοῦ Μυστηρίων, καὶ ἑνωθῆναι τῇ αὐτοῦ ποίμνῃ τῇ ἀληθινῇ, εἰς τόπον χλόης κατασκηνοῦντα, καὶ ἐπὶ ὕδατος ἀναπαύσεως ἐκτρεφόμενον, καὶ ὑπὸ βακτηρίας τοῦ Σταυροῦ ποιμαντικῶς καὶ ἀσφαλῶς ὁδηγούμενον, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, καὶ μεγαλοπρέπεια, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΜΥΡΟΥ.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ, ἀντὶ τȣ̃ Χερȣβικοῦ, λέγομεν· **Τοῦ Δείπνου σου τȣ̃ μυςικοῦ**, ἐρχομένων τῶν ἁγίων Μυςηρίων ἀπὸ τῆς Προθέσεως ἐπὶ τὴν μέσην Τράπεζαν, βαςάζοντος τοῦ Πρωτοϊερέως τὸ Μύρον μετὰ τȣ̃ Ἀλαβάςρȣ, κεκαλυμμένον μετὰ τοῦ Δισκοκαλύμματος, ἔμπροσθεν τῶν ἁγίων Μυςηρίων, καὶ ὀψικευομένȣ ὑπὸ τῶν Διακόνων ἔνθεν κἀκεῖθεν, βαςαζόντων Ῥιπίδια ζυγὰς ζ'., προηγουμένου καὶ τοῦ Δομεςίκου, καὶ τῶν Διακόνων, μετὰ λαμπάδων. Καὶ ὅτε ἔλθωσιν ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, τὰ μὲν δύω Ῥιπίδια εἰσέρχονται, κατὰ τὸ σύνηθες· τὰ δὲ ἄλλα, ζευκτὰ ἵςανται ἕως τῆς ἁγίας Τραπέζης ἀπὸ τῶν ἁγίων Θυρῶν ἔνθεν κἀκεῖθεν. Ὁ δὲ Πρωτοϊερεὺς, κρατῶν τὸ Μύρον, ἐκδέχεται τὸν Πατριάρχην πρὸ τῶν ἁγίων Θυρῶν μετὰ τȣ̃ Μύρȣ. Καὶ ἐρχόμενος ὁ Πατριάρχης, λαμβάνει ἐξ αὐτȣ̃ τὸ Ἀλάβαςρον, καὶ τίθησιν εἰς τὸ ἀριςερὸν μέρος τῆς ἁγίας Τραπέζης, κάτωθεν τοῦ δευτέρου Ποτηρίου· καὶ οὕτως εἰσέρχονται κατὰ τὸ λοιπὸν τὰ Ἅγια. Εἶθ' ȣ̃τως ὁ ἐν τῷ Ἄμβωνι Διάκονος λέγει· **Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.** Μετὰ δὲ τὸ εἰπεῖν τὸν Ἀρχιερέα· **Καὶ δὸς ἡμῖν ἐν ἑνὶ ςόματι· Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ,** ὁ μὲν ἐν τῷ Ἄμβωνι Διάκονος ἵςαται σιγῶν· ὁ δὲ Πατριάρχης ἀνέρχεται ἐν τῇ τῆς ἁγίας Τραπέζης κρηπῖδι, καὶ ἀποσκεπάζει τὸ ἅγιον Μύρον, καὶ σφραγίζει αὐτὸ γ'., ἐπιλέγων μυστικῶς τὴν ἑπομένην

Εὐχήν.

Κύριε τοῦ ἐλέους, καὶ Πατὴρ τῶν φώτων, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον δίδοται, παράσχου ἡμῖν τοῖς ἀναξίοις χάριν, εἰς τὴν διακονίαν τοῦ μεγάλου τούτου καὶ ζωοποιοῦ Μυστηρίου, ὡς ἔδωκας Μωϋσεῖ τῷ πιστῷ σου θεράποντι, καὶ τῷ δούλῳ σου Σαμουὴλ, καὶ τοῖς ἁγίοις σου Ἀποστόλοις, καὶ κατάπεμψον τὸ πανάγιόν σου Πνεῦμα ἐπὶ τοῦτο τὸ Μῦρον. Ποίησον αὐτὸ χρίσμα βασιλικὸν, χρίσμα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ Σάμου

πνευματικὸν, ζωῆς φυλακτήριον, ἁγιαστικὸν ψυχῶν καὶ σωμάτων ἔλαιον ἀγαλλιάσεως, τὸ προσδεῦσαν μὲν ἐν Νόμῳ, ἐκλάμψαν δὲ ἐν καινῇ Διαθήκῃ· ἐν ᾧ ἔχρισαν Ἱερεῖς τε καὶ Ἀρχιερεῖς, Προφήτας, καὶ πάντας τοὺς διὰ λουτροῦ παλιγγενεσίας ὑπ' αὐτῶν, καὶ τῶν καθεξῆς Ἐπισκόπων καὶ Πρεσβυτέρων, ἀναγεννηθέντας ἕως τῆς σήμερον. Ναὶ, Δέσποτα Θεὲ Παντοκράτορ, ἀνάδειξον αὐτὸ, τῇ ἐπιφοιτήσει τοῦ ἁγίου καὶ προσκυνητοῦ σου Πνεύματος, ἔνδυμα ἀφθαρσίας καὶ σφραγίδα τελειοποιὸν, ἐντυποῦσαν τοῖς τὸ θεῖόν σου λουτρὸν δεχομένοις τὴν θείαν σου ὀνομασίαν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, εἰς τὸ εἶναι αὐτοὺς ἐνώπιόν σου γνωστοὺς, οἰκείους καὶ πολίτας, δούλους σοὺς καὶ παιδίσκας, ἡγιασμένους ψυχῇ καὶ σώματι, ἀπηλλαγμένους πάσης κακίας, καὶ πάσης ἁμαρτίας λελυτρωμένους, τῇ περιβολῇ τοῦ ἐνδύματος τῆς ἀχράντου σου δόξης ἐπιγινώσκεσθαι, διὰ τῆς ἁγίας ταύτης σημειώσεως, ὑπὸ τῶν ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων, καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως, καὶ φοβεροὺς πᾶσιν ὑπάρχειν τοῖς πονηροῖς καὶ ἀκαθάρτοις δαίμοσιν· ἵνα ὦσι λαὸς περιούσιος, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, ἐσφραγισμένοι διὰ τοῦ ἀχράντου σου Μυστηρίου τούτου, καὶ τὸν Χριστόν σου ἐν ταῖς καρδίαις αὐτῶν φέρωσιν, εἰς κατοικητήριον σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς ἐν Ἁγίῳ Πνεύματι. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν Ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Καὶ ὁ Πατριάρχης εὔχεται·

Σοὶ τῷ Θεῷ τῶν ὅλων καὶ Βασιλεῖ τὸν αὐχένα τῆς καρδίας εὐχαριστοῦντες ἐκλίναμεν, ἀνθ' ὧν, ἀναξίους ὄντας, ἡμᾶς διακόνους γενέσθαι τῶν θείων σου τούτων κατηξίωσας Μυστηρίων, καὶ τὸν ἔλεον κηρύττομεν, ὃν ἐφ' ἡμᾶς πλουσίως ἐξέχεας, δέξασθαι τὸν ἁγιασμὸν παρὰ σοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς ἱκετεύομεν· διότι Μύρον ἐκκενωθὲν, ὄνομα τῷ μονογενεῖ σου Υἱῷ, Χριστῷ τῷ Θεῷ ἡμῶν, ἐν ᾧ σύμπας ὁ κόσμος εὐωδιάζε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σύρου

ται, ὅσος ὁρατὸς, καὶ ὅσος ἀόρατος. Σὺ γὰρ προσκυνητὸς ὑπάρχεις καὶ δεδοξασμένος, καὶ σοὶ τὴν δόξαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα σφραγίσας, καλύπτει αὐτό. Καὶ τότε, προτραπεὶς ὁ ἐν τῷ Ἄμβωνι Διάκονος, λέγει· **Πάντων τῶν Ἁγίων μνημονεύσαντες.** Τὰ δὲ Ῥιπίδια ἵσταται μέχρι τοῦ, **Πληρωθήτω.** Ὅτε δὲ μέλλουσιν ἐξέρχεσθαι τὰ Ἅγια, ἱσταμένου τοῦ Πρωτοϊερέως ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, λαμβάνει ὁ Πατριάρχης τὸ Μύρον, καὶ ἐπάγει, καὶ δίδωσιν αὐτὸ τῷ Πρωτοπαπᾷ. Καὶ ἔκτοτε ἀποκινοῦσι καὶ τὰ Ῥιπίδια, καὶ αἴρονται καὶ οἱ Διάκονοι, καὶ ἀπέρχονται, καθὼς ἦλθον, μετὰ τῶν Ῥιπιδίων. Καὶ ἐμβάλλεται παρὰ τοῦ Πρωτοπαπᾷ τὸ ἐν τῷ Ἀλαβάστρῳ Μύρον εἰς τὸ ἀγγεῖον, ἔνθα ἔνι τὸ Νάρδιον.

Ἡ δὲ ὕλη τοῦ Μύρου ἔχει οὕτως·

Εἰς ματλαῖα Ἐλαίου ιβ'. καὶ Οἴνου, ὅσα μέτρα ἱκανά εἰσι ἐπὶ τὸ βράζεσθαι, μετὰ τοῦ Ἐλαίου, ὥστε εἶναι ὑποκάτω τοῦ Ἐλαίου τὸν Οἶνον πάντοτε, καὶ μὴ ἐκκαίεσθαι τὸ Ἔλαιον. Κόρου, λίτρας β'. Ξυλοβαλσάμου, λίτρας γ'. Ἐχινάνθης, λύτρας β'. Πεπέρεως, λίτρας ε'. Σμύρνης, λίτρας δ'. Στύρακος, λίτραν α'. Πεπέρεως μακροῦ, λίτρας β'. Ξυλοκασσίας, λίτρας γ'. Φύλλου Ἰνδικοῦ, λίτρας γ'. Καρποβαλσάμου, λίτρας, β'. Κυπέρεως, λίτρας ε'. Μητζόκοκκα, λίτρας γ'. Κελτικοῦ, λίτραν α'. Κασσίας μελαίνης, λίτρας β'. Καρυοφύλλων, λίτρας, γ'. Κάγχρεων, λίτρας β'. Κινναμώμου, λίτρας ϛ'. Ἀσσάρου, λίτρας β'. Μάκαρος, λίτραν α'. Τερεβύνθης, λίτρας ϛ'. Πετίτου, λίτρας ϛ'. Μυροβαλάνου, λίτρας β'. Σαμψύχου, λίτραν α'. Λαδάνου, λίτρας ε'. Λιβάνου, λίτρας ε'. Στάχου, λίτραν α'. Τζιντιβέρεως, λίτρας δ'. Ζουτωμπᾶ, λίτρας β'. Βοτάνης ξενονικῆς ταύτης ἀκέρου, λίτρας β'. Ἑλενίου, λίτρας β'. Ἀριστολοχίας, λίτραν α'. Ἴρεως, λίτραν α'. Βόχου, λίτραν α'. Ξυλαλόης, λίτραν α'. Βαλσαμελαίου, ὅσον δίδωσιν ἡ εὐπορία· ἐν ᾧ καὶ Μόσχου ἐξάγια. β'.

Καὶ ταῦτα περὶ τοῦ ἡμετέρου Μύρου.

Τὸ δὲ πιστικὸν Μύρον, ὅπερ ὁ Μωϋσῆς πρῶτος παρὰ Θεοῦ κελευσθεὶς, ἐποίησε διὰ τὴν τῶν Ἀρχιερέων χρίσιν καὶ τῶν Ἱερέων, περὶ οὗ οἶμαι καὶ Δαυῒδ λέγει· Ὡς Μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών· ὅπερ ἦν συντεθειμένον ἐξ εἰδῶν τεσσάρων, Σμύρνης, Ἄνθους Κινναμώμου, εὐώδους Ἴρεως, Καλάμου εὐώδους, καὶ Ἐλαίου. Πιστικὸν δὲ εἴρηται, ἢ Μυστικὸν, ὅτι ἐπὶ τοῦτο ἀνθρώπους ἐπιστήμονας σοφοὺς ἔστησεν ἐργάζεσθαι αὐτὸ καὶ μόνον ὁ Μωϋσῆς, μυστικῶς τοῦτο διαταξάμενος. Τὸ δὲ Ἀλάβαστρον, ἀγγεῖον ὑέλιόν ἐστιν, ἄνευ λαβῆς πεποιημένον τινός· ὃ δὴ Βυκίον οὕτωσὶ λέγεται.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΧΕΙΡΟΤΟΝΙΑ ΔΙΑΚΟΝΟΥ.

Μετὰ τὸ εἰπεῖν τὸν Ἀρχιερέα τὴν Ἐκφώνησιν, τὸ, **Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν,** ἐξελθόντες δύω Διάκονοι ἐκ τοῦ ἁγίου Βήματος, λαμβάνουσι τὸν μέλλοντα χειροτονεῖσθαι Διάκονον, ἔσωτα ἐν τῇ Σολέᾳ, καὶ εἰσάγουσιν αὐτὸν εἰς τὸ ἅγιον Βῆμα, κυκλοῦντες τὴν ἁγίαν Τράπεζαν τρὶς, ψάλλοντες καὶ τὸ, **Ἅγιοι Μάρτυρες, οἱ καλῶς ἀθλήσαντες.** Εἶτα, προσερχόμενος τῷ Ἀρχιερεῖ, σφραγίζεται γ'. τὴν κεφαλήν. Καὶ μετὰ τοῦτο κελεύει ὁ Ἀρχιερεὺς ἀποζώσασθαι τοῦτον, καὶ ἀρθῆναι τὸ μανδύλιον. Εἶτα ἐρείδει ὁ χειροτονούμενος τὸ μέτωπον αὐτοῦ τῇ ἁγίᾳ Τραπέζῃ, καὶ κλίνει τὸ γόνυ τὸ δεξιόν. Καὶ τοῦ Ἀρχιδιακόνου ἐκφωνήσαντος τὸ, **Πρόσχωμεν,** ὁ Ἀρχιερεὺς, ἔχων ἐπικειμένην τὴν δεξιὰν χεῖρα τῇ κεφαλῇ τοῦ χειροτονυμένου, ἐκφωνεῖ·

**Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρίζεται** (τὸν δεῖνα) **τὸν εὐλαβέστατον Ὑποδιάκονον, εἰς Διάκονον. Εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ, ἵνα ἔλθῃ ἐπ' αὐτὸν ἡ χάρις τοῦ παναγίου Πνεύματος.**

Καὶ ψάλλεται εὐθὺς τὸ, **Κύριε ἐλέησον,** ἐκ γ'. παρὰ τῶν ἐν τῷ Βήματι, καὶ παρὰ τῶν ἐκτος. Καὶ ὁ Ἀρχιερεὺς σφραγίζει γ'. τὴν αὐτοῦ κεφαλήν· καὶ τοῦ Διακόνου εἰπόντος, **Τοῦ Κυρίου δεηθῶμεν,** ὁ Ἀρχιερεὺς ἔχων τὴν δεξιὰν χεῖρα ἐπικειμένην, εὔχεται ουτω μυστικῶς·

**Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ προγνώσει τῇ σῇ τὴν τοῦ Ἁγίου σου Πνεύματος χορηγίαν καταπέμπων ἐπὶ τοὺς ὡρισμένους ὑπὸ τῆς σῆς ἀνεξιχνιάστου δυνάμεως, λειτουργοὺς γενέσθαι, καὶ ἐξυπηρετεῖσθαι τοῖς ἀχράντοις σου Μυστηρίοις· αὐτὸς, Δέσποτα, καὶ τοῦτον, ὃν εὐδόκησας προχειρισθῆναι παρ' ἐμοῦ εἰς τὴν τῆς Διακονίας λειτουργίαν, ἐν πάσῃ σεμνότητι διατήρησον, ἔχοντα τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. Δώρησαι δὲ αὐτῷ τὴν χάριν, ἣν ἐδωρήσω Στεφάνῳ τῷ**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Πρωτομάρτυρί σου, ὃν καὶ ἐκάλεσας πρῶτον εἰς τὸ ἔργον τῆς διακονίας σου· καὶ καταξίωσον αὐτὸν, κατὰ τὸ σοὶ εὐάρεστον οἰκονομῆσαι τὸν παρὰ τῆς σῆς ἀγαθότητος δεδωρημένον αὐτῷ βαθμόν· οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται· καὶ τέλειον ἀνάδειξον δοῦλόν σου. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὸ, Ἀμὴν, λέγει ὁ Ἀρχιδιάκονος λεπτῇ φωνῇ, ὅσον ἀκούειν τοὺς συμπαρόντας Διακόνους καὶ ἀποκρίνεσθαι, τὰ Διακονικὰ ταῦτα·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), Ἱερωσύνης, ἀντιλήψεως, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτοῦ, καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος), τοῦ νυνὶ προχειριζομένου Διακόνου, καὶ τῆς σωτηρίας αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν ἄσπιλον καὶ ἀμώμητον αὐτῷ τὴν Διακονίαν χαρίσηται, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς Πόλεως ταύτης, πάσης πόλεως.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας.

Καὶ τούτων λεγομένων, ὁ Ἀρχιερεὺς ἔχων τὴν χεῖρα ἐπικειμένην τῇ κεφαλῇ τοῦ χειροτονουμένου, εὔχεται οὕτω μυστικῶς·

Ὁ Θεὸς ἡ Σωτὴρ ἡμῶν, ὁ τῇ ἀφθάρτῳ σου φωνῇ τοῖς Ἀποστόλοις σου θεσπίσας τὸν τῆς Διακονίας νόμον, καὶ τὸν Πρωτομάρτυρα Στέφανον τοιοῦτον ἀναδείξας, καὶ πρῶτον αὐτὸν κηρύξας τὸ τοῦ Διακόνου πληροῦντα ἔργον, καθὼς γέγραπται ἐν τῷ ἁγίῳ Εὐαγγελίῳ σου· Ὅς τις θέλει ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν διάκονος· σὺ, Δέσποτα τῶν ἁπάντων, καὶ τὸν δοῦλόν σου τοῦτον, ὃν κατηξίωσας τὴν τοῦ Διακόνου ὑπεισελθεῖν λειτουργίαν πλήρωσον πάσης πίστεως, καὶ ἀγάπης, καὶ δυνάμεως, καὶ ἁγιασμοῦ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τῇ ἐπιφοιτήσει τοῦ ἁγίου καὶ ζωοποιοῦ σου Πνεύματος· οὐ γὰρ ἐν τῇ ἐπιθέσει τῶν ἐμῶν χειρῶν, ἀλλ' ἐν τῇ ἐπισκοπῇ τῶν πλουσίων σου οἰκτιρμῶν δίδοται χάρις τοῖς ἀξίοις σου· ἵνα καὶ οὗτος, πάσης ἁμαρτίας ἐκτὸς γενόμενος, ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεώς σου ἀμέμπτως σοι παραστῇ, καὶ τὸν μισθὸν τὸν ἀδιάψευστον τῆς σῆς ἐπαγγελίας κομίσηται.

Ἐκφώνως·

**Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Καὶ μετὰ τὸ, **Ἀμὴν**, περιτίθησι τὸ Ὠράριον τῷ χειροτονηθέντι, κατὰ τὸν ἀριστερὸν ὦμον, λέγων· **Ἄξιος**· καὶ ψάλλεται συνήθως τρίτον τὸ, **Ἄξιος**, παρὰ τῶν τοῦ Βήματος, καὶ τρίτον παρὰ τῶν Ψαλτῶν. Εἶτα ἐπιδίδωσιν αὐτῷ ὁ Ἀρχιερεὺς ἅγιον Ῥιπίδιον, λέγων ὁμοίως· **Ἄξιος**· καὶ ἀσπάζονται αὐτὸν πάντες οἱ Διάκονοι.

Ὁ δὲ, τὸ Ῥιπίδιον λαβὼν, ἵσταται ἐκ πλαγίου τῆς ἁγίας Τραπέζης, ἀπὸ τοῦ δεξιοῦ μέρους, καὶ ῥιπίζει ἐπάνω τῶν Ἁγίων. Καὶ ὁ ἕτερος Διάκονος ἵσταται ἔξω τοῦ Βήματος ἐν τῷ συνήθει τόπῳ, καὶ λέγει·

**Πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.** (καὶ τὰ λοιπά.)

Εἰς δὲ τὸν τῆς Μεταλήψεως καιρὸν, πρῶτος τῶν ἄλλων Διακόνων ὁ χειροτονηθεὶς μετέχει τῶν Θείων Μυστηρίων, καὶ λέγει τὰ Διακονικὰ εἰς τὸν τόπον αὐτῶν, ἤγουν, τὸ, **Ὀρθοὶ μεταλαβόντες.**

Ταῦτα δὲ γίνονται, ὅταν γίνηται Λειτουργία τελεία. Ἐπεὶ δὲ καὶ ἐν ταῖς Προηγιασμέναις γίνεται, ἰστέον, ὅτι μετὰ τὸ ἀποτεθῆναι τὰ Προηγιασμένα ἐν τῇ ἁγίᾳ Τραπέζῃ, πρὶν εἰπεῖν τὸν Διάκονον· **Πληρώσωμεν τὴν δέησιν**, προσάγεται ὁ μέλλων χειροτονεῖσθαι, καὶ γίνεται ἡ τάξις τῆς Χειροτονίας, ὡς ἔφημεν.



## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΧΕΙΡΟΤΟΝΙᾼ ΠΡΕΣΒΥΤΕΡΟΥ.

Μετὰ τὸ πληρωθῆναι τὸν Χερουβικὸν ὕμνον, ἵσταται ἐν τῇ Σολέᾳ ὁ μέλλων χειροτονεῖσθαι Πρεσβύτερος· καὶ ἐξερχόμενοι δύω Διάκονοι, λαμβάνουσιν αὐτὸν ἐξ ἑκατέρου μέρους, καὶ φέρουσιν αὐτὸν ἄχρι τῶν ἁγίων Θυρῶν. Ἐκεῖ δὲ ἀπολύουσιν αὐτὸν οἱ Διάκονοι, καὶ λαμβάνουσιν αὐτὸν δύω Πρεσβύτεροι, ὁ πρῶτος καὶ ὁ δεύτερος, καὶ κυκλοῦσι τρὶς τὴν ἁγίαν Τράπεζαν, ψάλλοντες καὶ τὸ, **Ἅγιοι Μάρτυρες, οἱ καλῶς ἀθλήσαντες.**

Ἰστέον δὲ ὅτι, ὅταν ψάλλωσι τὸ, **Ἅγιοι Μάρτυρες**, κάθηται ἔμπροσθεν τῆς ἁγίας Τραπέζης ὁ Ἀρχιερεὺς εἰς Θρονίον, καὶ ἐκεῖ, ὅπου κυκλοῦσι γύροθεν, ὅταν ἔρχωνται ἔμπροσθεν τοῦ Ἀρχιερέως, ποιοῦσι μετάνοιαν· καὶ ὁ χειροτονούμενος ἀσπάζεται τὸ γόνυ τοῦ Ἀρχιερέως ἐπάνω τοῦ Ὠμοφορίου.

Εἶτα, ἀνισαμένου τοῦ Ἀρχιερέως, προσέρχεται αὐτῷ ὁ χειροτονούμενος, καὶ σφραγίζεται τρίτον τὴν κεφαλὴν παρ' αὐτοῦ. Καὶ μετὰ ταῦτα, ἐρείσας τὸ μέτωπον τῇ ἁγίᾳ Τραπέζῃ, κλίνει καὶ ἄμφω τὰ γόνατα· καὶ ἐκφωνοῦντος τοῦ Διακόνου, **Πρόσχωμεν**, εὐθὺς ἐκφωνεῖ ὁ Ἀρχιερεὺς, ἔχων καὶ τὴν δεξιὰν χεῖρα ἐπικειμένην αὐτοῦ τῇ κεφαλῇ·

**Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρίζεται** (τὸν δεῖνα) **τὸν εὐλαβέστατον Διάκονον εἰς Πρεσβύτερον. Εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ, ἵνα ἔλθῃ ἐπ' αὐτὸν ἡ χάρις τοῦ παναγίου Πνεύματος.**

Καὶ λέγουσι τὸ, **Κύριε ἐλέησον**, γ'. οἱ ἐντὸς τοῦ Βήματος, ὁμοίως καὶ οἱ Ψάλται. Πάλιν οὖν σφραγίσας αὐτὸν τρὶς, καὶ τὴν χεῖρα ἔχων ἐπικειμένην, τοῦ Διακόνου εἰπόντος, **Τοῦ Κυρίου δεηθῶμεν**, λέγει ὁ Ἀρχιερεὺς τὴν Εὐχὴν ταύτην μυστικῶς·

**Ὁ Θεὸς, ὁ ἄναρχος καὶ ἀτελεύτητος, ὁ πάσης κτίσεως πρεσβύτατος ὑπάρχων, ὁ τῇ προσηγορίᾳ τοῦ Πρεσβυτέρου τιμήσας τοὺς ἐν τῷ βαθμῷ τούτῳ ἀξιωθέντας ἱερουργεῖν τὸν**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

λόγον τῆς σῆς ἀληθείας· αὐτὸς, Δέσποτα τῶν ἁπάντων, καὶ τοῦτον, ὃν εὐδόκησας προχειρισθῆναι παρ' ἐμοῦ, ἐν ἀμέμπτῳ πολιτείᾳ καὶ ἀκλινεῖ τῇ πίστει, εὐδόκησον ὑποδέξασθαι τὴν μεγάλην ταύτην χάριν τοῦ Ἁγίου σου Πνεύματος, καὶ τέλειον ἀνάδειξον δοῦλόν σου, ἐν πᾶσιν εὐαρεστοῦντά σοι, καὶ ἀξίως πολιτευόμενον τῆς δωρηθείσης αὐτῷ, ὑπὸ τῆς σῆς προγνωστικῆς δυνάμεως, μεγάλης ταύτης Ἱερατικῆς τιμῆς. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὴν Εὐχὴν ταύτην, λέγει ὁ Πρωτοπαπᾶς λεπτῇ φωνῇ, ὅσον ἀκούειν τοὺς συμπαρόντας καὶ ἀποκρίνεσθαι, τὰ Διακονικὰ ταῦτα·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), Ἱερωσύνης, ἀντιλήψεως, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτοῦ, καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τȣ̃ δούλου τȣ̃ Θεοῦ (τȣ̃ δνῖνος), τοῦ νυνὶ προχειριζομένȣ Πρεσβυτέρου, καὶ τῆς σωτηρίας αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν ἄσπιλον καὶ ἀμώμητον αὐτῷ τὴν Ἱερωσύνην χαρίσηται, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς Πόλεως ταύτης, πάσης πόλεως.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου.

Ὁ δὲ Ἀρχιερεὺς, ἔχων ἔτι τὴν χεῖρα ἐπικειμένην, εὔχεται οὕτω καὶ αὖθις, μυστικῶς.

Ὁ Θεὸς, ὁ μέγας ἐν δυνάμει, καὶ ἀνεξιχνίαστος ἐν συνέσει, ὁ θαυμαστὸς ἐν βουλαῖς, ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων· αὐτὸς, Κύριε, καὶ τοῦτον, ὃν εὐδόκησας τὸν τοῦ Πρεσβυτέρου ὑπεισελθεῖν βαθμὸν, πλήρωσον τῆς τοῦ Ἁγίου σου Πνεύματος δωρεαῖς· ἵνα γένηται ἄξιος παρεστάναι ἀμέμπτως τῷ Θυσιαστηρίῳ σου, κηρύσσειν τὸ Εὐαγγέλιον τῆς Βασιλείας

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

σου, ἱερουργεῖν τὸν λόγον τῆς ἀληθείας σου, προσφέρειν σοι δῶρα καὶ θυσίας πνευματικὰς, ἀνακαινίζειν τὸν Λαόν σȣ, διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας· ὅπως καὶ αὐτὸς, ὑπαντήσας ἐν τῇ δευτέρα ἐπιδημίᾳ τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς σου Υἱοῦ, δέξηται τὸν μισθὸν τῆς ἀγαθῆς οἰκονομίας τοῦ οἰκείου Τάγματος, ἐν τῷ πλήθει τῆς ἀγαθότητός σου.

Ἐκφώνως·

Ὅτι ηὐλόγηται, καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ, **Ἀμὴν**, ἀνίστησιν αὐτὸν, καὶ φέρει τὸ ὄπισθεν τοῦ Ὡραρίου αὐτοῦ ἐπὶ τὸ ἔμπροσθεν τοῦ δεξιοῦ μέρους, λέγων· **Ἄξιος·** Εἶτα ἐνδύων αὐτὸν τὸ Φελόνιον, ἐκφωνεῖ καὶ αὖθις τὸ, **Ἄξιος·** καὶ ψάλλουσιν αὐτὸ οἵ τε τοῦ Βήματος καὶ οἱ Ψάλται.

Καὶ οὕτως ἀσπάζεται τὸν Ἀρχιερέα, καὶ τοὺς Πρεσβυτέρȣς· καὶ ἀπερχόμενος, ἵςαται μετὰ τῶν Πρεσβυτέρων, ἀναγινώσκων τὸ Κοντάκιον. Καὶ ὁ Διάκονος ἵςαται εἰς τὸν συνήθη τόπον, λέγων τὸ, **Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.** Ὅτε δὲ τελειωθῶσι τὰ Ἅγια, καὶ μέλλει εἰπεῖν, **Ὥςε γενέσθαι τοῖς μεταλαμβάνουσι**, προσέρχεται ὁ χειροτονηθεὶς, καὶ ἐπιδίδωσιν αὐτῷ ὁ Ἀρχιερεὺς τὸν ἅγιον Ἄρτον, λέγων οὕτω·

**Λάβε τὴν παρακαταθήκην ταύτην, καὶ φύλαξον αὐτὴν ἕως τῆς Παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτε παρ᾽ αὐτοῦ μέλλεις ἀπαιτεῖσθαι αὐτήν.**

Ὁ δὲ λαβὼν, ἀσπάζεται τὴν χεῖρα τοῦ Ἀρχιερέως, καὶ μεθίσταται, ἐν ᾧ πρότερον ἵστατο τόπῳ, τὰς μὲν χεῖρας θεὶς ἐπάνω τῆς ἁγίας Τραπέζης, καθ᾽ ἑαυτὸν δὲ λέγων τὸ, **Κύριε ἐλέησον**, καὶ τὸ **Ἐλέησόν με ὁ Θεός.**

Ὅτε δὲ μέλλει εἰπεῖν, **Τὰ Ἅγια τοῖς Ἁγίοις**, τότε ὁ χειροτονηθεὶς, ἀποδίδωσι τὸν ἅγιον Ἄρτον, καὶ παρὰ τοῦ Ἀρχιερέως μεταλαμβάνει πρῶτος τῶν ἄλλων, καὶ λέγει καὶ τὴν Ὀπισθάμβωνον Εὐχήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΧΕΙΡΟΤΟΝΙΑ ΕΠΙΣΚΟΠΟΥ.

Μετὰ τὴν τοῦ Τρισαγίου συμπλήρωσιν, ἄνεισιν ὁ Ἀρχιερεὺς εἰς τὴν κρηπῖδα τὴν πρὸ τῆς ἁγίας Τραπέζης, καὶ προσάγεται τούτῳ παρὰ τῶν συμπαρόντων τριῶν Ἀρχιερέων ὁ χειροτονεῖσθαι μέλλων, ἐκ τοῦ δεξιοῦ μέρους· ὁ δὲ Χαρτοφύλαξ ἐκ τοῦ ἀριστεροῦ, δίδωσιν αὐτῷ χάρτην, ἐν ᾧ γέγραπται, εἰ μὲν Πατριάρχης ἐστὶν ὁ χειροτονῶν, ταῦτα·

**Ψήφῳ καὶ δοκιμασίᾳ τῶν Ἱερωτάτων Μητροπολιτῶν, καὶ Θεοφιλεστάτων Ἀρχιεπισκόπων, καὶ Ἐπισκόπων.**

Εἰδὲ Μητροπολίτης ἐν τῇ Κωνσταντινουπόλει, ταῦτα·

**Ψήφῳ καὶ δοκιμασίᾳ τῶν Πανιερωτάτων Μητροπολιτῶν, καὶ Θεοφιλεστάτων Ἀρχιεπισκόπων τε, καὶ Ἐπισκόπων, ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρίζεται** (τὸν δεῖνα) **τὸν εὐλαβέστατον ὑποψήφιον, Μητροπολίτην** τῆς ἁγιωτάτης Μητροπόλεως (δεῖνος). **Εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ, ἵνα ἔλθῃ ἐπ᾽ αὐτὸν ἡ χάρις τοῦ παναγίου Πνεύματος.**

Καὶ οἱ τοῦ Βήματος καὶ οἱ ἐκτὸς, τὸ **Κύριε ἐλέησον,** γ΄.

Ἐπιδιδομένου τοίνυν τοῦ τοιούτου χάρτου τῷ Ἀρχιερεῖ, καὶ τοῦ Χαρτοφύλακος, ἢ τοῦ Ἀρχιδιακόνου, λέγοντος τὸ **Πρόσχωμεν,** ὁ Ἀρχιερεὺς ἀναγινώσκει τὰ γεγραμμένα, εἰς ἐπήκοον τῶν περιεστώτων· καὶ πάντων φωνούντων τὸ, **Κύριε ἐλέησον,** ὡς προδεδήλωται, ἀναπτύσσει τὸ Εὐαγγέλιον ὁ Ἀρχιερεὺς, καὶ ἐπιτίθησι τῇ κεφαλῇ καὶ τῷ τραχήλῳ τοῦ χειροτονουμένου, συνεφαπτομένων καὶ τῶν ἄλλων Ἀρχιερέων. Εἶτα, ποιῶν Σταυροὺς τρεῖς ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ἔχων ἐπικειμένην αὐτῷ τὴν χεῖρα τὴν δεξιὰν, εὔχεται οὕτω μυστικῶς·

**Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ νομοθετήσας ἡμῖν, διὰ τοῦ πανευφήμου σου Ἀποστόλου Παύλου, βαθμῶν καὶ ταγμάτων τάξιν, εἰς τὸ ἐξυπηρετεῖσθαι καὶ λειτουργεῖν τοῖς σεπτοῖς καὶ ἀχράντοις σου Μυστηρίοις ἐν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, πρῶτον Ἀποστόλους, δεύτερον Προφήτας, τρίτον Διδασκάλους· αὐτὸς, Δέσποτα τῶν ἁπάντων, καὶ τοῦτον τὸν**

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΣΑΜΟΥ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ψηφισθέντα καὶ ἀξιωθέντα ὑπεισελθεῖν τὸν Εὐαγγελικὸν ζυγὸν καὶ τὴν Ἀρχιερατικὴν ἀξίαν, διὰ τῆς χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ τῶν συμπαρόντων Λειτουργῶν καὶ Συνεπισκόπων, τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ χάριτι τοῦ Ἁγίου σου Πνεύματος ἐνίσχυσον, ὡς ἐνίσχυσας τοὺς ἁγίους σου Ἀποστόλους, καὶ Προφήτας· ὡς ἔχρισας τοὺς Βασιλεῖς· ὡς ἡγίασας τοὺς Ἀρχιερεῖς· καὶ ἀνεπίληπτον αὐτοῦ τὴν Ἀρχιερωσύνην ἀπόδειξον, καὶ, πάσῃ σεμνότητι κατακοσμῶν, ἅγιον ἀνάδειξον, εἰς τὸ ἄξιον γενέσθαι τοῦ αἰτεῖν αὐτὸν τὰ πρὸς σωτηρίαν τοῦ Λαοῦ, καὶ ἐπακούειν σε αὐτοῦ. Ὅτι ἡγίασταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία κ. τ. λ.

Καὶ μετὰ τὸ, Ἀμὴν, λέγει τῶν συγχειροτονούντων Ἀρχιερέων εἷς, λεπτῇ φωνῇ, ὅσον ἀκούειν τοὺς συνόντας Ἀρχιερεῖς καὶ ἀποκρίνεσθαι, τὰ Διακονικὰ ταῦτα·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) Ἱερωσύνης, ἀντιλήψεως, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτοῦ, καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ (τοῦδε), τοῦ νυνὶ προχειριζομένου Ἐπισκόπου, καὶ τῆς σωτηρίας αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν ἄσπιλον καὶ ἀμώμητον αὐτῷ τὴν Ἀρχιερωσύνην χαρίσηται, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πάντων τῶν χρῃζόντων τῆς παρὰ τοῦ Θεοῦ βοηθείας καὶ ἀντιλήψεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

Καὶ τούτων λεγομένων, ὁ Ἀρχιερεὺς, ἔχων ὡσαύτως τῇ τοῦ χειροτονουμένου κορυφῇ τὴν χεῖρα ἐπικειμένην, εὔχεται οὕτω μυστικῶς·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὸ μὴ δύνασθαι τὴν ἀνθρώπου φύσιν τὴν τῆς Θεότητος ὑπενεγκεῖν οὐσίαν, τῇ σῇ οἰ-


Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

κονομίᾳ ὁμοιοπαθεῖς ἡμῖν διδασκάλους καταστήσας, τὸν σὸν ἐπέχοντας θρόνον, εἰς τὸ ἀναφέρειν σοι θυσίαν καὶ προσφορὰν ὑπὲρ παντὸς τοῦ Λαοῦ σου· σὺ, Χριστὲ, καὶ τοῦτον τὸν ἀναδειχθέντα οἰκονόμον τῆς Ἀρχιερατικῆς χάριτος, ποίησον γενέσθαι μιμητὴν σοῦ τοῦ ἀληθινοῦ Ποιμένος, τιθέντα τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων σου, ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, φωστῆρα ἐν κόσμῳ· ἵνα, καταρτίσας τὰς ψυχὰς τὰς ἐμπιστευθείσας αὐτῷ ἐπὶ τῆς παρούσης ζωῆς, παραςῇ τῷ Βήματί σου ἀκαταισχύντως, καὶ τὸν μέγαν μισθὸν λήψηται, ὃν ἡτοίμασας τοῖς ἀθλήσασιν ὑπὲρ τοῦ κηρύγματος τοῦ Εὐαγγελίου σου.

Ἐκφώνως·

**Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Καὶ μετὰ τὸ, **Ἀμὴν**, αἴρει τὸ Εὐαγγέλιον, καὶ τίθησιν εἰς τὴν ἁγίαν Τράπεζαν. Καὶ οὕτως ἐπιτίθησι τῷ χειροτονηθέντι τὸ Ὠμοφόριον, λέγων· **Ἄξιος**. Ὁμοίως καὶ ὁ Κλῆρος τὸ αὐτό.

Εἶτα τὸν χειροτονηθέντα ἀσπάζεται ὁ χειροτονήσας, καὶ οἱ λοιποὶ Ἐπίσκοποι. Καὶ τῆς συνήθους εὐφημίας τελουμένης, ἀνέρχονται εἰς τὸ Σύνθρονον· καὶ καθεζόμενος πρῶτος ὁ χειροτονηθεὶς, εἰρηνεύει εἰς τὸν Ἀπόςολον· καὶ πρῶτος τῶν ἄλλων, τοῦ τιμίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ μεταλαμβάνει. Αὐτὸς δὲ καὶ τῷ χειροτονήσαντι καὶ τοῖς λοιποῖς μεταδίδωσι.

---

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΧΕΙΡΟΤΟΝΙᾼ ΕΠΙΣΚΟΠΟΥ.

Μετά τινος πλατυτέρας ἐκθέσεως τῶν γινομένων.

Ἄρχονται τῆς θείας Λειτουργίας· καὶ ὅταν ἐξέλθωσιν οἱ Ἱερεῖς εἰς τὴν πρώτην Εἴσοδον τῆς θείας Ἱερουργίας, συνέρχεται μετ' αὐτῶν καὶ ὁ Ὑποψήφιος· καὶ πληρουμένης τῆς Εἰσόδου, λέγει ὁ Διάκονος: **Σοφία, ὀρθοί.** Καὶ εἰσέρχεται μετὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τοῦ Εὐαγγελίου μόνος εἰς τὸ ἅγιον Θυσιαστήριον· οἱ δὲ Ἱερεῖς καὶ Κληρικοὶ ἵστανται κύκλῳ τοῦ Ὑποψηφίου, πρὸς τὸ μέσον τοῦ Ναοῦ. Τρεῖς δὲ Ἀρχιερεῖς, ἢ καὶ πλείονες τούτων, ἐνδεδυμένοι πάσας τὰς Ἀρχιερατικὰς στολὰς, καθέζονται ἐν τοῖς θρόνοις αὐτῶν, πρὸ τῶν ἁγίων Θυρῶν τοῦ ἁγίου Θυσιαστηρίου. Ὁ δὲ πρῶτος Ἀρχιερεὺς, ὁ μέλλων ποιῆσαι τὴν χειροτονίαν, καθέζεται μέσον τῶν ἄλλων Ἀρχιερέων· καὶ ὁ Διάκονος τοῦ Εὐαγγελίου λέγει μεγαλοφώνως· **Πρόσχωμεν.**

Εἷς δὲ τῶν Κληρικῶν, ὁ λογιώτατος, εὐθὺς ποιεῖται τὴν πρώτην προσαγωγὴν τοῦ Ὑποψηφίου, κηρύσσων καὶ λέγων ταῦτα·

**Προσφέρεται ὁ Θεοφιλέστατος Ὑποψήφιος ἐστερεωμένος** (ὁ δεῖνα), **τοῦ χειροτονηθῆναι Ἐπίσκοπον τῆς Θεοσώστου Πόλεως** (τῆς δεῖνος).

Καὶ προσφέρεται ὑπὸ τῶν Κληρικῶν ὁ Ὑποψήφιος ἄχρι τῆς οὐρᾶς τοῦ Ἀετοῦ, κρατῶν ἐπὶ χεῖρας αὐτοῦ ἐγγράφως τοὺς θείους Λιβέλλους τῆς Ὀρθοδόξου Πίστεως. Καὶ λέγει αὐτῷ ὁ μέλλων χειροτονῆσαι αὐτὸν Ἀρχιερεύς·

**Τί προσῆλθες ἐνθάδε παρ' ἡμῶν αἰτῶν;**

Καὶ ἀποκρίνεται ὁ Ὑποψήφιος, λέγων·

**Τὴν χειροτονίαν τῆς Ἀρχιερατικῆς χάριτος, συμψηφισαμένων με τῶν Κληρικῶν τῆς ἁγιωτάτης Ἐπισκοπῆς** (τῆς δεῖνος).

Καὶ λέγει πάλιν ὁ Ἀρχιερεύς· **Καὶ τί πιστεύεις;** Καὶ ὁ Ὑποψήφιος ἀποκρίνεται, λέγων μεγαλοφώνως τὸ ἅγιον Σύμβολον, οὕτω·

**Πιστεύω εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα·** καὶ τὰ ἑξῆς.

Καὶ εὐθὺς λέγει ὁ Ἀρχιερεὺς, εὐλογῶν αὐτὸν σταυροειδῶς·

**Ἡ χάρις τοῦ Ἁγίου Πνεύματος εἴη μετὰ σοῦ.**

Εἶτα προσφέρεται ὑπὸ τῶν Κληρικῶν αὐτοῦ ὁ Ὑποψήφιος, ἄχρι μέσου τοῦ Ἀετοῦ, κηρύσσοντος τὴν προσαγωγὴν αὐτοῦ τοῦ ἐντιμοτέρου τῶν Κληρικῶν, ὡς δεδήλωται. Καὶ ἱσταμένου τοῦ Ὑποψηφίου ἐν τῷ μέσῳ τοῦ Ἀετοῦ, προφωνεῖ αὐτὸν, καὶ λέγει ὁ ἕτερος Ἀρχιερεύς·

**Δήλωσον ἡμῖν πλατύτερον πῶς ὁμολογεῖς καὶ περὶ τῶν ἰδιοτήτων τῶν τριῶν Ὑποστάσεων τῆς ἀκαταλήπτου Θεότητος.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ ὁ Ὑποψήφιος, διαπρυσίᾳ καὶ μεγάλῃ φωνῇ, εἰς ἐπήκοον πάντων, τὸν δεύτερον Λίβελλον οὕτως ἀναγινώσκει·

Πιςεύω εἰς ἕνα Θεὸν, ἐν τρισὶ Προσώποις μεριζόμενον, Πατέρα, φησὶ, καὶ Υἱὸν, καὶ Ἅγιον Πνεῦμα· μεριζόμενον, λέγω, κατὰ τὸν τῆς ἰδιότητος λόγον, ἀμέριστον δὲ, κατὰ τὴν οὐσίαν, καὶ ὅλη Τριὰς ἡ αὐτὴ, καὶ ὅλη Μονὰς ἡ αὐτή. Μονὰς, κατὰ τὴν οὐσίαν, καὶ φύσιν, καὶ μορφήν· Τριὰς, κατὰ τὴν ἰδιότητα, καὶ ὀνομασίαν· ὀνομάζεται γὰρ, ὁ μὲν, Πατὴρ, ὁ δὲ, Υἱὸς, τὸ δὲ, Ἅγιον Πνεῦμα. Ὁ Πατὴρ ἀγέννητος καὶ ἄναρχος· οὐ γάρ ἐστιν αὐτοῦ τι πρεσβύτερον· ἦν γὰρ ἐκεῖνος, καὶ πάντως ἦν Θεός· ἄναρχος δὲ, ὅτι μὴ ἔκ τινος ἔχει τὸ εἶναι, ἢ ἐξ ἑαυτοῦ. Πιστεύω δὲ, ὅτι ὁ Πατὴρ αἰτία ἐστὶν Υἱȣ̃, καὶ Πνεύματος· τοῦ μὲν Υἱοῦ, γεννητῶς, τοῦ δὲ Ἁγίου Πνεύματος, ἐκπορευτῶς· μηδεμιᾶς διαστάσεως, μηδὲ ἀλλοτριώσεως ἐν τούτοις θεωρουμένης, ἢ μόνον τῆς διαφορᾶς τῶν ὑποστατικῶν ἰδιωμάτων· ὅτι ὁ μὲν Πατὴρ γεννᾷ τὸν Υἱὸν, καὶ προβάλλει τὸ Πνεῦμα τὸ Ἅγιον· ὁ δὲ Υἱὸς γεννᾶται ἐκ μόνου τοῦ Πατρός· καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεται ἐκ τοῦ Πατρός. Καὶ οὕτω μίαν ἀρχὴν πρεσβεύω, καὶ ἓν αἴτιον ἐπιγινώσκω, τὸν Πατέρα, Υἱοῦ καὶ Πνεύματος· λέγω δὲ τὸν Υἱὸν, ἀρχὴν ὑπέρχρονον καὶ ἀόριστον· οὐχ ὡς ἀρχὴν τῶν κτισμάτων, οἱονεὶ πρωτόκτιστον ὄντα, τὰ πρεσβεῖα τούτων ἐπιφερόμενον· ἄπαγε! τοῦτο τῆς Ἀρειανῶν δυσσεβείας ἐστὶ παραλήρημα· ἐκεῖνος γὰρ ὁ δυσώνυμος ἐβλασφήμει κτίσμα τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· ἐγὼ δὲ λέγω ἀρχὴν τὸν Υἱὸν ἐκ τοῦ ἀνάρχου ὄντα, ἵνα μὴ παραδεχθῶσι δύω ἀρχαί· μετὰ τῆς ἀρχῆς δὲ ἐπὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον· ἐπειδὴ καὶ ἅμα καὶ ὁμοῦ τὸ εἶναι ἔχουσιν ἐκ Πατρὸς ὅ, τε Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· ὁ μὲν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς, ὡς εἴρηται. Καὶ οὔθ' ὁ Πατὴρ διήρηται τοῦ Υἱοῦ, οὔθ' ὁ Υἱὸς τοῦ Πνεύματος, οὔτε τὸ Πνεῦμα τὸ Ἅγιον, Πατρὸς καὶ Υἱοῦ· ἀλλ' ὅλος ἐστὶν ὁ Πατὴρ ἐν τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, καὶ ὅλος ὁ Υἱὸς ἐν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, καὶ ὅλον τὸ Πνεῦμα τὸ Ἅγιον ἐν τῷ Πατρὶ καὶ τῷ Υἱῷ· ἥνωνται γὰρ διῃρημένως, καὶ διῄρηνται ἡνωμένως. Ὁμολογῶ δὲ, ὅτι ὁ τοῦ Θεοῦ Λόγος, συν-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

αΐδιος τῷ Πατρὶ, ὁ ὑπέρχρονος, ὁ ἀπερίληπτος, ὁ ἀπεριόριστος, κάτεισι μέχρι τῆς ἡμῶν φύσεως, καὶ ἄνθρωπον τεταπεινωμένον, καὶ ὅλον τὸν περιπεπτωκότα λαμβάνει ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων τῆς μόνης παναμώμου καὶ καθαρᾶς Παρθένου, ἵνα ὅλῳ τῷ κόσμῳ τὴν σωτηρίαν καὶ χάριν, ἕνεκα τῆς ἰδίας εὐσπλαγχνίας, χαρίσηται· καὶ γέγονεν ἡ καθ' ὑπόστασιν τῶν φύσεων ἕνωσις, οὐ ταῖς κατὰ μικρὸν προσθήκαις τελειουμένου τοῦ βρέφους, οὐδὲ κατὰ φυρμὸν, ἢ σύγχυσιν, ἢ ἀνάκρασιν, ἑνωθεισῶν τῶν συνεληλυθυιῶν φύσεων· οὐδὲ ὑποστάντος τοῦ ἀνθρώπου, ἐπιγενέσθαι τὸν Λόγον, καὶ σχετικὴν γενέσθαι τὴν ἕνωσιν, κατὰ τὸν θεοστυγῆ καὶ Ἰουδαιόφρονα Νεστόριον· οὐδὲ ἄνουν καὶ ἄψυχον, κατὰ τὸν ἄνουν ὄντως Ἀπολλινάριον· ἐκεῖνος γὰρ ἐλήρει ἀρκεῖν τὴν Θεότητα, ἀντὶ τοῦ νοός· ἐγὼ δὲ Θεὸν τέλειον αὐτὸν ὁμολογῶ, καὶ τέλειον Ἄνθρωπον τὸν αὐτόν· ὃς ἅμα σὰρξ, καὶ ἅμα Θεοῦ Λόγος· σὰρξ ἔμψυχος λογικῇ τε καὶ νοερᾷ ψυχῇ, σώζοντά τε πάντα τὰ τῆς αὐτοῦ Θεότητος φυσικὰ αὐχήματα καὶ μετὰ τὴν ἕνωσιν, καὶ μὴ τραπέντα τὰ τῆς Θεότητος αὐτοῦ, ἢ τῆς ἀνθρωπότητος, διὰ τὴν πρὸς τὸν Λόγον ἀκραιφνεστάτην συνάφειαν, φέροντα τὸν αὐτὸν μίαν ὑπόστασιν σύνθετον, δύω τὰς φύσεις καὶ ἐνεργείας, σώζουσαν τὰ ἐξ ὧν, καὶ ἐν οἷς ἦν ὁ αὐτὸς εἷς Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν· ἔχοντά τε δύω θελήσεις φυσικὰς, οὐ γνωμικάς. Ἰστέον δὲ, ὡς ἔπαθε μὲν, ὡς Θεὸς, λέγω σαρκί· Θεότητα παθητὴν, ἢ παθοῦσα σαρκὶ, οὐδαμῶς. Ἔτι ὁμολογῶ αὐτὸν ἀναλαβεῖν πάντα τὰ ἡμέτερα ἀδιάβλητα πάθη, τὰ συνόντα τῇ φύσει ἡμῶν δίχα τῆς ἁμαρτίας, οἷον τὴν πεῖναν, τὴν δίψαν, τὸν κόπον, τὰ δάκρυα, καὶ τὰ τοιαῦτα, ἐνεργοῦντα δὲ ἐν αὐτῷ, οὐκ ἠναγκασμένως, ὥσπερ καὶ ἐν ἡμῖν, ἀλλὰ τῆς ἀνθρωπίνης θελήσεως ἀκολουθούσης τῇ θείᾳ αὐτοῦ θελήσει· θέλων γὰρ ἐπείνασε, θέλων ἐδίψησε, θέλων ἐκοπίασε, θέλων ἀπέθανε. Θνήσκει τοίνυν τὸν ὑπὲρ ἡμῶν ἀπεκδεχόμενος θάνατον, ἀπαθοῦς μενούσης τῆς αὐτοῦ Θεότητος· αὐτὸς γὰρ οὐχ ὑπέκειτο θανάτῳ, ὁ τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου, ἀλλ' ἵνα πάντας ἡμᾶς ἐξάξῃ τῆς παμφάγου χειρὸς τοῦ θανάτου, καὶ τῷ οἰκείῳ αὐτοῦ Αἵματι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

προσάξῃ τῷ οἰκείῳ Πατρὶ, καὶ σώματι προσβαλὼν ὁ θάνατος ἀνθρωπίνῳ, δυνάμει Θεότητος καταῤῥάσσεται, καὶ ἀνάγονται ἐκεῖθεν αἱ ἀπ' αἰῶνος τῶν Δικαίων πεπεδημέναι ψυχαί. Μετὰ δὲ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν, τεσσαράκοντα ἡμέρας ἐν τῇ γῇ μετὰ τῶν Μαθητῶν ἐπιφαινόμενος, ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἐκάθησεν ἐν τῇ δεξιᾷ τοῦ Πατρός· δεξιὰν δὲ τοῦ Πατρὸς λέγω, οὐ τοπικὴν, ἢ περιγραπτήν· ἀλλὰ λέγω δεξιὰν τοῦ Θεοῦ εἶναι τὴν ἄναρχον καὶ προαιώνιον δόξαν, ἣν ἔχων ὁ Υἱὸς πρὸ τῆς ἐνανθρωπήσεως, καὶ μετὰ τὴν ἐνανθρώπησιν ταύτην ἔσχηκε· συμπροσκυνεῖται γὰρ ἡ ἁγία αὐτοῦ Σάρξ τῇ αὐτοῦ Θεότητι τιμίᾳ προσκυνήσει, οὐ προσθήκην δεξαμένης τῆς ἁγίας Τριάδος· μὴ γένοιτο! Τριὰς γὰρ ἔμεινεν ἡ Τριὰς, καὶ μετὰ τὴν ἕνωσιν τοῦ Μονογενοῦς, ἀχωρίστου μεινάσης τῆς ἁγίας αὐτȣ Σαρκὸς, καὶ ἔτι μετ' αὐτοῦ μενούσης καὶ εἰς τὸν αἰῶνα· μετ' αὐτῆς γὰρ ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκροὺς, δικαίους τε καὶ ἁμαρτωλούς· καὶ τοῖς μὲν δικαίοις ἀποδώσων τὰ ἔργα τῆς ἀρετῆς, καὶ τὴν Βασιλείαν τῶν ȣρανῶν, ἀνθ' ὧν ἐνταῦθα ἐκοπίασαν· τοῖς δὲ ἁμαρτωλοῖς, αἰώνιον ἀνταμειψόμενος βάσανον, καὶ τὸ τῆς γεέννης ἀτελεύτητον πῦρ· οὗ γένοιτο πάντας ἡμᾶς τὴν πεῖραν ἐκφυγεῖν, καὶ τῶν ἐπηγγελμένων καὶ ἀκηράτων ἐπιτυχεῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

Καὶ εὐθὺς λέγει ὁ Ἀρχιερεὺς, ἐπευλογῶν τὸν Χειροτονούμενον σταυροειδῶς·

Ἡ χάρις τοῦ Ἁγίου Πνεύματος εἴη μετὰ σοῦ, φωτίζουσα, στηρίζουσα, καὶ συνετίζουσά σε πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

Εἶτα προσφέρεται ὁ Ὑποψήφιος ὑπὸ τῶν Κληρικῶν αὐτοῦ ἄχρι καὶ τῆς κεφαλῆς τοῦ Ἀετοῦ, κηρύσσοντος τὴν προσαγωγὴν ἑνὸς τῶν Κληρικῶν, ὡς προδεδήλωται· καὶ τοῦ Ὑποψηφίου στάντος ἐπὶ τῆς κεφαλῆς τοῦ Ἀετοῦ, λέγει αὐτῷ ὁ Ἀρχιερεὺς ὁ τρίτος·

Δήλωσον ἡμῖν ἔτι πλατύτερον πῶς ὁμολογεῖς καὶ τὰ περὶ τῆς ἐνανθρωπήσεως τοῦ ἐνυποςάτου Υἱοῦ καὶ Λόγȣ τοῦ Θεοῦ, καὶ πόσας φύσεις δογματίζεις ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς Χριςοῦ τοῦ Θεοῦ ἡμῶν;

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ ὁ Ὑποψήφιος εὐθὺς μεγαλοφώνως ἀναγινώσκει τὴν τρίτην ὁμολογίαν οὕτω, ζώσῃ φωνῇ·

Πιστεύω εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ, καὶ γῆς, ὁρατῶν τε πάντων, καὶ ἀοράτων· ἄναρχον μὲν, καὶ ἀγέννητον, καὶ ἀναίτιον· ἀρχὴν δὲ φυσικὴν, καὶ αἰτίαν Υἱοῦ, καὶ Πνεύματος. Πιστεύω καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν, ἀῤῥεύστως καὶ ἀχρόνως ἐξ αὐτοῦ γεννηθέντα, ὁμοούσιον αὐτῷ, δι' οὗ τὰ πάντα ἐγένετο. Πιστεύω καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ ἐξ αὐτοῦ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ συνδοξαζόμενον, ὡς συναΐδιον, καὶ σύνθρονον, καὶ ὁμοούσιον, καὶ ὁμόδοξον, καὶ τῆς κτίσεως δημιουργόν. Πιστεύω τὸν ἕνα τῆς αὐτῆς ὑπερουσίου καὶ ζωαρχικῆς Τριάδος, τὸν μονογενῆ Λόγον, κατελθόντα ἐκ τῶν οὐρανῶν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμῶν σωτηρίαν σαρκωθῆναι ἐκ Πνεύματος Ἁγίου, καὶ Μαρίας τῆς Παρθένου ἐνανθρωπῆσαι, τουτέστι τέλειον ἄνθρωπον γενέσθαι, μένοντα Θεὸν, καὶ μηδὲν μεταβαλόντα τῆς θείας οὐσίας, διὰ τὴν πρὸς τὴν σάρκα κοινωνίαν, ἢ ἀλλοιώσαντα· ἀλλ' ἄνευ τροπῆς προσειληφότα τὸν ἄνθρωπον, ἐν αὐτῷ τὸ πάθος καὶ τὸν σταυρὸν ὑπομεῖναι, παντὸς πάθους, κατὰ τὴν θείαν φύσιν, ἐλεύθερον· καὶ ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν· καὶ εἰς τοὺς οὐρανοὺς ἀνεληλυθότα, ἐκ δεξιῶν καθίσαι τοῦ Θεοῦ καὶ Πατρός. Πιστεύω καὶ τὰς περὶ Θεοῦ καὶ τῶν Θείων παραδόσεις τε καὶ ἐξηγήσεις τῆς μιᾶς Καθολικῆς, καὶ Ἀποστολικῆς Ἐκκλησίας. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν· καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἔτι δὲ τοῦ ἐνανθρωπήσαντος Λόγου μίαν ὑπόστασιν ὁμολογῶ· καὶ ἕνα πιστεύω τὸν αὐτὸν, καὶ κηρύττω Χριστὸν, ἐν δυσὶ μετὰ τὴν ἐνανθρώπησιν ταῖς θελήσεσι, καὶ φύσεσι, τὰ ἐν οἷς, καὶ ἐξ ὧν πέφυκε σώζοντα· ἀκολούθως δὲ καὶ δύω θελήματα πρεσβεύω, τῆς ἑκάστης φύσεως τὸ ἴδιον θέλημα καὶ τὴν ἰδίαν σωζούσης ἐνέργειαν. Προσκυνητὴς εἰμὶ σχετικῶς, ἀλλ' οὐ λατρευτικῶς, τῶν θείων τῶν σεπτῶν Εἰκόνων, αὐτοῦ τε τοῦ Χριστοῦ, καὶ τῆς παναγνου Θεομήτορος, καὶ πάντων τῶν Ἁγίων, καὶ ἐπὶ τὰ πρωτότυπα τὴν πρὸς ταύτας διαβιβάζω τιμήν· τοὺς δ' ἄλλως, ἢ οὕτω, φρο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

νοῦντας, ὡς ἀλλοτριόφρονας ἀποβάλλομαι. Ἀναθεματίζω Ἄρειον, καὶ τοὺς σὺν αὐτῷ σύμφρονας, καὶ κοινωνοὺς τῆς αὐτοῦ μανιώδους κακοδοξίας· Μακεδόνιον καὶ τοὺς περὶ αὐτὸν, καλῶς ὀνομασθέντας Πνευματομάχους· ὡσαύτως Νεστόριον, καὶ τοὺς λοιποὺς Αἱρεσιάρχας, καὶ τοὺς τούτων ὁμόφρονας ἀποβάλλομαι, καὶ ἀναθεματίζω, καὶ τρανῶς ἀνακηρύττω μεγίςῃ φωνῇ· Πᾶσι τοῖς Αἱρετικοῖς ἀνάθεμα· ὅλοις τοῖς Αἱρετικοῖς ἀνάθεμα. Τὴν δὲ Δέσποιναν ἡμῶν, τὴν Θεοτόκον Μαρίαν, κυρίως καὶ ἀληθῶς ὁμολογῶ καὶ κηρύττω, ὡς τεκοῦσαν σαρκὶ τὸν ἕνα τῆς Τριάδος, Χριςὸν τὸν Θεὸν ἡμῶν· ἥτις γενείη μοι βοηθὸς, σκέπη, καὶ ἀντίληψις πάσας τὰς ἡμέρας τῆς ζωῆς μȣ. Ἀμήν.

Καὶ ταύτης πληρωθείσης, εὐλογεῖ αὐτὸν ὁ Ἀρχιερεὺς, λέγων·

**Ἡ χάρις τοῦ Ἁγίȣ Πνεύματος, διὰ τῆς ἐμῆς μετριότητος, προβάλλεταί σε τὸν Θεοφιλέςατον Ἱερέα Ὑποψήφιον** (τὸν δεῖνα), **Ἐπίσκοπον τῆς Θεοσώστου Πόλεως** (τῆσδε).

Καὶ εὐθὺς ἀνίςαται ὁ Ἀρχιερεὺς, καὶ πάντες οἱ Ἀρχιερεῖς μετ' αὐτοῦ. Εἷς δὲ ἐξ αὐτῶν φορεῖ τῷ Ὑποψηφίῳ τὸ Ὑπογονάτιον, καὶ πολυχρονεῖται παρὰ πάντων ὁ Ἐπίσκοπος ὁ χειροτονούμενος.

Εἶτα δίδωσιν αὐτῷ ὁ Ἀρχιερεὺς τὴν Ἀρχιερατικὴν Ῥάβδον, λέγων οὕτω πρὸς αὐτόν·

**Λάβε τὴν Ῥάβδον, ἵνα ποιμαίνῃς τὸ ἐμπιστευθέν σοι Ποίμνιον τοῦ Χριστοῦ· καὶ τοῖς μὲν εὐπειθέσιν, ἔστω αὐτοῖς ὑπὸ σοῦ βακτηρία καὶ ὑποστηριγμός· τοῖς δὲ ἀπειθέσι καὶ εὐτραπέλοις, χρῷ αὐτῇ, ῥάβδῳ ἐπιστυπτικῇ, ῥάβδῳ παιδεύσεως.**

Εἶτα παραλαμβάνεται ὑπὸ τῶν Ἀρχιερέων ὁ χειροτονούμενος, καὶ εἰσάγεται μετ' αὐτῶν εἰς τὸ ἅγιον Θυσιαστήριον, ἔμπροσθεν τῆς ἁγίας Τραπέζης· καὶ εὐθὺς κλίνει τὸ ἑαυτοῦ γόνυ κατενώπιον τῶν Ἀρχιερέων.

Εἷς δὲ τῶν Ἀρχιερέων, ἤγουν ὁ πρῶτος, λαμβάνει τὸ ἅγιον Εὐαγγέλιον, καὶ τοῦτο ἀνεῴξας, τίθησιν αὐτὸ ἐξάπινα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, ἐπὶ προσώπου, κρατοῦντες αὐτὸ οἱ ἕτεροι Ἀρχιερεῖς ἔνθεν κἀκεῖθεν. Εἶτα λέγει ὁ Ἀρχιερεὺς εἰς ἐπήκοον πάντων·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ψήφῳ καὶ δοκιμασίᾳ τῶν Θεοφιλεστάτων Ἱερέων, καὶ Κληρικῶν τῆς Πόλεως (τῆσδε).

Ἡ Θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρίζεται τὸν Θεοφιλέστατον Ἱερέα καὶ Ὑποψήφιον (τὸν δεῖνα), Ἐπίσκοπον καὶ Πρόεδρον τῆς Θεοσώστου Πόλεως (τῆς δεῖνος). Εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ, ἵνα ἔλθῃ ἐπ᾽ αὐτὸν ἡ χάρις τοῦ παναγίου Πνεύματος.

Καὶ λέγουσιν οἱ Ἱερεῖς τό, Κύριε ἐλέησον, τρίς.

Τῶν δὲ Ἀρχιερέων κρατούντων τὸ Εὐαγγέλιον, ὁ χειροτονῶν Ἀρχιερεὺς ποιεῖ ἐπὶ τῆς κεφαλῆς τοῦ χειροτονουμένου Σταυροὺς τρεῖς, ἐπευλογῶν αὐτόν· **Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Καὶ ἐπιθεὶς τὴν χεῖρα ἐπὶ τῆς κεφαλῆς, εὔχεται οὕτω μυςικῶς·

**Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ νομοθετήσας ἡμῖν·** καὶ τὰ λοιπὰ, ὡς γέγραπται ἐν τῇ Χειροτονίᾳ τοῦ αὐτοῦ, σελ. 160.

Αὗται αἱ προτυπωθεῖσαι τοῦ Ἐπισκόπου τάξεις οὐχ οὕτω γίνονται νῦν, ἀλλ᾽ ὡς ἡ ἐφεξῆς ἑρμηνεία τοῦ Πανιερωτάτου Μητροπολίτου Νύσσης, κυρίου Μητροφάνους, ἡ ἐν πάσαις ταῖς τοῦ Χριστοῦ Ἐκκλησίαις τελουμένη.

---

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΧΕΙΡΟΤΟΝΙΑ ΕΠΙΣΚΟΠΟΥ.

Κατὰ τὴν Ἑρμηνείαν τοῦ Πανιερωτάτου Μητροπολίτου Νύσσης κυρίου Μητροφάνους.

Οἱ Ἱερεῖς καὶ οἱ Διάκονοι παρὰ τοῦ πρώτου τῶν Ἀρχιερέων εὐλογίαν λαβόντες, εἰσέρχονται ἐν τῷ Βήματι, καὶ ἐνδύονται τὰς ἱερατικὰς αὐτῶν ςολάς. Ἑνὸς δὲ τῶν Ἱερέων Προσκομιδὴν ποιουμένου, ἐξέρχονται οἱ Διάκονοι μετὰ τοῦ τρικηρίου, ποιοῦντες μετάνοιαν τῷ Ἀρχιερεῖ. Ὁ δὲ Ἀρχιερεὺς, κατερχόμενος τοῦ θρόνου, ἵςαται ἔμπροσθεν τῶν ἁγίων Πυλῶν, λαμβάνων καιρὸν, ὡς σύνηθες. Ἐρχομένου δὲ ἐν τῷ μέσῳ τοῦ Ναοῦ, καὶ ἐν τῷ ἑτοιμασθέντι τόπῳ καθεζομένου, ἔρχονται οἱ δύω συλλειτουργοὶ Ἀρχιερεῖς, ποιοῦντες ἔμπροσθεν αὐτοῦ σχῆμα μετα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

νοίας· καὶ οὕτως εἰσέρχονται ἐν τῷ Βήματι, καὶ ἐνδύονται τὰ Ἀρχιερατικὰ αὐτῶν ἄμφια. Ἔρχεται δὲ καὶ ὁ Ὑποψήφιος, λαμβάνων παρὰ τοῦ Ἀρχιερέως εὐλογίαν· καὶ εἰσερχόμενος ἐν τῷ Βήματι, ἐνδύεται καὶ αὐτὸς Ἐπιτραχήλιον καὶ Φελόνιον. Τότε ὁ Ἀρχιερεὺς ἀνιςάμενος, ἐνδύεται ἅπασαν τὴν Ἀρχιερατικὴν ςολήν. Εἶθ' οὕτω προσκαλοῦνται οἱ Διάκονοι τοὺς Ἀρχιερεῖς καὶ Ἱερεῖς, ἐξελθεῖν τοῦ Βήματος. Οὗτοι δὲ ἐξερχόμενοι, ἵστανται κατὰ τὴν τάξιν αὐτῶν ἔνθεν καὶ ἔνθεν, πλησίον τοῦ Ἀρχιερέως. Τοῦ δὲ Ὑποψηφίου ἐν τῷ Βήματι ὄντος, καὶ τοῦ Ἀετοῦ προετοιμασθέντος, καὶ ἔμπροσθεν τῶν ἁγίων Πυλῶν τεθέντος, εἰσέρχονται δύω Διάκονοι διὰ τῆς μέσης Πύλης, καὶ ἐξάγοντες τὸν Ὑποψήφιον, τὸ ἱερὸν Εὐαγγέλιον ἐν ταῖς χερσὶ κρατοῦντα, αὐτὸν μὲν ἱστῶσιν ἐπάνω τοῦ Ἀετοῦ· τῶν δὲ Διακόνων τὸ, **Πρόσχωμεν,** ἐκφωνούντων, ὁ Ὑποψήφιος ἀνοίγων τὸ ἱερὸν Εὐαγγέλιον, λέγει μεγάλῃ τῇ φωνῇ·

**Ὁ (**δεῖνα **), ἐλέῳ Θεῦ, Ὑποψήφιος τῆς ἁγιωτάτης Μητροπόλεως (** τῆς δεῖνος **) οἰκείᾳ χειρὶ προέταξα.**

**Πιστεύω εἰς ἕνα Θεόν·** καὶ τὰ λοιπὰ μέχρι τέλους. Καὶ καθεξῆς ἀναγινώσκει καὶ τὰς ἐν τῷ Εὐχολογίῳ ἑτέρας, καὶ ὁ Ὑποψήφιος, ἀνοίγων τὸ ἱερὸν Εὐαγγέλιον, λέγει μεγάλῃ τῇ φωνῇ·

**Ὁ (**δεῖνα**), ἐλέῳ Θεῦ, Ὑποψήφιος τῆς ἁγιωτάτης Μητροπόλεως (** τῆς δεῖνος**), οἰκείᾳ χειρὶ ὑπέταξα.**

Καὶ λαμβάνουσι τὸ Εὐαγγέλιον παρ' αὐτοῦ, καὶ τιθέασιν αὐτὸ ἐπὶ τῆς ἁγίας Τραπέζης. Οἱ δὲ Διάκονοι προσφέρουσιν αὐτὸν ἔμπροσθεν τοῦ Ἀρχιερέως, λέγοντες τὸ, **Κέλευσον, Κελεύσατε,** κατὰ τὴν τάξιν. Ὁ δὲ Ἀρχιερεὺς εὐλογῶν αὐτὸν, λέγει·

**Ἡ χάρις τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος, διὰ τῆς ἡμῶν ταπεινότητος, προχειρίζεταί σε Μητροπολίτην τῆς ἁγιωτάτης Μητροπόλεως (** τῆς δεῖνος**).**

Οἱ δὲ Ψάλται λέγουσιν· **Εἰς πολλὰ ἔτη.**

Καὶ ἀσπάζεται, αὐτὸς μὲν τὴν χεῖρα αὐτῦ· ὁ δὲ Ἀρχιερεὺς τοῦτον, ἐν τῷ μετώπῳ καὶ τοῖς ὤμοις· ὡσαύτως καὶ οἱ δύω Συλλειτουργοί. Εἶτα πάλιν στρέφεται, καὶ ἵσταται ἐν τῷ Ἀετῷ· δύω δὲ τῶν πρώτων Ἱερέων λαμβάνουσιν αὐτὸν, καὶ προσ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

φέρουσι τῷ Ἀρχιερεῖ, λέγοντες τὸ, **Κελεύσατε**, ὡς καὶ οἱ Διάκονοι. Ὁ δὲ Ἀρχιερεὺς, πάλιν εὐλογῶν αὐτὸν, λέγει·

**Ἡ χάρις τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος ἔσω μετὰ σοῦ, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Οἱ Ψάλται· **Εἰς πολλὰ ἔτη.**

Καὶ πάλιν ἀσπάζονται αὐτὸν καὶ οἱ τρεῖς Ἀρχιερεῖς, ὡς καὶ πρότερον. Εἶτα εἰσέρχεται ἐν τῷ Βήματι, καὶ ἐνδύεται ἅπασαν τὴν ἱερατικὴν ϛολήν. Ἄρχονται δὲ τῆς ἱερᾶς Λειτουργίας· καὶ αὐτὸς οὐκ ἐξέρχεται ἐν τῇ Εἰσόδῳ. Δίδονται δὲ κηρία πᾶσι τοῖς ἐν τῷ Ναῷ, ἱερωμένοις τε καὶ λαϊκοῖς. Μετὰ δὲ τὸ Τρισάγιον καὶ τὰς Φήμας, λαμβάνουσιν αὐτὸν δύο Ἱερεῖς παρ᾽ ἑκάτερα, καὶ ἀγαγόντες αὐτὸν διὰ τοῦ βορείου κλίτους, ἵστανται ἐν τῷ μέσῳ τοῦ Ναοῦ, καὶ κελεύουσιν αὐτὸν, λέγοντες τὸ, **Κέλευσον, Κελεύσατε, Κέλευσον, Δέσποτα ἅγιε.**

Φθασάντων δὲ αὐτῶν εἰς τὴν ὡραίαν Πύλην, λαμβάνουσιν αὐτὸν ἐκ τῶν χειρῶν οἱ συλλειτουργοῦντες τῷ πρώτῳ Ἀρχιερεῖ Ἐπίσκοποι, καὶ περιάγουσιν αὐτὸν, κυκλοῦντες τὴν ἁγίαν Τράπεζαν τρὶς, καὶ ψάλλοντες τὰ συνήθη Τροπάρια, τὸ, **Ἅγιοι Μάρτυρες**· τὸ, **Δόξα σοι Χριϛὲ ὁ Θεός**· καὶ τὸ, **Ἠσαΐα χόρευε.**

Μετὰ δὲ ταῦτα, ὁ πρῶτος Ἀρχιερεὺς ἄνεισιν εἰς τὴν κρηπῖδα τὴν πρὸ τῆς ἁγίας Τραπέζης· καὶ προσάγεται τούτῳ παρὰ τῶν προειρημένων Ἀρχιερέων ὁ χειροτονεῖσθαι μέλλων ἐκ τοῦ δεξιοῦ μέρους, καὶ κλίνει ἀμφότερα τὰ γόνατα, καὶ τίθησι τὰς χεῖρας αὐτοῦ ἐπὶ τῆς ἁγίας Τραπέζης συνηρμοσμένας ἐπ᾽ ἀλλήλας, ἐφ᾽ αἷς καὶ τὸ μέτωπον αὐτοῦ ἐπερείδει μετ᾽ εὐλαβείας. Τοῦ δὲ Ἀρχιερέως ἐπιθέντος ἐπὶ τῆς κεφαλῆς τοῦ χειροτονεῖσθαι μέλλοντος τό,τε Ὠμοφόριον καὶ τὸ ἅγιον Εὐαγγέλιον, ἔρχεται ὁ Χαρτοφύλαξ ἐκ τοῦ ἀριστεροῦ μέρους, καὶ δίδωσιν αὐτῷ χάρτην, ἐν ᾧ γέγραπται, εἰ μὲν Πατριάρχης ἐστὶν ὁ χειροτονῶν, ταῦτα·

**Ψήφῳ καὶ δοκιμασίᾳ τῶν ἱερωτάτων Μητροπολιτῶν, καὶ Ἀρχιεπισκόπων, καὶ Ἐπισκόπων.**

Εἰ δὲ Μητροπολίτης, ταῦτα·

**Ψήφῳ καὶ δοκιμασίᾳ τῶν Θεοφιλεστάτων Ἐπισκόπων, καὶ τῶν Ὁσιωτάτων Πρεσβυτέρων.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Η θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλείποντα ἀναπληρῶσα, προχειρίζεται (τὸν δεῖνα), τὸν Θεοφιλέστατον Πρεσβύτερον, Ἐπίσκοπον τῆς θεοσώστου Πόλεως (τῆςδε). Εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ, ἵνα ἔλθῃ ἐπ' αὐτὸν ἡ χάρις τοῦ παναγίου Πνεύματος.

Καὶ ψάλλουσιν οἱ τοῦ Βήματος, καὶ οἱ ἐκτὸς, τὸ, Κύριε ἐλέησον γ'.

Ἐπιδιδομένου τοίνυν τοῦ τοιούτου χάρτου τῷ Ἀρχιερεῖ, καὶ τοῦ Χαρτοφύλακος, ἢ τοῦ Ἀρχιδιακόνου, λέγοντος, τὸ, Πρόσχωμεν, ὁ Ἀρχιερεὺς ἀναγινώσκει τὰ γεγραμμένα εἰς ἐπήκοον τῶν περιεστώτων· καὶ πάντων φωνούντων τὸ, Κύριε ἐλέησον, ὡς προδεδήλωται, ἀναπτύσσει τὸ Εὐαγγέλιον ὁ Ἀρχιερεὺς, καὶ ἐπιτίθησι τῇ κεφαλῇ, καὶ τῷ τραχήλῳ τοῦ χειροτονουμένου, συνεφαπτομένων καὶ τῶν ἄλλων Ἀρχιερέων. Εἶτα ποιῶν Σταυροὺς τρεῖς ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ἔχων ἐπικειμένην αὐτῷ τὴν χεῖρα τὴν δεξιὰν, εὔχεται μυστικῶς·

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ νομοθετήσας ἡμῖν, διὰ τοῦ πανευφήμου σου Ἀποστόλου Παύλου, βαθμῶν καὶ ταγμάτων τάξιν, εἰς τὸ ἐξυπηρετεῖσθαι, καὶ λειτουργεῖν τοῖς σεπτοῖς καὶ ἀχράντοις σου Μυστηρίοις ἐν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, πρῶτον Ἀποστόλους, δεύτερον Προφήτας, τρίτον Διδασκάλους· αὐτὸς, Δέσποτα τῶν ἁπάντων, καὶ τοῦτον τὸν ψηφισθέντα, καὶ ἀξιωθέντα ὑπεισελθεῖν τὸν Εὐαγγελικὸν ζυγὸν, καὶ τὴν Ἀρχιερατικὴν ἀξίαν, διὰ τῆς χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ τῶν συμπαρόντων Λειτουργῶν καὶ Συνεπισκόπων, τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ χάριτι τοῦ Ἁγίου σου Πνεύματος, ἐνίσχυσον, ὡς ἐνίσχυσας τοὺς ἁγίους σου Ἀποστόλους, καὶ Προφήτας· ὡς ἔχρισας τοὺς Βασιλεῖς· ὡς ἡγίασας τοὺς Ἀρχιερεῖς· καὶ ἀνεπίληπτον αὐτοῦ τὴν Ἀρχιερωσύνην ἀπόδειξον, καὶ πάσῃ σεμνότητι κατακοσμῶν, ἅγιον ἀνάδειξον, εἰς τὸ ἄξιον γενέσθαι τοῦ αἰτεῖν αὐτὸν τὰ πρὸς σωτηρίαν τοῦ λαοῦ, καὶ ἐπακούειν σε αὐτοῦ. Ὅτι ἡγίασταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ Βασιλεία, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ μετὰ τὸ, Ἀμὴν, λέγει εἷς τῶν συγχειροτονούντων Ἀρχιερέων λεπτῇ φωνῇ, ὅσον ἀκούειν τοὺς συνόντας Ἀρχιερεῖς καὶ ἀποκρίνεσθαι, τὰ Διακονικὰ ταῦτα·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), Ἱερωσύνης, ἀντιλήψεως, διαμονῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτοῦ, καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ (τοῦδε), τοῦ νυνὶ προχειριζομένου Ἐπισκόπου, καὶ τῆς σωτηρίας αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν ἄσπιλον καὶ ἀμώμητον αὐτῷ τὴν Ἀρχιερωσύνην χαρίσηται, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς Πόλεως ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὑπὲρ πάντων τῶν χρῃζόντων τῆς παρὰ τοῦ Θεοῦ βοηθείας καὶ ἀντιλήψεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Καὶ τούτων λεγομένων, ὁ Ἀρχιερεὺς ἔχων ὡσαύτως τῇ τοῦ χειροτονουμένου κορυφῇ τὴν χεῖρα ἐπικειμένην, εὔχεται μυστικῶς, οὕτω·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὸ μὴ δύνασθαι τὴν ἀνθρώπου φύσιν τὴν τῆς Θεότητος ὑπενεγκεῖν οὐσίαν, τῇ σῇ οἰκονομίᾳ ὁμοιοπαθεῖς ἡμῖν διδασκάλους καταστήσας, τὸν σὸν ἐπέχοντας θρόνον, εἰς τὸ ἀναφέρειν σοι θυσίαν καὶ προσφορὰν ὑπὲρ παντὸς τοῦ Λαοῦ σου· σὺ, Χριστὲ, καὶ τοῦτον τὸν ἀναδειχθέντα οἰκονόμον τῆς Ἀρχιερατικῆς χάριτος, ποίησον γενέσθαι μιμητὴν σοῦ τοῦ ἀληθινοῦ Ποιμένος, τιθέντα τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων σου· ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, φωστῆρα ἐν κόσμῳ· ἵνα, καταρτίσας τὰς ψυχὰς τὰς ἐμπιστευθείσας αὐτῷ ἐπὶ τῆς παρούσης ζωῆς, παραστῇ τῷ Βήματί σου ἀκα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ταισχύντως, καὶ τὸν μέγαν μισθὸν λήψηται, ὃν ἡτοίμασας τοῖς ἀθλήσασιν ὑπὲρ τοῦ κηρύγματος τοῦ Εὐαγγελίου σου. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν; σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὸ, **Ἀμὴν**, αἴρει τὸ Εὐαγγέλιον, καὶ τίθησιν εἰς τὴν ἁγίαν Τράπεζαν· καὶ οὕτως ἐπιτίθησι τῷ χειροτονηθέντι τὸ Ὠμοφόριον, λέγων· **Ἄξιος**· ὁμοίως καὶ ὁ Κλῆρος λέγει τὸ αὐτό.

Εἶτα τὸν Χειροτονηθέντα ἀσπάζεται ὁ Χειροτονήσας, καὶ οἱ λοιποὶ Ἐπίσκοποι· καὶ τῆς συνήθους εὐφημίας τελουμένης, ἀνέρχονται εἰς τὸ Σύνθρονον. Καὶ καθεζόμενος πρῶτος ὁ Χειροτονηθεὶς, εἰρηνεύει εἰς τὸν Ἀπόστολον· καὶ πρῶτος τῶν ἄλλων τοῦ τιμίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ μεταλαμβάνει· αὐτὸς δὲ καὶ τῷ Χειροτονήσαντι, καὶ τοῖς λοιποῖς μεταδίδωσι.

---

## ΤΑΞΙΣ ΕΠΙ ΠΡΟΧΕΙΡΙΣΕΙ ΗΓΟΥΜΕΝΟΥ.

Παραγίνεται ὁ Ἀρχιερεὺς ἐν τῇ Μονῇ· καὶ, εἴπερ βούληται λειτουργῆσαι, ἀλλάσσει πᾶσαν τὴν Ἀρχιερατικὴν στολὴν, καὶ γίνεται Εὐλογητός· Τρισάγιον· Τροπάριον τοῦ κατὰ τὴν Μονὴν Ἁγίου· **Δόξα, καὶ νῦν.** Θεοτοκίον. Εἶτα προσφέρεται ὁ Ὑποψήφιος ὑπὸ τῶν τῆς Μονῆς Ἱερομονάχων, ἔμπροσθεν τοῦ Ἀρχιερέως, οὕτω·

**Προσφέρεται ὁ αἰδεσιμώτατος Ἱερομόναχος (** ὁ δεῖνα **) καὶ Ὑποψήφιος ἐστερεωμένος, τοῦ λαβεῖν τὰς ἁγίας εὐχὰς, καὶ ἐνθρονισθῆναι εἰς Ἡγούμενον, καὶ Ποιμένα τῆς σεβασμίας Μονῆς (** τῆς δεῖνος **).**

Καὶ μετὰ τὴν δευτέραν προσαγωγὴν βοᾷ ὁ Ἀρχιερεύς·

**Ἡ χάρις τοῦ Ἁγίου Πνεύματος εἴη μετὰ σοῦ, φωτίζουσα, στηρίζουσα, καὶ συνετίζουσά σε πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.**

Εἶτα λέγει εἷς τῶν Ἱερέων μεγαλοφώνως· **Πρόσχωμεν.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ δὲ Ἀρχιερεὺς, ἐπικειμένην ἔχων τὴν δεξιὰν χεῖρα τῇ κορυφῇ τοῦ προσενεχθέντος, ἐπεύχεται οὕτως·

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ διαπαντὸς τῆς τῶν ἀνθρώπων σωτηρίας πρόνοιαν ποιούμενος, ὁ καὶ τὴν λογικὴν ταύτην ποίμνην ἐπὶ τὸ αὐτὸ συναγαγὼν ἐν τῷ ὀνόματί σου· αὐτὸς, Δέσποτα τῶν ἁπάντων, τῇ ἀμέτρῳ σου φιλανθρωπίᾳ ταύτην μὲν σκέπασον ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, καὶ ἀβλαβῆ περιφρούρησον ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Τὸν δὲ δοῦλόν σου τοῦτον (δεῖνα) Ἱερομονάχον, ὃν ηὐδόκησας Ἡγούμενον καταστῆναι ἐπ' αὐτῆς, ἄμεμπτον διατήρησον, τὰς σὰς ἐντολὰς ἀδιαλείπτως φυλάττοντα, καὶ ἀνυστάκτως τῇ ἐμπιστευθείσῃ αὐτῷ ποίμνῃ ἐπαγρυπνοῦντα, πρὸς τὸ μὴ ἀπολέσθαι ἐξ αὐτῆς πρόβατον μηδὲ ἓν, τῇ τοῦ νοητοῦ λύκου φθαρὲν ἐπηρείᾳ. Ναὶ, Κύριε, ἀνάδειξον τὸν δοῦλόν σου τοῦτον τῆς σῆς ἀγαθότητος ἄξιον, καὶ πάσαις αὐτὸν κατακόσμησον ταῖς ἀρεταῖς, ἵνα, διὰ τῶν ἰδίων ἔργων τύπος ἀγαθὸς τοῖς ὑπ' αὐτὸν γενόμενος, πρὸς ζῆλον αὐτοὺς τῆς ἑαυτοῦ ἀμέμπτου πολιτείας διεγείρῃ, καὶ σὺν αὐτοῖς ἀκατακρίτως παραστῇ τῷ φοβερῷ σου Βήματι.

Ἐκφώνως· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, κ.τ.λ.

Καὶ εὐθὺς εἷς τῶν Ἱερέων λέγει·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

Ὑπὲρ τοῦ Ἐπισκόπου (τοῦ δεῖνος), καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ νυνὶ προχειριζομένου (τοῦ δεῖνος) εἰς Ἡγούμενον καὶ ποιμένα τῆς σεβασμίας Μονῆς (τῆς δεῖνος), τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν ἐν εἰρήνῃ, καὶ ὁμονοίᾳ, καὶ καταστάσει διαφυλάξῃ τὴν αὐτοῦ ἀδελφότητα, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν πάντων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης, τοῦ Κυρίου δεηθῶμεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοσια Κεντρικη Ιστορικη Βιβλιοθηκη Σάμου

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνησις ὑπὸ τοῦ Ἀρχιερέως.

Ὅτι σὺ εἶ ὁ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν, κ.τ.λ.

Εἶτα λέγει· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Ἀρχιερεὺς μυστικῶς.

Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καὶ ἀνάδειξον τὸν δοῦλόν σου τοῦτον, τὸν Καθηγούμενον ταύτης τῆς σεβασμίας Μονῆς, πιστὸν καὶ φρόνιμον οἰκονόμον τῆς ἐμπιστευθείσης αὐτῷ ὑπὸ τῆς σῆς χάριτος λογικῆς ποίμνης, ποιοῦντα ἐν πᾶσι τὸ θέλημά σου, καὶ ἄξιον τῆς ἐπουρανίου σου Βασιλείας γενόμενον.

Ἐκφώνως· Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ.

Καὶ ἐνθρονίζει αὐτὸν μέσον τῆς Ἐκκλησίας ἐπὶ δίφρου· καὶ ἐπαίρων τὸ παλλίον αὐτοῦ, τίθησιν αὐτῷ ἄλλο καινὸν, καὶ λέγει·

Ἐνθρονίζεται ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δεῖνα) ὁ Ἱερομόναχος, εἰς Ἡγούμενον καὶ Ποιμένα τῆς σεβασμίας Μονῆς (τῆς δεῖνος).

Καὶ ὑψοῦσιν αὐτὸν ὅλοι οἱ Μοναχοὶ ἐκ γ΄. λέγοντες· Ἄξιος, ἄξιος, ἄξιος.

Καὶ ἀσπάζεται ὁ Ἀρχιερεὺς τὸν Ἡγούμενον, καὶ ὅλοι οἱ Μοναχοί. Εἶτα παραδίδει ὁ Ἀρχιερεὺς αὐτῷ τὴν βακτηρίαν, λέγων·

Λάβε ταύτην τὴν βακτηρίαν, ἐπ' ἧς στηριζόμενος, τὸ ποίμνιόν σου κυβερνήσεις, ὅτι καὶ λόγον μέλλεις ἀποδοῦναι ὑπὲρ αὐτοῦ τῷ ἡμετέρῳ Θεῷ ἐν ἡμέρᾳ κρίσεως.

Καὶ πολυχρονίζεται ὁ Ἀρχιερεὺς, καὶ ὁ Ἡγούμενος· εἶτα ἄρχεται ἡ Λειτουργία.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΧΕΙΡΟΤΟΝΙΑ,

ΕΙΤ' ΟΥΝ

## Προχειρίσει Ἐκκλησιάρχου, ἢ Οἰκονόμου Μονῆς, ἢ Κελλαρίτου.

Μετὰ τὸν Εὐλογητὸν, Τρισάγιον· Τροπάριον τοῦ Ἁγίου τοῦ ἐν τῷ Ναῷ καὶ Θεοτοκίον· ὁ Διάκονος, λέγει· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ Ἀρχιερεὺς εὔχεται οὕτω·

Σὲ ἱκετεύομεν, πολυεύσπλαγχνε Κύριε, ὁ Θεὸς ἡμῶν, τὸν ἀλάθητον, καὶ ἀνεξερεύνητον, καὶ ἀνερμήνευτον· Ἔπιδε ἐπὶ τὸν δοῦλόν σου (τόνδε), τὸν προχειριζόμενον ἀφ' ἡμῶν τῶν εὐτελῶν καὶ ἀναξίων δούλων σου εἰς διακονίαν τοῦ Ἐκκλησιάρχου τάγματος, καὶ μετὰ φόβου Θεοῦ, ἐν πάσῃ ἰσχύϊ, ἀγογγύςως, ἐν ὑπομονῇ, ἐν ὑπακοῇ, καταξίωσον αὐτὸν διακονεῖν· σὺ γὰρ μείζονας ἀπέφηνας τοὺς διακονοῦντας, ἢ διακονουμένους. Ναὶ, Δέσποτα Κύριε, δὸς αὐτῷ καλῶς τὸ ἐπίταγμα ὑπουργῆσαι, ἵνα τοῦ μισθοῦ τῶν φρονίμων καὶ πιστῶν οἰκονόμων τύχῃ, καθὼς διὰ τοῦ Εὐαγγελίου λέγεις. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ Ἀρχιερεὺς εὔχεται·

Ὁ Θεὸς, ὁ μέγας καὶ θαυμαστὸς, ὁ αἰώνιος, ὁ πρὸ αἰώνων ὑπάρχων, ὁ διὰ τῆς ἀῤῥήτου καθόδου τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σου Πνεύματος ὑποδείξας ἡμῖν τὰς εἰς σωτηρίαν ὁδοὺς· αὐτὸς καὶ νῦν, δεόμεθά σου, Κύριε, ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν δοῦλόν σου (τόνδε), τὸν προσελθόντα εἰς ἔργον διακονίας, εἰς τιμὴν καὶ δόξαν τοῦ ἁγίου σου Ὀνόματος. Ἐνίσχυσον αὐτὸν, Δέσποτα, ἐνδυνάμωσον ἀνελλιπῆ· ἵνα ἐν ὑπομονῇ καὶ καρτερίᾳ πολλῇ τοῦ φόβου σου ἐξυπηρετησάμενος τῇ Ἐκκλησίᾳ σου, καὶ οἰ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

κονομῶν πᾶσι τοῖς τὸ ἅγιόν σου Ὄνομα φοβουμένοις, τύχῃ τῆς μερίδος τῆς παρὰ σοῦ βοηθείας καὶ ἀντιλήψεως, καὶ μὴ ἐκπέσῃ τῶν αἰωνίων σου ἀγαθῶν, ἀλλ' εὕρῃ χάριν καὶ ἔλεος ἐνώπιόν σου διαπαντὸς, διὰ τὴν ἐνέργειαν τοῦ Χριστοῦ σου. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν, καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ, Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΙΣ ΤΟΝ ΕΙΣΕΡΧΟΜΕΝΟΝ ΕΙΣ ΔΙΑΚΟΝΙΑΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΝ.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ἐπαγγελίᾳ, καὶ ἀμεταμέλητος τοῖς χαρίσμασιν· ὁ καλέσας το πλάσμα σου κλήσει ἁγίᾳ, καὶ συναγαγὼν τοὺς δούλους σου εἰς τὴν ἐπουράνιον ταύτην πολιτείαν· αὐτὸς, συνεργὸς αὐτῶν γενόμενος, ἐνδυνάμωσον τὸν δοῦλόν σου τοῦτον, εἰς τὸ διακονεῖν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, αὔξων αὐτὸν, ἐκ δικαίων πόνων δωσόμενον ἑκάστῳ καρπὸν, πρὸς εὐαρέστησιν τῆς σῆς ἀγαθότητος· ἡμῶν δὲ τὰς ψυχὰς ῥύθμισον πρὸς πᾶσαν εὐταξίαν, καὶ κατάστασιν εἰρηνικὴν, εἰς τὸ ἀνασχέσθαι ἀλλήλων ἐν ταπεινώσει ἀληθινῇ καὶ ἀνυποκρίτῳ, χαρισάμενος πᾶσιν ἡμῖν τὴν ἐπουράνιόν σου βασιλείαν. Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ Ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΧΕΙΡΟΤΟΝΙᾼ ΑΝΑΓΝΩΣΤΟΥ, ΚΑΙ ΨΑΛΤΟΥ.

Προσαγόμενος τῷ Ἀρχιερεῖ ὁ τοιοῦτος, εἰ μὲν κοσμικός ἐστι, μετὰ ἱματίου, ἀσκεπής· εἰ δὲ Μοναχὸς, μετὰ μανδύου· καὶ σφραγίζεται τρίτον τὴν κεφαλὴν παρὰ τοῦ Ἀρχιερέως, καὶ κείρεται παρ' αὐτοῦ σταυροειδῶς, λέγοντος·

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· ἐπιφωνούντων καθ' ἑκάστην ἐπίκλησιν τῶν συμπαρόντων τὸ, Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα τέλεον ὑπό τινος εἰς Κληρικοῦ κείρεται σχῆμα. Καὶ οὕτω πάλιν τῷ Ἀρχιερεῖ προσάγεται· καὶ αὐτὸς λαμβάνων Φελόνιον ἐνδύδισκει· καὶ τρίτον τὴν τούτου κεφαλὴν σφραγίζων, ἐπιτίθησιν αὐτῷ τὴν χεῖρα τὴν δεξιὰν, καὶ εὔχεται οὕτω·

**Κύριε, ὁ Θεὸς ὁ Παντοκράτωρ, ἔκλεξαι τὸν δοῦλόν σου τοῦτον, καὶ ἁγίασον αὐτόν· καὶ δὸς αὐτῷ, μετὰ πάσης σοφίας καὶ συνέσεως, τῶν θείων σου λογίων τὴν μελέτην καὶ ἀνάγνωσιν ποιεῖσθαι, διαφυλάττων αὐτὸν ἐν ἀμέμπτῳ πολιτείᾳ. Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σȣ Υἱοῦ, μεθ' ȣ̃ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σȣ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ τȣ̀ς αἰῶνας τῶν αἰώνων.**

Καὶ μετὰ τὴν ἐκφώνησιν, δίδοται τῷ Ἀναγνώστῃ Βιβλίον Ἀποστολικόν· καὶ ὀλίγον ἀναγινώσκων, λαμβάνει παρὰ τοῦ Ἀρχιερέως εἰρήνην.

Εἰδὲ Ψάλτης ἐστὶ, λέγει ἀπὸ τοῦ Ψαλτηρίου Προκείμενον.

Εἰδὲ εἰσὶ καὶ πλείονες οἱ χειροτονούμενοι Ἀναγνῶσται, χειροτονοῦνται ὁμοῦ, καὶ λέγεται ἡ Εὐχὴ πληθυντικῶς.

Ἰστέον δὲ ὅτι, ὅτε οὐκ ἔστι Λειτουργία, ποιεῖ ὁ Ἀρχιερεὺς Εὐλογητὸν, καὶ ψάλλεται τὸ, **Βασιλεῦ οὐράνιε**· Τρισάγιον· **Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστι**· καὶ τὸ Τροπάριον τῆς ἡμέρας· εἶτα γίνεται ἡ Ἀκολουθία, ὡς προεγράφη.

---

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΧΕΙΡΟΤΟΝΙᾼ ΥΠΟΔΙΑΚΟΝΟΥ.

Τοῦ Ἀρχιερέως καθεζομένου ἐπὶ τῆς ὡραίας Πύλης, πρὸ τοῦ ἄρξασθαι τῆς Λειτουργίας, προσάγεται τῷ Ἀρχιερεῖ ὁ μέλλων χειροτονεῖσθαι Ὑποδιάκονος, εἰ μὲν κοσμικός ἐστι, μετὰ Φελονίου, εἰδὲ Μοναχὸς, μετὰ Μανδύου. Κελεύει δὲ ὁ Ἀρχιερεὺς ἀποδύσασθαι τοῦτον τὸ Φελόνιον, ἢ τὸν Μανδύαν, καὶ ἐνδύσασθαι Στοιχάριον, καὶ ζώσασθαι· κομισθῆναι δὲ Χερνιβόξεστον, καὶ μανδήλιον. Εἶτα σφραγίζων τρὶς τὴν αὐτοῦ κεφαλὴν, καὶ ἐπιθεὶς αὐτῷ τὴν δεξιὰν χεῖρα, τοῦ Διακόνου λέγοντος, **Τοῦ Κυρίου δεηθῶμεν**, ὁ Ἀρχιερεὺς λέγει τὴν Εὐχὴν ταύτην·

**Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ Ἁγίου Πνεύματος, διαιρῶν ἑκάςῳ, ὧν ἐξελέξω, τὰ χαρίσματα**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ὁ τάγματα διάφορα τῇ Ἐκκλησίᾳ σου δωρησάμενος, καὶ βαθμοὺς λειτουργίας καταστησάμενος ἐν αὐτῇ, πρὸς ὑπηρεσίαν τῶν ἁγίων σου καὶ ἀχράντων Μυστηρίων· ὁ τῇ σῇ ἀῤῥήτῳ προγνώσει ὁρίσας καὶ τοῦτον τὸν δοῦλόν σου ἄξιον εἶναι τοῦ ὑπηρετεῖν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ· αὐτός, Δέσποτα, ἀκατάγνωστον αὐτὸν ἐν πᾶσι διαφύλαξον· καὶ δὸς αὐτῷ ἀγαπᾷν εὐπρέπειαν Οἴκου σου, παρεστάναι ταῖς θύραις τοῦ Ναοῦ τοῦ ἁγίου σου, ἀνάπτειν λύχνον σκηνώματος δόξης σου, καὶ φύτευσον αὐτὸν ἐν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, ὡς ἐλαίαν κατάκαρπον, καρποφοροῦντα καρπὸν δικαιοσύνης· καὶ τέλειον ἀνάδειξον δοῦλόν σου ἐν καιρῷ τῆς Παρουσίας σου, τῆς τῶν εὐαρεστησάντων σοι ἀπολαῦσαι ἀμοιβῆς.

**Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Καὶ μετὰ τὴν ἐκφώνησιν, δεχόμενος ὁ Ἀρχιερεὺς τὸ μανδήλιον, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ τοῦ Χειροτονουμένου· ὁμοίως δίδωσιν αὐτῷ καὶ τὸ Χερνιβόξεστον. Ὁ δὲ λαβὼν, ἀσπάζεται τὴν χεῖρα αὐτοῦ, καὶ βάλλει ὕδωρ εἰς τὰς χεῖρας αὐτοῦ, καὶ νίπτεται ὁ Ἀρχιερεύς· ὁ δὲ Χειροτονούμενος λέγει καὶ τὸ, **Ὅσοι πιστοί**, τρίς. Καὶ οὕτω λαμβάνων εὐλογίαν, ἀπερχόμενος ἵσταται ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, καὶ λέγει τὸ Τρισάγιον· **Παναγία Τριάς· Πάτερ ἡμῶν·** τὸ, **Κύριε ἐλέησον· Πιστεύω εἰς ἕνα Θεόν· Ἄνες, ἄφες, συγχώρησον·** καὶ εἴτι ἄλλο δόξει αὐτῷ εἰπεῖν μυστικῶς. Μετὰ δὲ τὴν μεγάλην Εἴσοδον, ὅταν θυμιᾷ ὁ Διάκονος τὴν ἁγίαν Τράπεζαν, πάλιν νίπτεται ὁ Ἀρχιερεὺς εἰς τὸ λεκανίδιον, ὅπερ φέρει ὁ μέλλων χειροτονεῖσθαι. Εἰσοδεύει δὲ καὶ αὐτὸς εἰς τὴν μεγάλην Εἴσοδον, πάντων ἐξόπισθεν, κρατῶν καὶ τὸ Χερνιβόξεστον, καὶ τὰ ἑξῆς. Καὶ μετὰ τὴν Εἴσοδον, εἰσέρχονται ὅλοι εἰς τὸ ἅγιον Θυσιαστήριον, πλὴν αὐτὸς μένει ἔξω, ἑστὼς εἰς τὸν συνήθη τόπον.

Οὕτω γίνεται καὶ εἴπερ εἰσὶν οἱ χειροτονούμενοι πολλοί, τῆς Εὐχῆς ὑπαλλασσομένης πρὸς τοὺς πολλούς.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΑΡΧΑΡΙΟΝ ΡΑΣΟΦΟΡΟΥΝΤΑ

Ποιεῖ ὁ Ἱερεὺς Εὐλογητόν· τὸ Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστιν. Τροπάριον, Ἦχος πλ. β'. Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον· Δόξα, Κύριε ἐλέησον ἡμᾶς. Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην. Εἶτα τὴν παροῦσαν Εὐχήν.

Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὸ πολὺ ἔλεός σου ῥυσάμενος τὸν δοῦλόν σου (τόνδε) ἐκ τῆς ματαίας τοῦ κόσμου ζωῆς, καὶ καλέσας αὐτὸν εἰς τὸ σεμνὸν τοῦτο ἐπάγγελμα· ἀξίωσον οὖν αὐτὸν ζῆσαι ἀξίως ἐν τῇ Ἀγγελικῇ ταύτῃ πολιτείᾳ· καὶ φύλαξον αὐτὸν ἐκ τῶν παγίδων τοῦ διαβόλου, καὶ καθαρὰν αὐτοῦ τὴν ψυχὴν καὶ τὸ σῶμα διατήρησον ἕως θανάτου, καὶ ναὸν ἅγιόν σου γενέσθαι καταξίωσον· συνέτισον αὐτὸν μνημονεύειν σου διαπαντὸς, καὶ τὴν τῶν σῶν προσταγμάτων ταπείνωσιν, καὶ ἀγάπην, καὶ πρᾳότητα δώρησαι αὐτῷ· πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

Τοῦ Κυρίου δεηθῶμεν.

Εἰς τὸν ζυγόν σου, Δέσποτα, τὸν σωτήριον, πρόσδεξαι τὸν δοῦλόν σου (τὸν δεῖνα), καὶ καταξίωσον αὐτὸν ἐν τῇ ποίμνῃ συνταγῆναι τῶν ἐκλεκτῶν σου· ἔνδυσον αὐτὸν ἁγιασμοῦ στολήν· σωφροσύνῃ περίζωσον τὴν ὀσφὺν αὐτοῦ· πάσης αὐτὸν ἐγκρατείας ἀνάδειξον ἀγωνιστήν· ἐν αὐτῷ καὶ ἐν ἡμῖν τὴν τῶν πατρικῶν σου χαρισμάτων τελείαν δωρεὰν ἐναπομένειν ἀξίωσον· πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

Εἶτα κουρεύει αὐτὸν σταυροειδῶς, λέγων·

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· (λέγων ἐκ τρίτου τό, Ἀμήν).

Καὶ ἐνδύει αὐτὸν χιτῶνα, καὶ Καμαλαύχιον, μηδὲν ἐπιλέγων. Καὶ Ἀπόλυσις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΜΙΚΡΟΥ ΣΧΗΜΑΤΟΣ

ΗΤΟΙ

## ΤΟΥ ΜΑΝΔΥΟΥ.

Μετὰ τὸ κρουσθῆναι τὸ μικρὸν, καὶ ἄρξασθαι τοὺς Ἀδελφοὺς τῶν Ὡρῶν, εἰσφέρει ὁ Ἐκκλησιάρχης τὸν μέλλοντα ἀποκαρῆναι, καὶ ποιεῖ γονυκλισίας ἔμπροσθεν τῶν ἁγίων Θυρῶν καὶ εἰς τοὺς Χοροὺς ἀνὰ μίαν, εἶτα τῷ Ἡγουμένῳ· καὶ τότε ἐξελθὼν ἐν τῷ Νάρθηκι, ἀποτίθεται τὰ συνήθη ἱμάτια. Καὶ ἀρξαμένης τῆς θείας Λειτουργίας, ἵσταται ἐπὶ τῶν βασιλικῶν πυλῶν ἄζωστος, ἀνυπόδετος, καὶ ἀσκεπής.

Ψαλλομένων δὲ τῶν Ἀντιφώνων, μετὰ τὴν Εἴσοδον, λέγεται τὸ Κοντάκιον τῆς ἡμέρας εἰς τὸ, **Δόξα**· εἰς δὲ τὸ, **Καὶ νῦν**, ψάλλεται τὸ παρὸν Τροπάριον.

Ἦχος α'. **Τὸν τάφον σου Σωτήρ.**

**Ἀγκάλας πατρικὰς, διανοῖξαί μοι σπεῦσον· ἀσώτως τὸν ἐμὸν, κατηνάλωσα βίον· εἰς πλοῦτον ἀδαπάνητον, ἀφορῶν τῶν οἰκτιρμῶν σου Σωτὴρ, νῦν πτωχεύουσαν, μὴ ὑπερίδῃς καρδίαν· σοὶ γὰρ Κύριε, ἐν κατανύξει κραυγάζω· Ἥμαρτον Πάτερ, εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου.**

Τούτου δὲ ψαλλομένου τρὶς, εἰσάγεται παρὰ τοῦ Ἐκκλησιάρχου ὁ Ἀδελφὸς, ποιῶν κατὰ τρεῖς τόπους γονυκλισίας ἀνὰ τρεῖς, μέχρι τῶν ἁγίων Θυρῶν.

Καὶ ἀναστάντα κατηχεῖ αὐτὸν ὁ Ἡγούμενος οὕτως·

**Ἄνοιξον τὰ τῆς καρδίας σου ὦτα, Ἀδελφὲ, καὶ ἄκουσον τῆς φωνῆς τοῦ Κυρίου, λεγούσης· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κᾀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Νῦν οὖν τὴν προσήκουσαν ἀπόκρισιν πρὸ ἑκάστης τῶν**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἐρωτήσεων, μετὰ φόβου καὶ χαρᾶς, ἀπόδος τῷ Θεῷ. Ἀσφαλῶς οὖν γίνωσκε, ὅτι αὐτὸς ὁ Σωτὴρ ἡμῶν, μετὰ τῆς πανυμνήτου αὐτοῦ Μητρὸς, καὶ τῶν Ἁγίων Ἀγγέλων, καὶ πάντων τῶν Ἁγίων αὐτοῦ, ἐνταῦθα πάρεστι, ἐνωτιζόμενος τὰ παρὰ σοῦ ἐκπορευόμενα λόγια· ἵνα, ὅταν ἔλθῃ κρῖναι ζῶντας καὶ νεκροὺς, ἀποδώσῃ σοι, οὐ καθ' ὃ μέλλεις συνταγῆναι καὶ καθομολογῆσαι, ἀλλὰ καθ' ὃ ἂν φυλάξαις, ἃ προσομολογήσεις. Νῦν οὖν, εἰ ἐν ἀληθείᾳ προσέρχῃ τῷ Θεῷ, μετὰ προσοχῆς ἀποκρίνου ἡμῖν, πρὸς ἃ μέλλεις ἐπερωτᾶσθαι.

Ἐρώτησις. Τί προσῆλθες, Ἀδελφὲ, προσπίπτων τῷ ἁγίῳ Θυσιαστηρίῳ, καὶ τῇ ἁγίᾳ Συνοδίᾳ ταύτῃ;

Ἀπόκρισις. Ποθῶν τὸν βίον τῆς ἀσκήσεως, τίμιε Πάτερ.

Ἐρώτησις. Ποθεῖς ἀξιωθῆναι τοῦ Ἀγγελικοῦ Σχήματος, καὶ καταταγῆναι ἐν τῷ χορῷ τῶν Μοναζόντων;

Ἀπόκρισις. Ναὶ, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.

Ὁ Ἱερεύς.

Ὄντως καλὸν ἔργον καὶ μακάριον ἐξελέξω, ἀλλ' ἐὰν καὶ τελειώσῃς· τὰ γὰρ καλὰ ἔργα κόπῳ κτῶνται, καὶ πόνῳ κατορθοῦνται.

Ἐρώτησις. Ἑκουσίᾳ σου τῇ γνώμῃ προσέρχῃ τῷ Κυρίῳ;

Ἀπόκρισις. Ναὶ, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.

Ἐρώτησις. Μὴ ἔκ τινος ἀνάγκης, ἢ βίας;

Ἀπόκρισις. Οὐχὶ, τίμιε Πάτερ.

Ἐρώτησις. Παραμένεις τῷ Μοναστηρίῳ, καὶ τῇ ἀσκήσει, ἕως ἐσχάτης σου ἀναπνοῆς;

Ἀπόκρισις. Ναὶ, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.

Ἐρώτησις. Φυλάττεις σεαυτὸν ἐν παρθενίᾳ, καὶ σωφροσύνῃ, καὶ εὐλαβείᾳ;

Ἀπόκρισις. Ναὶ, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.

Ἐρώτησις. Σώζεις μέχρι θανάτου τὴν ὑπακοὴν τῷ Προεστῶτι, καὶ πάσῃ τῇ ἐν Χριστῷ Ἀδελφότητι;

Ἀπόκρισις. Ναὶ, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.

Ἐρώτησις. Ὑπομένεις πᾶσαν θλίψιν καὶ στενοχωρίαν τοῦ μονήρους βίου, διὰ τὴν Βασιλείαν τῶν οὐρανῶν;

Ἀπόκρισις. Ναὶ, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα λέγει ὁ Ἱερεὺς τὴν Κατήχησιν.

Βλέπε, Τέκνον, οἵας συνθήκας δίδως τῷ Δεσπότῃ Χριστῷ· Ἄγγελοι γὰρ πάρεισιν ἀοράτως, ἀπογραφόμενοι τὴν ὁμολογίαν σου ταύτην, ἣν καὶ μέλλεις ἀπαιτεῖσθαι ἐν τῇ δευτέρᾳ Παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὑφηγοῦμαι οὖν σοι τὴν τελειοτάτην ζωὴν, ἐν ᾗ κατὰ μίμησιν ἡ τοῦ Κυρίου πολιτεία διαδείκνυται, διαμαρτυρόμενος ἅπερ χρὴ ἀσπάσασθαί σε, καὶ ὧνπερ δέον ἐκφυγεῖν. Ἰδοὺ γὰρ προέθου, Τέκνον, τὸ προσελθεῖν καὶ δουλεύειν τῷ Κυρίῳ. Εἰ οὖν βούλει Μοναχὸς γενέσθαι, πρὸ πάντων καθάρισον σεαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελῶν ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. Κτῆσαι ταπεινοφροσύνην, δι᾽ ἧς κληρονόμος γενήσῃ τῶν αἰωνίων ἀγαθῶν· ἀπόθου τῆς βιωτικῆς συνηθείας τὸ θράσος· ὑπακοὴν ἔχε πρὸς πάντας· ἀγόγγυστος ἔσο ἐν ταῖς ἐπιτασσομέναις σοι διακονίαις· ἐν τῇ εὐχῇ καρτερικός· ἐν ταῖς ἀγρυπνίαις μὴ κατόκνει· ἐν τοῖς πειρασμοῖς μὴ ἀθύμει· ἐν τῇ νηστείᾳ μὴ ἐκλύου. Γίνωσκε δὲ, ὅτι διὰ προσευχῆς καὶ νηστείας δεῖ ἐξιλεώσασθαί σε τὸν Θεόν. Ἐν ταῖς ἀσθενείαις μὴ ὀλιγώρει· ἐπιτήρει δὲ τοὺς πονηροὺς λογισμούς· οὐ γὰρ μέλλει παύσασθαι ὁ ἐχθρὸς, ὑποβάλλων σοι μνήμην τȣ͂ προτέρου βίȣ, καὶ μῖσος πρὸς τὴν ἐνάρετον πολιτείαν. Χρὴ ȣ͂ν σε, ἀρξάμενον τῆς ὁδοῦ, τῆς ἀπαγούσης ἐπὶ τὴν Βασιλείαν τῶν οὐρανῶν, μὴ στραφῆναι εἰς τὰ ὀπίσω· οὐ γὰρ εὔθετος ἔσῃ εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν. Μὴ οὖν προτιμήσῃς τι τοῦ Θεοῦ· μὴ ἀγαπήσῃς μήτε πατέρα, μήτε μητέρα, μήτε ἀδελφοὺς, μήτε τινὰ τῶν ἰδίων, μήτε σεαυτὸν ἀγαπήσῃς ὑπὲρ τὸν Θεόν· μὴ τὰς βασιλείας τοῦ κόσμου, ἢ ἀνάπαυσιν οἱανδήποτε καὶ τιμήν· μὴ πτωχείαν ἀποστραφῇς, μὴ κακουχίαν, μὴ ἐξουδένωσιν ἀνθρώπων, μήτε ἄλλο τι, ὃ νομίζεις εἶναι δυσχερὲς, καὶ κωλυθῇς τρέχειν ὀπίσω τοῦ Χριστοῦ. Ἀλλ᾽ ἀεὶ ἐνοπτριζόμενος τὰ ἐν ἐλπίσι τῶν κατὰ Θεὸν ζώντων ἀγαθὰ, καὶ τοὺς ἀπ᾽ αἰῶνος λογιζόμενος Μάρτυρας, καὶ Ὁσίους, οἳ πολλοῖς ἱδρῶσι, καὶ πόνοις, καὶ μυρίοις αἵμασι, καὶ θανάτοις ταῦτα ἐκτήσαντο, νῆφε ἐν πᾶσι· κακοπάθησον, ὡς καλὸς στρατιώτης Χριστοῦ, ὃς, πλούσιος ὢν ἐν ἐλέει, δι᾽ ἡμᾶς ἐπτώχευσε, γενόμενος καθ᾽

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἡμᾶς, ἵνα ἡμεῖς πλουτήσωμεν τὴν βασιλείαν αὐτοῦ. Καὶ δεῖ οὖν καὶ ἡμᾶς μιμητὰς γενέσθαι αὐτοῦ, καὶ δι' αὐτὸν πάντα ὑπομεῖναι, προκόπτοντας ἐν ταῖς ἐντολαῖς αὐτοῦ ἡμέρας καὶ νυκτός· αὐτὸς γὰρ ὁ Κύριος εἶπεν· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· ὅπερ ἐςὶ, παρεσκευασμένον ἀεὶ εἶναι μέχρι θανάτου πρὸς πᾶσαν ἐκπλήρωσιν τῶν αὐτοῦ ἐντολῶν· καὶ γὰρ πεινᾶσαι ἔχεις, καὶ διψῆσαι, καὶ γυμνητεῦσαι, ὑβρισθῆναί τε, καὶ χλευασθῆναι, ὀνειδισθῆναί τε καὶ διωχθῆναι, καὶ πολλοῖς ἄλλοις περιαχθῆναι λυπηροῖς, οἷς ἡ κατὰ Θεὸν ζωὴ χαρακτηρίζεται (*)· καὶ ὅταν ταῦτα πάντα πάθῃς, Χαῖρε, φησὶν, ὅτι ὁ μισθός σου πολὺς ἐν τοῖς οὐρανοῖς, ἐν Χριςῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐρώτησις. Ταῦτα πάντα οὕτω καθομολογεῖς, ἐπ' ἐλπίδι τῆς δυνάμεως τοῦ Θεοῦ, καὶ ἐν ταύταις ταῖς ὑποσχέσεσι διακαρτερεῖν συντάσσῃ μέχρι τέλους ζωῆς, χάριτι Χριστοῦ;

Ἀπόκρισις. Ναὶ, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.

Καὶ εὐθὺς ἐπεύχεται ὁ Ἱερεὺς κατὰ ἀνατολάς·

Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος, ὁ τὰ ἄχραντα σπλάγχνα τῆς αὐτοῦ ἀνεξιχνιάςου ἀγαθότητος ὑπανοίγων παντὶ τῷ προσερχομένῳ αὐτῷ, πόθῳ καὶ ἀγάπῃ θερμῇ· ὁ εἰπὼν, ὅτι ἐπιλήσεται γυνὴ τὰ ἔκγονα αὐτῆς, ἢ ἐγὼ ἐπιλήσομαί σου· ὁ καὶ τὸν σὸν πόθον εἰδὼς, καὶ τῇ προθέσει σου ἐπιβάλλων τὴν παρ' ἑαυτοῦ δύναμιν πρὸς ἐκπλήρωσιν τῶν αὐτοῦ ἐντολῶν, ἐπιλάβοιτο, καὶ ἐπαγκαλίσαιτο, καὶ ὑπερασπίσαι σου, καὶ γένοιτό σοι τεῖχος ὀχυρὸν ἀπὸ προσώπου ἐχθροῦ, πέτρα ὑπομονῆς, παρακλήσεως ἀφορμὴ, εὐτονίας χορηγὸς, εὐψυχίας πορισμὸς, ἀνδρίας συναγωνιςής· συγκοιταζόμενος, συνανιστάμενος, γλυκαίνων καὶ εὐφραίνων σου τὴν καρδίαν τῇ παρακλήσει τοῦ Ἁγίου αὐτοῦ Πνεύματος, ἀξιῶν σε καὶ τῆς μερίδος τῶν ἁγίων καὶ ὁσίων Πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάββα, καὶ τῶν σὺν αὐτοῖς. (Ἐπὶ δὲ Γυναικῶν λέγεται· τῆς ἁγίας Πρωτομάρτυρος Θέκλης, Εὐπραξίας,

(*) Τὸ Χειρόγραφον ἔχει, κεχαρακτήρισται.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὀλυμπιάδος, καὶ τῶν σὺν αὐταῖς)· μεθ' ὧν καὶ κληρονομήσαις τὴν Βασιλείαν τῶν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ βασιλεία, καὶ ἡ δύναμις, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα, κλίναντος αὐτοῦ τὴν κεφαλὴν, καὶ τοῦ Διακόνου εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν· τίθησιν ὁ Ἱερεὺς ἐπάνω αὐτοῦ τὸ σχηματολόγιον, καὶ λέγει τὴν Εὐχὴν ταύτην εἰς ἐπήκοον πάντων·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους εἶναι νομοθετήσας τοὺς τὰ βιωτικὰ πάντα καταλιπόντας, καὶ συγγένειαν, καὶ φίλους, καὶ ἀκολουθήσαντάς σοι, πρόσδεξαι καὶ τὸν δοῦλόν σου (τόνδε), τὸν ἀποταξάμενον πᾶσι τούτοις, κατὰ τὰς θείας σου ἐντολὰς, καὶ ὁδήγησον αὐτὸν ἐν τῇ ἀληθείᾳ σου, προσπίπτοντά σοι ἀμετεωρίστως· τείχισον αὐτὸν ἐν τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, εἰς τὸ μὴ δύνασθαι ἐνεργεῖν κατ' αὐτοῦ πᾶσαν ἐναντίαν μηχανὴν, ὑπομονὴν αὐτῷ δωρούμενος, πρὸς τὸ εὐαρεστεῖν σοι διαπαντός· πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὅτι εὐλόγηται, καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Ἱερεύς·

Κύριε, ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν ἐλπιζόντων ἐπὶ σὲ, ὁ διαφόρους ὁδοὺς σωτηρίας ἡμῖν ὑποδείξας, διὰ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ σου, πρόσδεξαι τὸν δοῦλόν σου (τόνδε), τὸν ἀπολιπόντα τὰς κοσμικὰς ἐπιθυμίας, καὶ ἑαυτὸν προσενέγκαντα σοὶ τῷ Δεσπότῃ θυσίαν ζῶσαν, εὐάρεστον. Περίελε ἀπ' αὐτοῦ πᾶσαν σαρκικὴν ἐπιθυμίαν, καὶ τὰς ἀλόγους προλήψεις· ἵνα, τῇ ἀφαιρέσει τῶν ἀναισθήτων τριχῶν, συναποβάληται καὶ τὰς ἀλόγους ἐνθυμήσεις τε, καὶ πράξεις, καὶ ἀξιωθῇ ἀναλαβεῖν τὸν ζυγόν σου τὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Χίου

χρηστὸν, καὶ τὸ ἐλαφρόν σου φορτίον, καὶ ἆραι τὸν σταυρὸν, καὶ ἀκολουθῆσαί σοι τῷ Δεσπότῃ. Διατήρησον αὐτὸν εἰς τὸν σὸν ἁγιασμὸν, καὶ δώρησαι αὐτῷ πρόθεσιν ἀγαθὴν ἐν τῇ τηρήσει τῶν ἁγίων σου ἐντολῶν, συναριθμῶν αὐτὸν ἐν καιρῷ εὐθέτῳ τῷ χορῷ τῶν ἐκλεκτῶν σου. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἐκτείνει τὴν χεῖρα εἰς τὸ ἅγιον Εὐαγγέλιον ὁ Ἱερεὺς, λέγων·

Ἰδοὺ ὁ Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι. Βλέπε, ὅτι οὐδεὶς σε ἀναγκάζει ἐλθεῖν ἐπὶ τοῦτο τὸ σχῆμα. Βλέπε, ὅτι σὺ ἐκ προθέσεως θέλεις τὸν ἀῤῥαβῶνα τοῦ μεγάλου, καὶ ἀγγελικοῦ Σχήματος.

Ἀπόκρισις. Ναὶ, τίμιε Πάτερ, ἐκ προθέσεως.

Καὶ μετὰ τὸ συντάξασθαι, ἐπιθεὶς ὁ Ἱερεὺς τὸ ψαλίδιον ἐπὶ τοῦ Ἱεροῦ Εὐαγγελίου, λέγει πρὸς αὐτόν·

Λάβε τὸ ψαλίδιον, καὶ ἐπίδος μοι αὐτό. Ὅπερ λαβὼν ὁ Ἱερεὺς, καὶ αὖθις ἐπιθεὶς τῷ Εὐαγγελίῳ, λέγει πάλιν πρὸς αὐτὸν τὰ αὐτά. Τούτου δὲ τρὶς γενομένου, τελευταῖον ἐπιδόντος αὐτοῦ τὸ ψαλίδιον, λέγει πρὸς αὐτὸν ὁ Ἱερεύς·

Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ λαμβάνεις αὐτό· Βλέπε δὲ τίνι προσέρχῃ, τίνι συντάσσῃ, καὶ τίνι ἀποτάσσῃ.

Μετὰ ταῦτα, κρατῶν ὁ Ἱερεὺς τὸ ψαλίδιον, λέγει·

Εὐλογητὸς ὁ Θεὸς, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα κουρεύει αὐτὸν ὁ Ἱερεὺς σταυροειδῶς, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Καὶ ψάλλεται παρὰ τῶν Ἀδελφῶν τὸ, Κύριε ἐλέησον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα ἐνδύει αὐτὸν τὸ ἱμάτιον, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) ἐνδύεται χιτῶνα ἀγαλλιάσεως, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Εἶτα τὴν ζώνην, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) περιζώννυται τὴν ὀσφὺν αὐτοῦ δύναμιν ἀληθείας, εἰς νέκρωσιν σώματος, καὶ ἀνακαίνισιν πνεύματος, ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Εἶτα τὸ καμαλαύχιον, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) καλύπτεται περικεφαλαίαν ἐλπίδα σωτηρίας, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Εἶτα τὸ παλλίον, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) λαμβάνει τὸ παλλίον, τὸν ἀῤῥαβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ Σχήματος, εἰς στολὴν ἀφθαρσίας καὶ σεμνότητος, ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Εἶτα ὑποδύει τὰ σανδάλια, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) ὑποδεῖται τὰ σανδάλια εἰς ἑτοιμασίαν τοῦ Εὐαγγελίου τῆς εἰρήνης, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Εἶτα ἐνδύει τὸν μανδύαν, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) ἔλαβε τὸν ἀῤῥαβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ Σχήματος, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Εἶτα· Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου (τὸν δεῖνα) εἰς τὴν πνευματικήν σου αὐλὴν, καὶ συγκαταρίθμησον



αὐτὸν τῷ λογικῷ σου ποιμνίῳ. Κάθαρον αὐτοῦ τὸ φρόνημα ἀπὸ τῶν σαρκικῶν ἐπιθυμιῶν, καὶ τῆς κενῆς ἀπάτης τȣ̃ βίȣ τούτου· καὶ δὸς αὐτῷ ἀδιαλείπτως μνημονεύειν τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσί σε, καὶ σταυρώσασιν ἑαυτοὺς τῷ βίῳ, διὰ τὴν βασιλείαν σου. Σὺ γὰρ εἶ ὁ ποιμὴν καὶ ἐπίσκοπος τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν.

Καὶ εἰ μὲν οὐκ ἔϛι Λειτουργία, λέγονται τὰ Εἰρηνικὰ ταῦτα, καὶ τὸ Ἀποστολευάγγελον· καὶ δίδοται τῷ ἀποκαρέντι κηρὸς, τὸ ἅγιον Εὐαγγέλιον, ἢ Σταυρός· καὶ γίνεται ὁ Ἀσπασμός.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον·

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου.

Ὑπὲρ τοῦ Ἀδελφοῦ ἡμῶν (τοῦδε), καὶ τῆς παρὰ Θεοῦ σκέπης, καὶ βοηθείας αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀμέμπτως, ἀκατακρίτως, καὶ ἀνεμποδίστως διανῦσαι αὐτὸν τὸν σκοπὸν τοῦ μοναδικοῦ Σχήματος, τοῦ Κυρίȣ δεηθῶμεν.

Ὑπὲρ τοῦ διάγειν αὐτὸν ἐν πάσῃ εὐσεβείᾳ, καὶ εὐλαβείᾳ, καὶ σεμνότητι, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀποθέσθαι αὐτὸν τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδύσασθαι τὸν νέον, τὸν κατὰ Θεὸν κτισθέντα, τȣ̃ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως, καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνησις. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

Προκείμενον. Κύριος φωτισμός μου καὶ σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ Ἀπόστολος.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ϛ'. 10.

Ἀδελφοί, ἐνδυναμῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ ἔςιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτȣ, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Διὰ τῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι, στῆναι. Στῆτε οὖν, περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίςεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐςι ῥῆμα Θεοῦ. Ἀλληλούϊα. Οὗτος ὁ πτωχὸς ἐκέκραξε.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. ί 37.

Εἶπεν ὁ Κύριος· Ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔςι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν, ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷος εἰμὶ, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεώμεθα ὑπὲρ ἀφέσεως, καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (τοῦδε).

Ὁ Ἱερεύς·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ δίδωσιν αὐτῷ τὸν Σταυρὸν, λέγων·

Εἶπεν ὁ Κύριος· Εἴτις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

Καὶ τὸ κηρίον ἁπτόμενον, λέγων·

Εἶπεν ὁ Κύριος· Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Καὶ γίνεται ὁ ἀσπασμὸς, ψάλλοντες τὸ παρὸν Ἰδιόμελον, Ἦχος α΄.

Ἐπιγνῶμεν, ἀδελφοὶ, τοῦ μυστηρίου τὴν δύναμιν· τὸν γὰρ ἐκ τῆς ἁμαρτίας πρὸς τὴν πατρικὴν ἑστίαν ἀναδραμόντα Ἄσωτον Υἱὸν, ὁ πανάγαθος Πατὴρ προϋπαντήσας ἀσπάζεται, καὶ πάλιν τῆς ἰδίας δόξης χαρίζεται τὰ γνωρίσματα, καὶ μυστικὴν τοῖς ἄνω ἐπιτελεῖ εὐφροσύνην, θύων τὸν μόσχον τὸν σιτευτόν· ἵνα ἡμεῖς ἀξίως πολιτευσώμεθα τοῦ τε θύσαντος φιλανθρώπου Πατρὸς, καὶ τοῦ ἐνδόξου θύματος, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ μετὰ τὸν ἀσπασμὸν, γίνεται Ἀπόλυσις.

Ἰστέον ὅτι, ὁ τοιοῦτος Μοναχὸς ὀφείλει προσκαρτερεῖν ἐν τῇ Ἐκκλησίᾳ ἡμέρας πέντε, σχολάζων ἀπὸ παντὸς ἔργου, πλὴν ἀναγνώσεως, εἰ ἐπίσταται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΜΕΓΑΛΟΥ

## ΚΑΙ ΑΓΓΕΛΙΚΟΥ ΣΧΗΜΑΤΟΣ.

Ἀφ' ἑσπέρας εἰσφέρονται τὰ ἱμάτια τοῦ μέλλοντος λαβεῖν τὸ ἅγιον Σχῆμα, ἐν τῷ ἁγίῳ Θυσιαστηρίῳ, καὶ ἀποτίθενται ἐν τῷ θαλασσιδίῳ τῆς ἁγίας Τραπέζης.

Εἰς δὲ τὸν Ὄρθρον ψάλλεται ὁ παρὼν Κανών, οὗ ἡ ἀκροστ.

**Εὐδόκιμον τέλος εὐδοκίμῳ μοι Χριστὲ παράσχου (*).**

Ὠδὴ α'. Ἦχος β'. **Δεῦτε λαοί.**

Ἐπὶ τὴν σήν, φιλανθρωπίαν δραμόντα Χριστέ, τὸν τῷ ἁγίῳ Σχήματι νῦν προσερχόμενον, ψυχικῇ διαθέσει, καὶ γνώμῃ φιλαρέτῳ, Σῶτερ ὑπόδεξαι.

Ὑπεισελθεῖν, τὸν σὸν χρηστόν με ζυγὸν ἀγαθέ, καὶ τὸ φορτίον Δέσποτα αἴρειν ἀξίωσον, τῶν πολλῶν μου πταισμάτων, τὸν φόρτον ἀφανίζων, ὡς πολυέλεος.

Διαφυγεῖν, τῆς ἁμαρτίας τὸν ὄλισθον, ἀπὸ τοῦ νῦν εὐδόκησον, τῶν πεπραγμένων μοι, ἀμετρήτων πταισμάτων, τοὺς τύπους ἐξαλείφων, δρόσῳ τῆς χάριτος.

Ὁ δι' ἡμᾶς, σάρκα φορέσας καὶ θάνατον, ὑπὲρ ἡμῶν ὡς εὔσπλαγχνος καταδεξάμενος, σαρκικῶν μολυσμάτων, καθάρισον Οἰκτίρμον, τὸν προσιόντα σοι.

Θεοτοκίον.

Καταφυγήν, καὶ προστασίαν καὶ σκέπην σε, περιφανῆ πλουτήσαντες, οἱ Θεοτόκον σε, Παναγία φρονοῦντες, τῆς θείας ἐποπτείας (**) καταξιούμεθα.

(*) Ἐν τῷ Χειρογράφῳ οὕτω διατάττεται. « Εἰ μὲν οὐκ ἔστι Λειτουργία, μετὰ τὸν Εὐλογητόν, Βασιλεῦ Οὐράνιε· Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν· Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν. Ὁ Ν'., καὶ ὁ Κανών. Εἰ δὲ ἔστι Λειτουργία, εἰς τὸν Ὄρθρον ψάλλεται κ.τ.λ. ».

(**) Τὸ Χειρόγραφον ἔχει, ἐποψίας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.

Ἱλάσθητι Χριστὲ τῷ σοὶ προστρέχοντι, οἰκέτῃ, καὶ τοῦτον τὴν πολιτείαν, τῶν Ὁσίων καταξίωσον, εὐσεβῶς καὶ δικαίως πολιτεύεσθαι.

Μετάθεσιν ζωῆς καὶ μεταποίησιν, τὸ Σχῆμα τὸ θεῖον τοῦτο παράσχου, καὶ πταισμάτων καθαρτήριον, τῷ σοὶ προσερχομένῳ πιστῷ δούλῳ σου.

Ὁ μόνος ἀγαθὸς, ὁ μὴ βουλόμενος, ἀνθρώπων τὸν θάνατον Ἐλεῆμον, τὸν σὸν δοῦλον σοὶ προσπίπτοντα, τῷ χορῷ τῶν Ἁγίων συναρίθμησον.

Νῦν θέλοντα τὴν σὴν ὁδὸν πορεύεσθαι, καὶ βίον ἑλέσθαι τὸν σταυροφόρον, προσδεξάμενος καθάρισον, τῶν προτέρων πταισμάτων με Φιλάνθρωπε.

Θεοτοκίον.

Τῆς Εὔας τὴν ἀρὰν Ἁγνὴ διέλυσας, τεκοῦσα τὸν πᾶσι τὴν εὐλογίαν, ἀδαπάνητον πηγάσαντα, τὸν Σωτῆρα τοῦ κόσμου Μητροπάρθενε.

Κάθισμα, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Οἱ θέλοντες ἔρχεσθαι, φησὶν ὁ Κύριος, ὀπίσω μου, ἀρνήσασθε, τὰς κοσμικὰς ἀφορμὰς, γονεῖς τοὺς γεννήσαντας, τέκνα τε καὶ γυναῖκας, ἀδελφούς τε καὶ φίλους, χρήματα καὶ οἰκίας, συγγενεῖς τε καὶ δούλους, καὶ δέξασθε ἀξίωμα τῶν Ἀπόστολων μου.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἐπιστρέφοντα δέξαι με, Λόγε Θεοῦ τὸν Ἄσωτον ὡς πάλαι, καὶ ὡς τὸν Τελώνην, μόνε φιλάνθρωπε.

Λυτρωτὴς ἡμῶν γέγονας, διὰ Σταυροῦ τὸν κόσμον ἀγοράσας· διό σοι προσπίπτω, ῥῦσαί με Δέσποτα.

Ὁ ἐγείρας τὸν Λάζαρον, ἐκ τῶν νεκρῶν· κᾀμὲ τὸν νεκρωθέντα, ἁμαρτίας κέντρῳ, ζώωσον Δέσποτα.

Σημειωθέντα χάριτι, καὶ φωτισμῷ τῆς σῆς θεογνωσίας, λογικῆς σου ποίμνης, δεῖξόν με πρόβατον.

Θεοτοκίον.

Εὐλογημένη πάναγνε, Μῆτερ Θεοῦ, τῇ σῇ με προστασίᾳ καὶ τῇ θείᾳ σκέπῃ, φρούρησον Δέσποινα.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

Ὑπακοῇ σου Χριστὲ, τὴν ἡμετέραν ὡς Θεὸς ἔλυσας, παρακοὴν, καὶ τῆς Βασιλείας τὴν εἴσοδον ἡμῖν, διὰ μετανοίας καὶ πίστεως ἔδειξας.

Διατελέσαντα, ἐν ἀμελείᾳ τὴν ζωὴν βλέπων με, τῇ προσοχῇ, τῇ τῆς ἐμμελείας ἐπίστησον Χριστὲ, τῆς δικαιοσύνης ἐνδύσας με θώρακα.

Ὁ διὰ πίστεως, παλιντοκίας τε λουτροῦ πλύνας με, προγονικῆς ἀρᾶς, νῦν δακρύων ἀπόπλυνον πηγαῖς, καταῤῥυπωθέντα δεινοῖς παραπτώμασι.

Καταπαμπτόμενον, καὶ νενευκότα με πρὸς γῆν Δέσποτα, τῷ ἐπαχθεῖ, καὶ θανατηφόρῳ πταισμάτων φορτίῳ, τῇ σῇ ζωηφόρῳ χειρὶ ἐπανόρθωσον.

Θεοτοκίον.

Ἴσος ὑπάρχων Πατρὶ, κατὰ τὴν ἄναρχον μορφὴν γέγονας, ἴσος ἡμῖν, ἐξ ἀπειρογάμου γενόμενος Μητρός· ἧς ταῖς ἱκεσίαις Θεάνθρωπε σῶσόν με.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Μὴ παρίδῃς τὸ πλάσμα σου Δέσποτα· ἀλλὰ τοῦ Σταυροῦ σου τῇ χάριτι σῶσόν με, καὶ τῷ τιμίῳ Αἵματι, ὃ ἐκ θείας πλευρᾶς σου ἐκένωσας.

Ὡς μὴ ὄντα τὸ πρότερον ἔπλασας, οὕτως ἀπολλύμενον ταῖς ἁμαρτίαις μου, ἀναζητήσας σῶσόν με, ὡς ποιμὴν ἀγαθός τε καὶ εὔσπλαγχνος.

Μακαρίων ἐλπίδων μεθέξειν με, τῶν ἀποκειμένων πᾶσι τοῖς ἀξίοις σου, ὧν τὴν ζωὴν μιμήσασθαι, καταξίωσον μόνε Φιλάνθρωπε.

Θεοτοκίον.

Ὁ χερσὶν ἀκηράτοις μορφώσας με, πάλιν ἀνεμόρφωσεν ἀχρειωθέντα δεινῶς, ἐκ τῆς γαστρός σου Δέσποινα, προσλαβών με τελείως ὡς εὔσπλαγχνος.

Κοντάκιον. Ἀγκάλας πατρικάς. Ὅρα σελ. 182.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Ἰθύνας πρὸς σὲ, τὰς ὁδούς μου Ἀγαθὲ καὶ τὴν καρδίαν, ἀνακαινώσει θείου Πνεύματος, παλαιωθέντα ἀνάπλασον, τῆς

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἁγιωσύνης τῷ κάλλει, καλλωπίσας βοῶντά σοι· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Χειρὸς δεξιᾶς, τῆς ἐμῆς ὡς ἀγαθὸς ἐπιλαβόμενος, πρὸς πολιτείαν σοι εὐάρεστον, εὐθυποροῦντα ἀνάδειξον, καὶ πρὸς τελειότητα βίου, ἀναβαίνειν βοῶντά σοι· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ῥαθύμως τοπρὶν, διεξάγων τὸν ἐμὸν βίον ὁ δείλαιος, σοὶ τῷ Δεσπότῃ νῦν προσέρχομαι, σῇ πεποιθὼς ἀγαθότητι, καὶ τῇ εὐσπλαγχνίᾳ σου μόνῃ, καὶ προσπίπτω κραυγάζων σοι· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἰσίῳ Σταυροῦ, καὶ ταῖς αὔραις τοῦ σεπτοῦ καὶ θείου Πνεύματος, πρὸς τὸν λιμένα καθοδήγησον, τοῦ σοῦ ἐνδόξου θελήματος, καὶ πρὸς οὐρανῶν κληρουχίαν, καὶ ἀξίωσον ψάλλειν σοι· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Σωτῆρα Θεὸν, καὶ τοῦ κόσμου λυτρωτὴν Πάναγνε τέτοκας· ὃν νῦν δυσώπει τὴν εὐπρέπειαν, τῶν ἀρετῶν καὶ φαιδρότητα, καὶ τὴν τῆς ἀσκήσεως χάριν, ἀμφιάσαι τοὺς ψάλλοντας· Εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ η'. Κάμινος ποτέ.

Τρόπαιον ἡμῖν, κατὰ τοῦ διαβόλου, τὸν τοῦ Σταυροῦ σου τύπον δέδωκας, ἐν ᾧ καταβάλλομεν, τὰ ἐκείνου μηχανήματα, καὶ πονηρὰ φρυάγματα, κράζοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ἔδωκας ἡμῖν, τὸ δύνασθαι τὴν χάριν, ἀνανεοῦσθαι τοῦ Βαπτίσματος, δι' ἐξαγορεύσεως, διὰ βίου καθαρότητος, διὰ δακρύων χύσεως, καὶ διὰ μετανοίας γνησιωτάτης Φιλάνθρωπε.

Πάθη τῆς σαρκὸς, τῷ νῷ καθυποτάξαι, δι' ἐγκρατείας καὶ ἀσκήσεως, παράσχου τοῖς δούλοις σου, διὰ τρόπων βελτιώσεως, δι' ἀποχῆς τοῦ χείρονος, καὶ τῆς ἀδιαλείπτου τῶν ἐντολῶν σου τηρήσεως.

Ἄνωθεν ἡμῖν, τῆς σῆς υἱοθεσίας, τοὺς χαρακτῆρας ἀνακαίνισον, τοῦ θείου σου Πνεύματος, ἐνεργείᾳ τε καὶ χάριτι, ὡς μόνος εὐδιάλλακτος, τέχνῃ φιλανθρωπίας, καὶ ἀνεικάστου χρηστότητος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Θεοτοκίον.

Ρῆξον τὰς σειρὰς, τὰς τῶν ἁμαρτημάτων, καὶ τῶν πταισμάτων τὸ χειρόγραφον, τοῦ τῷ θείῳ Σχήματι προσιόντος ἱλαρότητι, καὶ εὐλαβείᾳ Πάναγνε, Πίστει τῇ ὀρθοδόξῳ ἐρηρεισμένον φυλάττουσα.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Ἀξίως τῆς κλήσεως, καὶ τοῦ ἁγίου Σχήματος, πολιτεύεσθαι Λόγε Θεοῦ παράσχου μοι, τὸν τῆς ἁμαρτίας μου ῥύπον, καὶ τὰς οὐλὰς τῶν παραπτωμάτων, τῇ σῇ θείᾳ χάριτι, ἐξαλείψας πολυέλεε.

Σωτὴρ ὡς καλούμενος, διάσωσόν με δέομαι, καθαρᾷ σοι καρδίᾳ τὸν προσερχόμενον, καὶ τὸ τῆς κακίας μου βάρος, περιελὼν, ὡς μόνος οἰκτίρμων συμπαθῶς ἀνάπαυσον, ὡς ὑπέσχου Παντοδύναμε.

Χριστὸς νῦν χαρίζεται, χρηστός γε ὢν καὶ εὔσπλαγχνος, τοῖς αὐτῷ προσιοῦσι θεῖα χαρίσματα, τοῖς προσερχομένοις τῷ θείῳ, πανευλαβῶς, τῆς χάριτος θρόνῳ, δωρεὰν χρηστότητος, ἀκηράτου παρεχόμενος.

Ὁ ἔχων συντρέχουσαν, τῇ σῇ βουλῇ τὴν δύναμιν, ὑπηρέτας ἀξίους ἡμᾶς ἀνάδειξον, τοῦ Εὐαγγελίου σου Λόγε, καὶ τὰς πρὸς σὲ, συνθήκας πληρῶσαι, εὐχαῖς τῶν Ἁγίων σου, ζωοδότα καταξίωσον.

Θεοτοκίον.

Υἱόν σου τὸν εὔσπλαγχνον, Πανάμωμε δυσώπησον, τὸν πιστῶς προσιόντα τῷ θείῳ Σχήματι, πρὸς τὸ τῆς ἀσκήσεως φθάσαι, πανευαγῶς πολύευκτον τέλος· σὲ γὰρ τὴν πανάχραντον, ἀντιλήπτορα κεκτήμεθα.

Εἶτα, Στιχηρὰ προσόμοια, Ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πίστει προσερχόμενον πρὸς σὲ, Δέσποτα, τῆς σῆς ἐπὶ τρίβους, δικαιοσύνης με, ϛήσας καθοδήγησον, ὡς μόνος εὔσπλαγχνος· καὶ δεινῶς πεπτωκότα με, καὶ κατεῤῥαγμένον, πλήθει τῶν πταισμάτων μου, Σῶτερ ἀνόρθωσον· σῇ γὰρ πεποιθὼς συνεργείᾳ, τὴν Ἀγγελικὴν πολιτείαν, ταύτην ὑπεισέρχομαι φιλάνθρωπε.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἔχων τὴν πηγὴν τῶν οἰκτιρμῶν, τῶν ἁμαρτωλῶν ὁ μὴ θέλων, Χριστὲ τὸν θάνατον, δι' ἄφατον ἔλεος, ἀλλὰ μετάνοιαν, τοῖς πιστοῖς χαρισάμενος, τοῖς ἐπεγνωκόσι, τὴν ὑπὲρ κατάληψιν οἰκονομίαν σου, δέξαι προσιόντα προθύμως, Σχήματι τῷ θείῳ, καὶ σῶσον, τῇ φιλανθρωπίᾳ σου προσπίπτοντα.

Δόξα.

Τεῖχος ὑπερβήσομαι ἐν σοὶ, τὸ τῆς ἁμαρτίας μου Σῶτερ, καὶ λυτρωθήσομαι· σὺ γὰρ ἀνταπέδωκας τὸ ἐμὸν ὄφλημα, καὶ τιμῆς με ἠγόρασας, αἰχμαλωτισθέντα, τὸν τῆς ἀγαθότητος ἐπιδεικνύμενος, πλοῦτον, καὶ τὴν τῆς εὐσπλαγχνίας, ἄβυσσον πηγάσαι θελήσας, πᾶσι τοῖς ὑμνοῦσί σε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Πάντων προστατεύεις Ἀγαθὴ, τῶν καταφευγόντων ἐν πίστει τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν ἁμαρτωλοὶ πρὸς Θεὸν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν οἱ κατακαμπτόμενοι ὑπὸ πταισμάτων πολλῶν. Μῆτερ τοῦ Θεοῦ τοῦ ὑψίστου, ὅθεν σοι προσπίπτομεν· Ῥῦσαι, πάσης περιστάσεως τοὺς δούλους σου.

Εἰς δὲ τὴν Λειτουργίαν, τῆς Εἰσόδου γενομένης τοῦ Εὐαγγελίου, ἀποβάλλει ὁ μέλλων λαμβάνειν τὸ ἅγιον Σχῆμα, τὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ κάλυμμα, καὶ τὰ ἐν τοῖς ποσὶ καλλίγια, καὶ ποιήσας μετανοίας γ'. ἵσταται. Καὶ μετὰ τὴν Εἴσοδον, λέγομεν τὸ Ἀπολυτίκιον τῆς ἡμέρας, εἶτα τὰ παρόντα Ἀντίφωνα (*).

Ἀντίφωνον α'. Ἦχος δ'.

Ἤθελον δάκρυσιν ἐξαλεῖψαι, τῶν ἐμῶν πταισμάτων Κύριε τὸ χειρόγραφον, καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς μου, διὰ μετανοίας εὐαρεστῆσαί σοι· ἀλλ' ὁ ἐχθρὸς ἀπατᾷ με, καὶ

(*) Εἰ δὲ μή ἐστι Λειτουργία, μετὰ τὸ Πάντων προστατεύεις, λέγομεν τὸ, Ἄξιον ἐστίν. Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστιν· καὶ τὰ Τροπάρια, Ἤθελον δάκρυσιν κ.τ.λ. Οὕτως ἐν τῷ Χειρογράφῳ.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

πολεμεῖ τὴν ψυχήν μου. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι σῶσόν με.

Τίς χειμαζόμενος καὶ προστρέχων, τῷ λιμένι τούτῳ οὐ διασώζεται; ἢ τίς ὀδυνώμενος καὶ προσπίπτων, τῷ ἰατρείῳ τούτῳ οὐ θεραπεύεται; Δημιουργὲ τῶν ἁπάντων, καὶ ἰατρὲ τῶν νοσούντων, Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι σῶσόν με.

Πρόβατον εἰμὶ τῆς λογικῆς σου ποίμνης, καὶ πρὸς σὲ καταφεύγω τὸν Ποιμένα τὸν καλόν· ζήτησόν με τὸν πλανηθέντα ὁ Θεός, καὶ ἐλέησόν με.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἀντίφωνον β'. Ἦχος δ'.

Ἐν τῇ πηγῇ τῇ μυστικῇ τῆς ἀναγεννήσεως, υἱοθεσίαν λαβὼν καὶ ἀπολύτρωσιν, ἐν ἀμελείᾳ τὴν ζωήν, καὶ ἐν παραπτώμασιν ἐκδαπανήσας Ἀγαθέ, νῦν κραυγάζω σοι· Δακρύων μετανοίας πηγήν μοι δώρησαι, καὶ ἀπόπλυνον τὸν ῥύπον τῶν ἐμῶν πλημμελημάτων, παντοδύναμε Σωτὴρ καὶ πολυέλεε.

Ζάλη ἁμαρτημάτων περιέχει με Σωτήρ, καὶ μηκέτι φέρων τὸν κλύδωνα, σοὶ προσπίπτω τῷ μόνῳ Κυβερνήτῃ· Ὡς τῷ Πέτρῳ τὴν χεῖρά μοι ἔκτεινον, τῆς φιλανθρωπίας σου, καὶ σῶσόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ἡ τεκοῦσα τὸν τῶν ὅλων Ποιητήν, ἵνα πάντες κράζωμέν σοι· Χαῖρε ἡ μόνη προστασία τῶν ψυχῶν ἡμῶν.

Ἀντίφωνον γ'. Ἦχος δ'.

Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια; ποῦ ἐστιν ἡ τῶν προσκαίρων φαντασία; οὐκ ἰδοὺ ταῦτα βλέπομεν γῆν καὶ σποδόν; τί οὖν κοπιῶμεν εἰς μάτην; τί δὲ οὐκ ἀρνούμεθα κόσμον, καὶ ἀκολουθοῦμεν τῷ κράζοντι· Ὁ θέλων πορευθῆναι ὀπίσω μου, ἀναλαβέτω τὸν σταυρόν μου, καὶ ζωὴν κληρονομήσει τὴν αἰώνιον;

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Στίχ. Δεῦτε, τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς.

Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶος εἰμὶ καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν.

Στίχ. Ἐπλανήθην, ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Πρόβατον εἰμὶ τῆς λογικῆς σου ποίμνης, καὶ πρὸς σὲ καταφεύγω τὸν Ποιμένα τὸν καλόν· ζήτησόν με τὸν πλανηθέντα ὁ Θεὸς, καὶ ἐλέησόν με.

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν, καὶ κλαύσωμεν ἐναντίον Κυρίου, τοῦ ποιήσαντος ἡμᾶς.

Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἡ μόνη Ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα·

Ἀγκάλας πατρικὰς, διανοῖξαί μοι σπεῦσον· ἀσώτως τὸν ἐμὸν, κατηνάλωσα βίον· εἰς πλοῦτον ἀδαπάνητον, ἀφορῶν τῶν οἰκτιρμῶν σου Σωτὴρ, νῦν πτωχεύουσαν, μὴ ὑπερίδῃς καρδίαν· σοὶ γὰρ Κύριε, ἐν κατανύξει κραυγάζω· Ἥμαρτον Πάτερ, εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου.

Εἶτα ἐπερωτᾷ αὐτὸν ὁ Ἱερεὺς, λέγων·

Ἐρώτησις. Τί προσῆλθες, Ἀδελφὲ, προσπίπτων τῷ ἁγίῳ Θυσιαστηρίῳ, καὶ τῇ ἁγίᾳ Συνοδίᾳ ταύτῃ;

Ἀπόκρισις. Ποθῶν τὸν βίον τῆς ἀσκήσεως, τίμιε Πάτερ.

Ἐρώτησις. Ποθεῖς ἀξιωθῆναι τοῦ Ἀγγελικοῦ Σχήματος, καὶ καταταγῆναι ἐν τῷ χορῷ τῶν Μοναζόντων;

Ἀπόκρισις. Ναὶ, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.

Ὁ Ἱερεύς.

Ὄντως καλὸν ἔργον καὶ μακάριον ἐξελέξω, ἀλλ' ἐὰν καὶ τελειώσῃς· τὰ γὰρ καλὰ ἔργα κόπῳ κτῶνται, καὶ πόνῳ κατορθοῦνται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐρώτησις. Ἑκουσίᾳ σου τῇ γνώμῃ προσέρχῃ τῷ Κυρίῳ;
Ἀπόκρισις. Ναί, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.
Ἐρώτησις. Μὴ ἔκ τινος ἀνάγκης, ἢ βίας;
Ἀπόκρισις. Οὐχί, τίμιε Πάτερ.
Ἐρώτησις. Ἀποτάσσῃ τῷ κόσμῳ, καὶ τοῖς ἐν τῷ κόσμῳ, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου;
Ἀπόκρισις. Ναί, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.
Ἐρώτησις. Παραμένεις τῷ Μοναστηρίῳ, καὶ τῇ ἀσκήσει, ἕως ἐσχάτης σου ἀναπνοῆς;
Ἀπόκρισις. Ναί, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.
Ἐρώτησις. Σώζεις μέχρι θανάτου τὴν ὑπακοὴν τῷ Προεστῶτι, καὶ πάσῃ τῇ ἐν Χριστῷ Ἀδελφότητι;
Ἀπόκρισις. Ναί, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.
Ἐρώτησις. Ὑπομένεις πᾶσαν θλίψιν καὶ στενοχωρίαν τοῦ μονήρους βίου, διὰ τὴν Βασιλείαν τῶν οὐρανῶν;
Ἀπόκρισις. Ναί, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.
Ἐρώτησις. Φυλάττεις σεαυτὸν ἐν παρθενίᾳ, καὶ σωφροσύνῃ, καὶ εὐλαβείᾳ;
Ἀπόκρισις. Ναί, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.

Καὶ εὐθὺς ἡ Κατήχησις.

Βλέπε, Τέκνον, οἵας συνθήκας δίδως τῷ Δεσπότῃ Χριστῷ· Ἄγγελοι γὰρ πάρεισιν ἀοράτως, ἀπογραφόμενοι τὴν ὁμολογίαν σου ταύτην, ἣν καὶ μέλλεις ἀπαιτεῖσθαι ἐν τῇ δευτέρᾳ Παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὑφηγοῦμαι οὖν σοι τὴν τελειοτάτην ζωήν, ἐν ᾗ κατὰ μίμησιν ἡ τοῦ Κυρίου πολιτεία διαδείκνυται, διαμαρτυρόμενος ἅπερ χρὴ ἀσπάσασθαί σε, καὶ ὧν περ δέον ἐκφυγεῖν. Ἡ ἀποταγὴ τοίνυν οὐδὲν ἄλλο ἐστί, κατὰ τὸν εἰπόντα, εἰμὴ σταυροῦ καὶ θανάτου ἐπαγγελία. Γίνωσκε οὖν ἀπὸ τῆς παρούσης ἡμέρας σταυροῦσθαι, καὶ νεκροῦσθαι τῷ κόσμῳ, διὰ τῆς τελειοτάτης ἀποταγῆς· ἀποτάσσῃ γὰρ γονεῦσιν, ἀδελφοῖς, γυναικί, τέκνοις, πατράσι, συγγενείαις, ἑταιρείαις, φίλοις, συνήθεσι, τοῖς ἐν κόσμῳ θορύβοις, φροντίσι, κτήσεσιν, ὑπάρξεσι, τῇ κενῇ καὶ ματαίᾳ ἡδονῇ τε καὶ δόξῃ· καὶ ἀπαρνῇ οὐ μόνον τὰ προειρημένα, ἀλλ' ἔτι καὶ τὴν σεαυτῦ ψυχήν, κατὰ τὴν φωνὴν τοῦ Κυρίου, τὴν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

λέγουσαν· Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Εἰ οὖν ἀληθῶς ἀκολουθεῖν αὐτῷ ᾑρετίσω, καὶ εἰ ἀψευδῶς κληθῆναι αὐτοῦ μαθητὴς ἐπιποθεῖς, ἑτοιμάσθητι ἀπὸ τοῦ παρόντος, μὴ πρὸς ἀνέσεις, μὴ πρὸς ἀμεριμνίας, μὴ πρὸς τρυφὰς, μὴ πρὸς ἄλλοτι τῶν ἐπὶ γῆς τερπνῶν τε καὶ ἀπολαυστικῶν, ἀλλὰ πρὸς ἀγῶνας πνευματικοὺς, πρὸς ἐγκράτειαν σαρκὸς, πρὸς κάθαρσιν ψυχῆς, πρὸς πτωχείαν εὐτελῆ, πρὸς πένθος ἀγαθὸν, πρὸς πάντα τὰ λυπηρὰ καὶ ἐπίπονα τῆς χαροποιοῦ κατὰ Θεὸν ζωῆς· καὶ γὰρ πεινᾶσαι ἔχεις, καὶ διψῆσαι, καὶ γυμνητεῦσαι, ὑβρισθῆναί τε καὶ χλευασθῆναι, ὀνειδισθῆναί τε καὶ διωχθῆναι, καὶ πολλοῖς ἄλλοις περιαχθῆναι λυπηροῖς, οἷς ἡ κατὰ Θεὸν ζωὴ κεχαρακτήρισται. Καὶ ὅταν ταῦτα πάντα πάθῃς, Χαῖρε, φησὶν, ὅτι πολὺς ὁ μισθός σου ἐν τοῖς οὐρανοῖς ὑπάρχει. Χαρᾷ οὖν χαῖρε, καὶ ἀγαλλιάσει ἀγαλλιῶ, ὅτι σήμερον ἐξελέξατό σε, καὶ διεχώρισε Κύριος ὁ Θεὸς ἀπὸ τῆς ἐν κόσμῳ ζωῆς, καὶ ἔθετο, ὡς ἐν προσώπῳ αὐτοῦ, ἐν τῇ παραστάσει τῆς Μοναδικῆς τάξεως, ἐν τῇ στρατείᾳ τῆς Ἀγγελοειδοῦς ζωῆς, ἐν τῷ ὕψει τῆς οὐρανομιμήτου πολιτείας· αὐτῷ ἀγγελικῶς λατρεύειν, αὐτῷ ὁλοκλήρως δουλεύειν, τὰ ἄνω φρονεῖν, τὰ ἄνω ζητεῖν· ἡμῶν γὰρ τὸ πολίτευμα, κατὰ τὸν Ἀπόστολον, ἐν οὐρανοῖς ὑπάρχει. Ὢ τῆς καινῆς κλήσεως! ὢ τῆς δωρεᾶς τοῦ μυστηρίου! Δεύτερον Βάπτισμα λαμβάνεις σήμερον, Ἀδελφὲ, τῇ περιουσίᾳ τῶν τοῦ φιλανθρώπου Θεοῦ δωρεῶν, καὶ τῶν ἁμαρτιῶν σου καθαίρῃ, καὶ υἱὸς φωτὸς γίνῃ, καὶ αὐτὸς Χριστὸς ὁ Θεὸς ἡμῶν συγχαίρει μετὰ τῶν ἁγίων αὐτοῦ Ἀγγέλων ἐπὶ τῇ σῇ μετανοίᾳ, θύων σοι τὸν μόσχον τὸν σιτευτόν. Ἀξίως λοιπὸν τῆς κλήσεως περιπάτησον· ἀπαλλάγηθι τῆς τῶν ματαίων προσπαθείας· μίσησον τὴν πρὸς τὰ κάτω ἕλκουσάν σε ἐπιθυμίαν· ὅλον σεαυτοῦ τὸν πόθον μετάθες πρὸς τὰ οὐράνια· μηδόλως στραφῇς εἰς τὰ ὀπίσω, ἵνα μὴ γένῃ στήλη ἁλὸς, ὡς ἡ γυνὴ τοῦ Λώτ, ἢ ὥσπερ κύων ἐπὶ τὸν ἴδιον ἐμετὸν ἐπιστρέφων, καὶ πληρωθῇ ἐπὶ σὲ ὁ λόγος τοῦ Κυρίου· Ὅτι οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στρα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

φεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν. Καὶ γὰρ οὐκ ἔστι σοι μικρὸς ὁ κίνδυνος, ἐπαγγελλομένῳ νῦν πάντα τὰ προειρημένα φυλάττειν, ἔπειτα κατολιγωρῆσαι τῆς ἐπαγγελίας, καὶ ἢ πρὸς τὸν πρότερον βίον ἐπαναδραμεῖν, ἢ τοῦ Πατρὸς χωρισθῆναι, καὶ τῶν συνασκουμένων Ἀδελφῶν, ἢ, μένοντα, καταφρονητικῶς ζῆσαι τὰς ἡμέρας σου· ἐπεὶ βαρυτέρας ἕξεις τὰς εὐθύνας παρὰ τοπρὶν, ἐπὶ τοῦ φοβεροῦ καὶ ἀπαραλογίστου Βήματος τοῦ Χριστοῦ, ὅσῳ πλείονος χάριτος ἀπολαύεις ἄρτι· καὶ καλὸν σοι ἦν, ὡς τὸ λόγιον, μὴ εὔξασθαι, ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι. Μηδὲ πάλιν νομίσῃς, ὡς διὰ τοῦ προλαβόντος χρόνου τῆς ἐνταῦθά σου διατριβῆς ἱκανῶς ἠγωνίσω πρὸς τὰς ἀοράτους δυνάμεις τοῦ ἐχθροῦ· ἀλλὰ γίνωσκε, ὅτι μᾶλλον ἀπὸ τοῦ δεῦρο διαδέξονταί σε μείζονες ἀγῶνες τῆς πρὸς αὐτὸν πάλης. Ἰσχύσει δὲ κατὰ σοῦ οὐδαμῶς, πεφραγμένον σε εὑρίσκων τῇ τε πρὸς τὸν ὁδηγοῦντά σε κραταιᾷ πίστει καὶ ἀγάπῃ, καὶ τῇ πρὸς πᾶσαν ὑπακοὴν καὶ ταπείνωσιν εὐθύτητι. Διὰ τοῦτο ἀπέστω ἀπὸ σοῦ ἀνηκοΐα, ἀντιλογία, ὑπερηφανία, ἔρις, ζῆλος, φθόνος, θυμὸς, κραυγὴ, βλασφημία, λαθροφαγία, παῤῥησία, μερικὴ φιλία, περπερία, φιλονεικία, γογγυσμὸς, ψιθυρισμὸς, ἐπίκτησις ἰδιάζουσα οἰκτροῦ πράγματος, τὰ ἄλλα πάντα τῆς κακίας εἴδη, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ῥιζοῦν ἄρχεται ἐν αὐτοῖς ὁ τῶν ψυχῶν φθορεύς. Μᾶλλον δὲ, ἀντ' αὐτῶν, κτῆσαι τὰ πρέποντα Ἁγίοις· φιλαδελφίαν, ἡσυχίαν, ἐπιείκειαν, εὐλάβειαν, μελέτην τῶν θείων λογίων, ἀνάγνωσιν, τήρησιν καρδίας ἐκ ῥυπαρῶν λογισμῶν, ἐργασίαν τὴν κατὰ δύναμιν, ἐγκράτειαν, ὑπομονὴν μέχρι θανάτου, ἐφ' ᾧ Πατρὶ τὰς συνθήκας σου ἔδωκας, (*) πρῶτον καὶ τελευταῖον ἐξαγγελίαν τῶν τῆς καρδίας σου κρυπτῶν, καθὼς αἱ θεῖαι ὑποθῆκαι διαγορεύουσιν· Ἐβαπτίζοντο γάρ φησιν, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

(*) Τὸ χειρόγραφον ἔχει, ἐναποτίθης.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐρώτησις. Ταῦτα πάντα οὕτω καθομολογεῖς, ἐπ' ἐλπίδι τῆς δυνάμεως τοῦ Θεοῦ, καὶ ἐν ταύταις ταῖς ὑποσχέσεσι διακαρτερεῖν συντάσσῃ μέχρι τέλους ζωῆς, χάριτι Χριστοῦ;

Ἀπόκρισις. Ναὶ, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε Πάτερ.

Εἶτα λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην·

Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος, ὁ τὰ ἄχραντα σπλάγχνα τῆς αὐτοῦ ἀνεξιχνιάστου ἀγαθότητος ὑπανοίγων παντὶ τῷ προσερχομένῳ αὐτῷ, πόθῳ καὶ ἀγάπῃ θερμῇ· ὁ εἰπὼν, ὅτι ἐπιλήσεται γυνὴ τὰ ἔκγονα αὐτῆς, ἢ ἐγὼ ἐπιλήσομαί σου· ὁ καὶ τὸν σὸν πόθον εἰδὼς, καὶ τῇ προθέσει σου ἐπιβάλλων τὴν παρ' ἑαυτοῦ δύναμιν πρὸς ἐκπλήρωσιν τῶν αὐτοῦ ἐντολῶν, ἐπιλάβοιτο, καὶ ἐπαγκαλίσαιτο, καὶ ὑπερασπίσαι σου, καὶ γένοιτό σοι τεῖχος ὀχυρὸν ἀπὸ προσώπου ἐχθροῦ, πέτρα ὑπομονῆς, παρακλήσεως ἀφορμὴ, εὐτονίας χορηγὸς, εὐψυχίας πορισμὸς, ἀνδρίας συναγωνιστής· συγκοιταζόμενος, συνανιστάμενος, γλυκαίνων καὶ εὐφραίνων σου τὴν καρδίαν τῇ παρακλήσει τοῦ Ἁγίου αὐτοῦ Πνεύματος, ἀξιῶν σε καὶ τῆς μερίδος τῶν ἁγίων καὶ ὁσίων Πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάββα, καὶ τῶν σὺν αὐτοῖς· μεθ' ὧν καὶ κληρονομήσαις τὴν Βασιλείαν τῶν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ βασιλεία, καὶ ἡ δύναμις σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι.

Εἶτα σφραγίζει ὁ Ἱερεὺς τὴν κεφαλὴν τοῦ Κατηχουμένου γ'., καὶ μετὰ τὸ κατασφραγίσαι, στραφεὶς κατὰ ἀνατολὰς, λέγει·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ὢν, Δέσποτα παντοκράτορ, ὕψιστε Βασιλεῦ τῆς δόξης, ὁ μετὰ τοῦ ζῶντος καὶ ἐνυποστάτου σου Λόγου, καὶ τοῦ παρὰ σοῦ ἐκπορευομένου Πνεύματος τῆς ἀληθείας, κυριεύων πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου· ὁ Θεὸς ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, καὶ τῇ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος ἀκαταπαύστως, ᾧ παρεστήκασι χίλιαι χιλιάδες, καὶ μύριαι μυριάδες ἁγίων Ἀγγέλων, καὶ Ἀρχαγγέλων στρατιαί· σὺ εἶ τὸ φῶς, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, δυσωπούμενος ὑπὸ τῆς ἁγίας Θεοτόκου

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ ἀειπαρθένου Μαρίας, καὶ πάσης ἐπουρανίου σου Ἐκκλησίας τῶν πρωτοτόκων ἐν Ἱερουσαλήμ. Ἐπίβλεψον ἱλέῳ ὄμματι ἐπὶ τὴν ταπείνωσιν τοῦ δούλου σου (τοῦδε), ὅς τις συνέθετο, καὶ καθωμολόγησεν ἐνώπιον πολλῶν μαρτύρων. Σύναψον τῷ δωρηθέντι αὐτῷ ἐκ προγόνων χαρίσματι τῆς υἱοθεσίας καὶ τῆς βασιλείας σου, διὰ τοῦ ἁγίου Βαπτίσματος, τὸ μοναδικὸν τοῦτο καὶ ἀγγελοειδὲς ἐπάγγελμα ἀκατάσειστον, τεθεμελειωμένον ἐπὶ τὴν ἀκρότομον καὶ πνευματικὴν πέτραν τῆς εἰς σὲ πίστεως. Ἐνδυνάμωσον αὐτὸν ἐν τῷ κράτει τῆς ἰσχύος σου, καὶ ἔνδυσον αὐτὸν τὴν πανοπλίαν τοῦ Ἁγίου σου Πνεύματος, ὅτι οὐκ ἔστιν αὐτῷ ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. Περίζωσον τὴν ὀσφὺν αὐτοῦ δύναμιν ἀληθείας, καὶ ἔνδυσον αὐτὸν θώρακα δικαιοσύνης καὶ ἀγαλλιάσεως, καὶ ὑπόδησον τοὺς πόδας αὐτοῦ ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης. Σόφισον αὐτὸν ἀναλαβεῖν τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεται πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθαι, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμά σου, ἀντιλαμβανόμενος τοῖς ἀλαλήτοις τῆς καρδίας αὐτοῦ στεναγμοῖς. Συναρίθμησον αὐτὸν τοῖς ἐκλεκτοῖς σου, ἵνα γένηται σκεῦος ἐκλογῆς σου, υἱὸς καὶ κληρονόμος τῆς βασιλείας σου, υἱὸς φωτὸς καὶ ἡμέρας, σοφίας, δικαιοσύνης, ἁγιασμοῦ, ἀπολυτρώσεως (*). Κατασκεύασον αὐτὸν ὄργανον ἐναρμόνιον, ψαλτήριον τερπνὸν τοῦ Ἁγίου Πνεύματος· ὅπως ἐντεῦθεν, κατὰ προκοπὴν ἀπεκδυσάμενος τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὴν φιλήδονον ἀπάτην τοῦ πολυμόρφου ὄφεως, ἐνδύσηται τὸν νέον Ἀδὰμ, τὸν κατὰ Θεὸν κτισθέντα, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. Στερέωσον αὐτὸν, πάντοτε τὰ στίγματα καὶ τὸν Σταυρὸν τοῦ Ἰησοῦ βαστάζειν ἐν τῷ σώματι αὐτοῦ, δι᾽ ὧν αὐτῷ ὁ κόσμος ἐσταύρωται, καὶ αὐτὸς

(*) Αἱ παλαιαὶ ἐκδόσεις καὶ τὸ χειρόγραφον ἔχουσι τὰς λέξεις, σοφίας, δικαιοσύνης κ.τ.λ. κατ᾽ ὀνομαστικὴν, ἀντὶ τῆς αἰτιατικῆς.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τῷ κόσμῳ. Μόρφωσον ἐν αὐτῷ, ἀρετὴν ἀληθινὴν ἄγειν, καὶ μὴ ἀρέσκειαν ἀνθρώπων, ἢ αὐταρέσκειαν, ἐν τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, καὶ τὴν ὑπακοήν. Χαρίτωσον αὐτὸν ἀγρυπνοῦντα, ἐργαζόμενον, καθεύδοντα, ἀνιςάμενον, ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ἀγγελικῶς ἐνοπτρίζεσθαί σε ἐν καθαρᾷ καρδίᾳ, καὶ προσκυνεῖν σὲ τὸν μόνον ζῶντα καὶ ἀληθινὸν Θεὸν, εἰς χαρὰν αὐτοῦ ἀνεκλάλητον. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ τὸ κράτος, καὶ ἡ ἐξουσία, καὶ σοὶ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν.

Ἅγιε Κύριε τῶν Δυνάμεων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, εὐλόγησον τὸ δοῦλόν σου (τόνδε), ὃν προσεκαλέσω (*) εἰς τὸν πνευματικόν σου νυμφῶνα, καὶ καταξίωσον αὐτὸν εἶναί σου ὅσιον δοῦλον. Σόφισον αὐτὸν, καὶ ἐπίχεε αὐτῷ τὴν παρὰ τοῦ ἡγεμονικοῦ σου Πνεύματος χάριν καὶ σύνεσιν· ἐνίσχυσον αὐτὸν εἰς τὸν κατὰ τοῦ ἀοράτου ἐχθροῦ πόλεμον· τὰς ἐκ τῆς σαρκὸς ἐπαναστάσεις, τῇ κραταιᾷ δυνάμει σου, κατάβαλε· δὸς αὐτῷ εὐαρεςεῖν σοι εἰς αἴνεσιν καὶ δοξολογίαν ἀδιάλειπτον, εἰς ὕμνους εὐκαίρους, εἰς εὐχὰς εὐπροσδέκτους, εἰς βȣλὴν ὀρθὴν, εἰς καρδίαν ταπεινὴν, εἰς πρᾶξιν ζωῆς, καὶ πρᾳότητος, καὶ ἀληθείας. Καταξίωσον αὐτὸν εὐαρεστεῖν σοι ἐν πρᾳότητι, ἐν ἀγάπῃ, ἐν τελειότητι, ἐν ἐπιστήμῃ, ἐν ἀνδρείᾳ, καὶ προσφέρειν σοι ὕμνους, καὶ δοξολογίας, καὶ εὐχὰς, εἰς ὀσμὴν εὐωδίας. Τελείωσον αὐτοῦ τὴν ζωὴν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ἵνα, ἀδιάστατον καὶ ἀκηλίδωτον τὴν εἰς σὲ ἔχων ἕνωσιν, καταξιωθῇ τῆς ἐπουρανίȣ σου Βασιλείας (**). Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(*) Τὸ Χειρόγραφον ἔχει· ὃν προσεκαλέσατο ἡ δεξιά σου κτλ.
(**) Τὸ χωρίον τοῦτο διωρθώσαμεν ἐκ τοῦ Χειρογράφου.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα ἐκτείνας τὴν χεῖρα ὁ Ἱερεὺς εἰς τὸ ἅγιον Εὐαγγέλιον, λέγει·

Ἰδοὺ ὁ Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι. Βλέπε, ὅτι οὐδείς σε ἀναγκάζει ἐλθεῖν ἐπὶ τοῦτο τὸ Σχῆμα· βλέπε, ὅτι σὺ ἐκ προθέσεως θέλεις τὸν ἀῤῥαβῶνα τοῦ μεγάλου, καὶ ἀγγελικοῦ Σχήματος.

Ἀπόκρισις. Ναὶ, τίμιε Πάτερ, ἐκ προθέσεως.

Καὶ μετὰ τὸ συντάξασθαι, λέγει πρὸς αὐτὸν ὁ Ἱερεύς·

Λάβε τὸ ψαλίδιον, καὶ ἐπίδος μοι αὐτό. Τρίς.

Καὶ ἐπιδόντος αὐτοῦ τὸ ψαλίδιον τῷ Ἡγουμένῳ, λέγει πάλιν πρὸς αὐτὸν ὁ Ἱερεύς·

Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ λαμβάνεις αὐτό. Βλέπε δὲ τίνι προσέρχῃ, τίνι συντάσσῃ, καὶ τίνι ἀποτάσσῃ.

Καὶ λαβὼν ὁ Ἱερεὺς τὸ ψαλίδιον ἐκ τῆς χειρὸς τοῦ Ἡγουμένου, λέγει·

Εὐλογητὸς ὁ Θεὸς, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα κουρεύει αὐτὸν σταυροειδῶς, λέγων οὕτως·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίȣ Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Καὶ ψάλλεται παρὰ τῶν Ἀδελφῶν τὸ, Κύριε ἐλέησον.

Εἶτα ἐνδύει αὐτὸν τὸ ἱμάτιον, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) ἐνδύεται χιτῶνα δικαιοσύνης, καὶ ἀγαλλιάσεως τοῦ μεγάλου καὶ ἀγγελικοῦ Σχήματος, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τȣ͂ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Εἶτα τὸ παλλίον, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) λαμβάνει τὸ παλλίον, τȣ͂ μεγάλȣ καὶ ἀγγελικοῦ Σχήματος, εἰς στολὴν ἀφθαρσίας καὶ σεμνότητος, ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα τὸ κουκούλιον, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) ἐνδύεται τὸ κουκούλιον τῆς ἀκακίας εἰς περικεφαλαίαν ἐλπίδος σωτηρίου, ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Εἶτα τὸν ἀνάλαβον, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) λαμβάνει τὸν ἀνάλαβον, ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, ἀναλαμβάνων τὸν σταυρὸν αὐτοῦ ἐπὶ τῶν ὤμων, καὶ ἀκολουθῶν τῷ Δεσπότῃ Χριστῷ.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Εἶτα περιζώννυσιν αὐτὸν, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) περιζώννυται τὴν ὀσφὺν αὐτοῦ δύναμιν ἀληθείας, ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Εἶτα ὑποδύει αὐτὸν τὰ σανδάλια, λέγων·

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) ὑποδύεται τὰ σανδάλια εἰς ἑτοιμασίαν τοῦ Εὐαγγελίου τῆς εἰρήνης, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Ὁ Ἀδελφὸς ἡμῶν (ὁ δεῖνα) ἔλαβε τὸ μέγα καὶ ἀγγελικὸν Σχῆμα, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον.

Ἐνδυομένου δὲ αὐτοῦ, ψάλλονται τὰ Τροπάρια ταῦτα,

Ἦχος δ'.

Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας, ζώσασθε τὴν ζώνην τῆς σωφροσύνης, δέξασθε τὸ σημεῖον τοῦ Σταυροῦ, τοὺς πόδας τοὺς νοητοὺς ὁπλίσατε, τῆς ἐγκρατείας τοῖς ὅπλοις, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν.

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Αἱ δὲ Εὐχαί, ἃς λέγει ὁ Ἱερεύς, εἰσὶν αὗται·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς παραγγελίαις σου, καὶ ἀμεταμέλητος ἐν τοῖς χαρίσμασί σου, καὶ ἄφατος ἐν τῇ φιλανθρωπίᾳ σου· ὁ καλέσας τὸ πλάσμα σου κλήσει ἁγίᾳ, καὶ ἀγαγὼν τὸν δοῦλόν σου (τόνδε) εἰς τὴν πνευματικήν σου ζωήν· δὸς αὐτῷ βίον εὐσχήμονα, πολιτείαν ἐνάρετον, καὶ ἀκατάγνωστον, ἵνα ἐν ἁγιασμῷ πολιτευσάμενος, ἄσπιλον διατηρήσῃ ὅπερ τῇ δυνάμει σου ἐνεδύσατο Σχῆμα, τῷ μὲν χιτῶνι τὴν δικαιοσύνην ἀμπεχόμενος, τῇ δὲ ζώνῃ τὴν νέκρωσιν τοῦ σώματος, καὶ τὴν σωφροσύνην ἐν ἑαυτῷ περιφέρων· τῷ δὲ κουκουλίῳ τὴν περικεφαλαίαν τοῦ σωτηρίου θέμενος· τῷ δὲ ἀναλάβῳ, τῷ Σταυρῷ καὶ τῇ Πίστει κατακοσμούμενος· τῷ δὲ περιβολαίῳ στολὴν ἀφθαρσίας θωρακιζόμενος· τοῖς δὲ σανδαλίοις, ἵνα ἐπιβῇ τῇ ὁδῷ τῆς εἰρήνης καὶ τῆς σωτηρίας, ὅπως γένηται φοβερὸς τοῖς ὑπεναντίοις, ἀνάλωτος τοῖς πολεμίοις, πάσης ἡδονῆς καὶ αἰσχίστης ἐπιθυμίας ἀλλότριος· ὑπακοὴν παιδευόμενος, ἐγκράτειαν μετερχόμενος, τῷ τῆς ἀσκήσεως στοιχῶν κανόνι, ἵνα ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς γεραίρῃ τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῖς ἴχνεσι κατακολουθῶν τοῦ μεγάλου Προφήτου Ἠλιοῦ, καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ Βαπτιστοῦ· ἵνα, φθάσας τὸ μέτρον τῆς τελειότητος, τὸν δρόμον τελέσῃ, τὴν πίστιν τηρήσῃ, καὶ ἐνδύσηται τὴν τῶν Ἀγγέλων ἀφθαρσίαν, καὶ συναριθμηθῇ τῇ ἁγίᾳ σου ποίμνῃ, καὶ τύχῃ τῆς ἐκ δεξιῶν σου παραστάσεως, καὶ ἀκούσῃ τῆς μακαρίας φωνῆς· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν Βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἧς καὶ ἡμᾶς κληρονόμους γενέσθαι ἀξίωσον, ὁ Θεός, τῇ σῇ ἀγαθότητι. Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου (τόνδε) εἰς τὴν πνευματικήν σου αὐλήν· συγκαταρίθμησον αὐτὸν τῷ λογικῷ σου ποιμνίῳ· κάθαρον αὐτοῦ τὸ φρόνημα ἀπὸ τῶν σαρκικῶν ἐπιθυμιῶν καὶ τῆς κενῆς ἀπάτης τοῦ βίου τούτου· καὶ δὸς αὐτῷ (*) ἀδιαλείπτως μνημονεύειν τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσί σε, καὶ σταυρώσασιν ἑαυτοὺς τῷ βίῳ, διὰ τὴν Βασιλείαν σου. Σὺ γὰρ εἶ ὁ ποιμὴν καὶ ἐπίσκοπος τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰδὲ οὐκ ἔστι Λειτουργία, λέγονται τὰ παρόντα Εἰρηνικά·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου.

Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.

Ὑπὲρ τοῦ Ἀδελφοῦ ἡμῶν (τοῦδε), καὶ τῆς παρὰ Θεοῦ σκέπης, καὶ βοηθείας αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀμέμπτως, ἀκατακρίτως, καὶ ἀνεμποδίστως διανῦσαι αὐτὸν τὸν σκοπὸν τοῦ μοναδικοῦ Σχήματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι τὴν ψυχὴν αὐτοῦ ἐν ἐγκρατείᾳ καὶ ἀσκήσει, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀπαλλαγῆναι αὐτὸν πάσης κοσμικῆς ἐπιθυμίας, καὶ τῆς πρὸς τοὺς κατὰ σάρκα συγγενεῖς προσπαθείας, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ συγχωρήσεως τῶν πλημμελημάτων αὐτοῦ, καὶ τοῦ γενέσθαι αὐτὸν ὑψηλότερον τῶν τοῦ κόσμου φρονημάτων, τοῦ Κυρίου δεηθῶμεν.

(*) Ἐν τῷ Χειρογράφῳ καὶ συνάγαγε αὐτὸν κ.τ.λ.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὑπὲρ τοῦ διάγειν αὐτὸν ἐν πάσῃ εὐσεβείᾳ, καὶ σεμνότητι, καὶ τελείῳ φόβῳ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀποθέσθαι αὐτὸν τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδύσασθαι τὸν νέον, τὸν κατὰ Θεὸν κτισθέντα, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

Ὁ Ἱερεύς. Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν.

Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

Προκείμενον. Ἦχος γ'. Κύριος φωτισμός μου καὶ σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ὁ Ἀπόστολος.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ς'. 10.

Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι, στῆναι. Στῆτε οὖν, περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. Ἀλληλούϊα. Οὗτος ὁ πτωχὸς ἐκέκραξε.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. ί. 37.

Εἶπεν ὁ Κύριος· Ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱόν, ἢ θυγατέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ,

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν· καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με. Ο῾ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτȣ λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται. Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα Μαθηταῖς αὐτοῦ, μετέβη ἐκεῖθεν, τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

Ὁ Διάκονος·

Ε῎λέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ε῎τι δεόμεθα ὑπὲρ ἀφέσεως, καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος).

Ο῾ Ἱερεὺς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Εἶτα δίδωσιν αὐτῷ ὁ Ἱερεὺς τὸν Σταυρὸν, λέγων·

Εἶπεν ὁ Κύριος· Εἴτις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

Καὶ τὸ κηρίον ἁπτούμενον, λέγων·

Εἶπεν ὁ Κύριος· Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Καὶ εὐθὺς ἀσπάζεται ὁ ἀποκαρεὶς τὸν Σταυρόν. Οἱ δὲ Ἀδελφοὶ ψάλλουσι τὸ παρὸν Ἰδιόμελον, Ἦχος α΄.

Ἐπιγνῶμεν, ἀδελφοὶ, τοῦ μυστηρίου τὴν δύναμιν· τὸν γὰρ ἐκ τῆς ἁμαρτίας πρὸς τὴν πατρικὴν ἑστίαν ἀναδραμόντα Α῎σωτον Υἱὸν, ὁ πανάγαθος Πατὴρ προϋπαντήσας ἀσπάζεται, καὶ πάλιν τῆς ἰδίας δόξης χαρίζεται τὰ γνωρίσματα, καὶ μυστικὴν τοῖς ἄνω ἐπιτελεῖ εὐφροσύνην, θύων τὸν μόσχον τὸν σιτευτόν· ἵνα ἡμεῖς ἀξίως πολιτευσώμεθα, τοῦ τε θύσατος φιλανθρώπου Πατρὸς, καὶ τοῦ ἐνδόξου θύματος, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ εὐθὺς γίνεται ὁ Ἀσπασμὸς, καὶ Ἀπόλυσις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΙΣ ΤΟ ΑΠΟΚΟΥΚΟΥΛΙΣΑΙ.

Πολυέλεε Κύριε, ὁ δωρησάμενος τῷ δούλῳ σου (τῷδε), διὰ τῆς ἀναλήψεως τοῦ ἀγγελικοῦ Σχήματος, τὸ Κουκούλιον, εἰς περικεφαλαίαν ἐλπίδος σωτηρίου, ἀναφαίρετον ἐκ τῆς αὐτοῦ κεφαλῆς τὴν τοιαύτην χάριν σου διατήρησον, συνέχων καὶ συνθάλπων τὸ τῆς διανοίας αὐτοῦ ἡγεμονικὸν ἐξ ἐναντίων προσβολῶν ἀπαρασάλευτον· ὅπως, τὴν τοῦ πονηροτάτου ὄφεως, τοῦ τηρεῖν αὐτοῦ τὴν πτέρναν συγχωρηθέντος, καταπατῶν κάραν, πρὸς σὲ τὴν φοβερὰν καὶ μόνην κεφαλὴν τῶν ἁπάντων, τοὺς νοητοὺς αὐτοῦ ὀφθαλμοὺς αἴρῃ. Ὅτι σὺ εἶ ὁ φωτισμὸς καὶ ὁ ἁγιασμὸς τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Ἱερεὺς μυστικῶς·

Τὸν τῇ πυρίνῃ κεφαλῇ τὴν ὑλαίαν κεφαλὴν σοὶ τῷ ἀοράτῳ, καὶ μόνῳ σοφῷ Θεῷ ὑποκλίναντα, Δέσποτα, εὐλόγησον, καθαγίασον, περιφρούρησον ἐκ πάσης ἐπιβλαβοῦς ἐπηρείας, ὁρατῆς τε καὶ ἀοράτου.

Ἐκφώνησις·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ ἐξουσία, καὶ ἡ δύναμις, καὶ σοὶ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΟΤΑΝ ΠΟΙΗ͂ Ο ΑΡΧΙΕΡΕΥΣ ΠΝΕΥΜΑΤΙΚΟΝ.

Ποιεῖ Εὐλογητόν· καὶ εὐθὺς τὸ Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία· εἶτα τὴν παροῦσαν Εὐχήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἀρχιερεύς·

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τοῖς λοιποῖς ἕνδεκα Μαθηταῖς ἀποστολικὴν καὶ πνευματικὴν διακονίαν χαρισάμενος, λύειν καὶ δεσμεύειν τὰ τῶν ἀνθρώπων πταίσματα ἐντειλάμενος· αὐτὸς καὶ νῦν τὸν δοῦλόν σου (τὸν δεῖνα) τὸν παρ᾽ ἐμοῦ μὲν ψηφισθέντα, πάσης δὲ χάριτος τελειωθέντα, ἄξιον καὶ αὐτὸν τῆς ἀποστολικῆς καὶ πνευματικῆς σου διακονίας, διὰ τῆς ἡμῶν ἐλεεινότητος, ἀνάδειξον, εἰς τὸ λύειν καὶ δεσμεύειν τὰ τῶν ἀναξίων πταίσματα. Ὅτι σὺ εἶ ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ ταύτην, τὸ Εὐαγγέλιον.

Ὁ Διάκονος·

Σοφία, ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου

Ὁ Διάκονος· Πρόσχωμεν.

Κεφ. κ΄. 19.

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν Σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ Μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ Μαθηταὶ ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

λέγει αὐτοῖς· Λάβετε Πνεῦμα Ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.

Πάλιν ὁ Ἀρχιερεύς·

Ἡ μετριότης, (ἢ ἡ ταπεινότης) ἡμῶν, διὰ τῆς χάριτος τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος, προχειρίζεταί σε τὸν εὐλαβέστατον (τὸν δεῖνα) Πνευματικὸν, εἰς τὸ τῆς πνευματικῆς πατρότητος λειτούργημα, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Καὶ Ἀπόλυσις.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΩΝ ΕΞΟΜΟΛΟΓΟΥΜΕΝΩΝ.

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας.

Ὑπὲρ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, συγχωρήσεως τῶν πλημμελημάτων τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος), καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς δωρήσηται αὐτῷ ἄφεσιν ἁμαρτιῶν, καὶ καιρὸν μετανοίας, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτόν τε καὶ ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα.

Εἶτα λέγει ὁ Ἱερεὺς τὴν παροῦσαν Εὐχήν·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος. Σελ. 218.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ ψάλλει τὸ Τρισάγιον· τὸ, Δεῦτε προσκυνήσωμεν· καὶ τὸν Ν΄. Ψαλμόν. Εἶτα τὰ παρόντα Τροπάρια, Ἦχος πλ. β΄. Ἐλέησον ἡμᾶς. Δόξα. Κύριε ἐλέησον ἡμᾶς. Καὶ νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην. Τὸ, Κύριε ἐλέησον ιβ΄.

Ὁ δὲ ἐξομολογούμενος λέγει· Ἥμαρτον, Κύριε, συγχώρησόν μοι. Καὶ τὸ, Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Ὁ Ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ Προφήτου σου Νάθαν. Ὅρα 217.

Εἶτα ὁ ἐξομολογούμενος, κλίνων τὰ γόνατα, καὶ ἄνω τὰς χεῖρας ἔχων, λέγει·

Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἐξομολογοῦμαί σοι πάντα τὰ κρυπτὰ καὶ φανερὰ τῆς καρδίας καὶ διανοίας μου, ἃ ἔπραξα ἕως τῆς σήμερον. Διὸ ἄφεσιν αἰτῶ παρὰ σοῦ τοῦ δικαίου καὶ εὐσπλάγχνου Κριτοῦ, καὶ χάριν τοῦ μηκέτι ἁμαρτάνειν.

Τότε ὁ Πνευματικὸς ἱλαρᾷ τῇ φωνῇ λέγει·

Ἀδελφὲ, δι' ὃ ἦλθες πρὸς τὸν Θεὸν καὶ πρὸς ἐμὲ, μὴ αἰσχυνθῇς· οὐ γὰρ ἐμοὶ ἀναγγέλλεις, ἀλλὰ τῷ Θεῷ, ἐν ᾧ ἵστασαι.

Καὶ ἐρωτᾷ αὐτὸν ὁ Πνευματικὸς εἰς πάντα τὰ ἁμαρτήματα· καὶ μετὰ τὸ ἐρωτῆσαι καταλεπτῶς, λέγει ταῦτα·

Τέκνον μου πνευματικὸν, ὁ τῇ ἐμῇ ταπεινότητι ἐξομολογούμενος, ἐγὼ ὁ ταπεινὸς καὶ ἁμαρτωλὸς οὐκ ἰσχύω ἀφιέναι ἁμάρτημα ἐπὶ τῆς γῆς, εἰμὴ ὁ Θεός· διὰ δὲ τὴν θεόλεκτον φωνὴν ἐκείνην, τὴν μετὰ τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Ἀνάστασιν γενομένην πρὸς τοὺς Ἀποστόλους, καὶ λέγουσαν· Ἄν τινων ἀφῆτε, (καὶ τὰ ἑξῆς)· εἰς ἐκείνην καὶ ἡμεῖς θαῤῥοῦντες, λέγομεν· Ὅσα ἐξεῖπες τῇ ἐμῇ ἐλαχίστῃ ταπεινότητι, καὶ ὅσα οὐκ ἔφθασας εἰπεῖν, ἢ κατ' ἄγνοιαν, ἢ κατὰ λήθην, οἷον δήποτε, ὁ Θεὸς συγχωρήσοι σοι ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι.

Καὶ ἐπισυνάπτει τὴν Εὐχὴν ταύτην (*).

Ὁ Θεὸς, ὁ συγχωρήσας Δαυῒδ, διὰ Νάθαν τοῦ Προφήτου, τὰ ἴδια ἐξομολογήσαντι ἁμαρτήματα, καὶ Πέτρῳ τὴν ἀρ-

(*) Ἡ Εὐχὴ αὕτη ἐν τῷ Χειρογράφῳ ἐπιγράφεται, τοῦ Χρυσοστόμου, καὶ ὑπάρχει πολλῷ πλατυτέρα.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

νησιν κλαύσαντι πικρῶς, καὶ Πόρνῃ δακρυσάσῃ ἐπὶ τοὺς αὐτοῦ πόδας, καὶ Τελώνῃ, καὶ Ἀσώτῳ· αὐτὸς ὁ Θεὸς, συγχωρήσαι σοι δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ πάντα καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι· καὶ ἀκατάκριτόν σε παραστῆσαι ἐν τῷ φοβερῷ αὐτοῦ Βήματι· περὶ δὲ τῶν ἐξαγορευθέντων ἐγκλημάτων μηδεμίαν φροντίδα ἔχων, πορεύου εἰς εἰρήνην.

---

# ΕΥΧΗ

## ΕΠΙ ΤΩΝ ΕΝ ΕΠΙΤΙΜΙΟΙΣ ΟΝΤΩΝ, ΚΑΙ ΕΑΥΤΟΥΣ ΟΡΚΩ ΔΕΣΜΟΥΝΤΩΝ.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Πατρὸς, ὁ πάντα δεσμὸν ἁμαρτίας ἡμῶν τῷ σῷ πάθει διαῤῥήξας, καὶ ἐμφυσήσας εἰς τὰ πρόσωπα τῶν σῶν Ἀποστόλων, καὶ εἰπών· Λάβετε Πνεῦμα Ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται· σὺ, Δέσποτα, διὰ τῶν ἁγίων σου Ἀποςόλων ἐχαρίσω τοῖς κατὰ καιρὸν ἱερουργοῦσιν ἐν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ ἐπὶ γῆς ἀφιέναι τὰς ἁμαρτίας, καὶ δεσμεῖν καὶ λύειν πάντα σύνδεσμον ἀδικίας. Δεόμεθα οὖν καὶ νῦν ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν (τοῦ δεῖνος), τοῦ παρεστηκότος ἐνώπιόν σου· Ἐπιχορήγησον αὐτῷ τὸ σὸν ἔλεος, διαῤῥήσσων αὐτοῦ τὸν δεσμὸν τῶν ἁμαρτιῶν, εἴτι ἐν ἀγνοίᾳ, ἢ ὀλιγωρίᾳ ἐλάλησεν, ἢ ὑπὸ μικροψυχίας ἔπραξεν, εἰδὼς τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ, ὡς φιλάνθρωπος καὶ ἀγαθὸς Δεσπότης, πάντα τὰ ἑκούσια καὶ τὰ ἀκούσια ἁμαρτήματα συγχώρησον αὐτῷ· ὅτι σὺ εἶ ὁ λύων τοὺς πεπεδημένους, ὁ ἀνορθῶν τοὺς κατεῤῥαγμένους, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ἡ ἀνάπαυσις τῶν πεπτωκότων· καὶ τὸν δοῦλόν σου τοῦτον ἐλευθέρωσον ἀπὸ τοῦ δεσμοῦ τῶν ἁμαρτημάτων. Ὅτι δεδόξασταί σου τὸ πανάγιον ὄνομα, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΠΙ ΤΩΝ ΕΞ ΕΠΙΤΙΜΙΩΝ ΛΥΟΜΕΝΩΝ.

Εὔσπλαγχε, ἀγαθέ, καὶ φιλάνθρωπε Κύριε, ὁ διὰ τοὺς σοὺς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα διαῤῥήξῃ τὸ καθ' ἡμῶν χειρόγραφον τῶν πλημμελημάτων, καὶ λύσῃ τὰ δεσμὰ τῶν ὑπὸ τῆς ἁμαρτίας πεπεδημένων, καὶ κηρύξῃ αἰχμαλώτοις ἄφεσιν. Σύ, Δέσποτα, καὶ τὸν δοῦλόν σου (τὸν δεῖνα) τῇ σῇ ἀγαθότητι ἐλευθέρωσον τοῦ ἐπικειμένου αὐτῷ δεσμοῦ· καὶ δώρησαι αὐτῷ ἀναμαρτήτως ἐν παντὶ καιρῷ καὶ τόπῳ προσιέναι τῇ σῇ μεγαλειότητι, μετὰ παῤῥησίας καὶ καθαροῦ συνειδότος, καὶ αἰτεῖσθαι τὸ παρὰ σοῦ πλούσιον ἔλεος. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΠΙ ΜΕΤΑΝΟΟΥΝΤΩΝ.

Ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ Προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαυῒδ ἐπὶ τοῖς ἰδίοις πλημμελήμασιν, ἄφεσιν δωρησάμενος, καὶ τοῦ Μανασσῆ τὴν ἐπὶ μετάνοιαν προσευχὴν δεξάμενος· αὐτὸς καὶ τὸν δοῦλόν σου (τὸν δεῖνα) μετανοοῦντα, ἐφ' οἷς ἔπραξε πλημμελήμασι, πρόσδεξαι τῇ συνήθει σου φιλανθρωπίᾳ, παρορῶν πάντα τὰ αὐτῷ πεπραγμένα, ὁ ἀφιεὶς ἀδικίας, καὶ ὑπερβαίνων ἀνομίας. Σὺ γὰρ εἶπας, Κύριε· Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· καὶ ὡς ἑβδομηκοντάκις ἑπτὰ ἀφιέναι τὰ ἁμαρτήματα. Ἐπεί, ὡς ἡ μεγαλωσύνη σου ἀνείκαστος, καὶ τὸ ἔλεός σου ἀμέτρητον· εἰ γὰρ ἀνομίας παρατηρήσῃς, τίς ὑποστήσεται; Ὅτι σὺ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

εἶ ὁ Θεὸς τῶν μετανοούντων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἑτέρα Εὐχή.

Κύριε, Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν καὶ ἀμνὲ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ τὸ δάνειον χαρισάμενος τοῖς δυσὶ χρεωφειλέταις, καὶ τῇ ἁμαρτωλῷ δοὺς ἄφεσιν ἁμαρτιῶν αὐτῆς· αὐτὸς, Δέσποτα, ἄνες, ἄφες, συγχώρησον τὰς ἁμαρτίας, τὰς ἀνομίας, τὰ πλημμελήματα, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ ἐν παραβάσει καὶ παρακοῇ γενόμενα παρὰ τῶν δούλων σȣ τούτων. Καὶ εἴτι, ὡς ἄνθρωποι σάρκα φοροῦντες καὶ τὸν κόσμον οἰκοῦντες, ἐκ τοῦ διαβόλου ἐπλανήθησαν, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε λόγον Ἱερέως κατεπάτησαν, ἢ ὑπὸ κατάραν Ἱερέως ἐγένοντο, εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσον, ἢ ὅρκῳ ὑπήχθησαν, αὐτὸς, ὡς ἀγαθὸς καὶ ἀμνησίκακος Δεσπότης, τούτους τοὺς δούλους σου λόγῳ λυθῆναι εὐδόκησον, συγχωρῶν αὐτοῖς καὶ τὸ ἴδιον ἀνάθεμα καὶ τὸν ὅρκον, κατὰ τὸ μέγα σου ἔλεος. Ναὶ, Δέσποτα φιλάνθρωπε Κύριε, ἐπάκουσον ἡμῶν δεομένων τῆς σῆς ἀγαθότητος ὑπὲρ τῶν δούλων σου τούτων, καὶ πάριδε ὡς πολυέλεος τὰ πταίσματα αὐτῶν ἅπαντα· ἀπάλλαξον αὐτοὺς τῆς αἰωνίȣ κολάσεως· σὺ γὰρ εἶπας, Δέσποτα· Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔςαι δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. Ὅτι σὺ εἶ μόνος ἀναμάρτητος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΜΕΤΑ ΘΑΝΑΤΟΝ ΣΥΓΧΩΡΗΤΙΚΗ.

Ο Κύριος Ἰησοῦς Χριστὸς, ὁ Θεὸς ἡμῶν, ὁ τὰς θείας ἐντολὰς τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποςόλοις δοὺς εἰς τὸ δεσμεῖν τε καὶ λύειν τοῖς πεπτωκόσι τὰ ἁμαρτήματα, καὶ ἐξ ἐκείνων αὖθις ἡμεῖς λαβόντες τὰς ἀφορμὰς τὸ αὐτὸ ποιεῖν, συγχωρῆσαι σοι, τέκνον πνευματικὸν, εἴτι ἂν ἔπραξας ἐν τῷ νῦν αἰῶνι ἑκούσιον, ἢ ἀκούσιον· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΑΙ

## ΣΥΓΧΩΡΗΤΙΚΑΙ

### εἰς πᾶσαν Ἀρὰν καὶ Ἀφορισμὸν, εἰς Τεθνεῶτα,

### ἀναγινωσκόμεναι παρὰ Ἀρχιερέως, ἢ, ἐξ ἀνάγκης, παρὰ Πνευματικοῦ Πατρὸς, εἰ οὐ πάρεστιν Ἀρχιερεύς.

Ἰστέον δὲ, ὅτι αἱ παροῦσαι Εὐχαὶ ἀναγινώσκονται οὕτως· Ἐν μὲν τῇ Προσκομιδῇ ἀναγινώσκουσι ταύτας μετὰ κατανύξεως πάντες οἱ μέλλοντες ἱερουργεῖν Ἱερεῖς· ἐν δὲ τῇ μεγάλῃ Εἰσόδῳ, ἐξελθόντων τῶν Ἱερέων ἔξω τῶν Καγκέλλων μετὰ τῶν Ἁγίων, καὶ ἱσταμένων, ὁ Ἀρχιερεὺς, κλίνας τὸ γόνυ, ἐκφωνεῖ ταύτας μεγαλοφώνως μετὰ κατανύξεως καὶ δακρύων· μετὰ δὲ τὸ τελειῶσαι αὐτὰς, ἀνιστάμενος δέχεται τὰ Ἅγια.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ ἀῤῥήτῳ σοφίᾳ δημιουργήσας τὸν ἄνθρωπον, καὶ ἐκ τοῦ χοὸς τοῦτον ἀναμορφώσας εἰς εἶδος καὶ κάλλος, (*) καὶ ἐξωραΐσας ὡς τίμιον καὶ οὐράνιον κτῆμα, εἰς δοξολογίαν καὶ εὐπρέπειαν τῆς σῆς δόξης καὶ βασιλείας, διὰ τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τοῦτον παραγαγεῖν· τὴν ἐντολὴν δὲ παραβάντα τοῦ σοῦ προστάγματος, καὶ μεταλαβόντα τῆς εἰκόνος, καὶ μὴ φυλάξαντα· καὶ διὰ

(*) Ἐν χειρογράφοις, ὡς εἶδος καὶ κάλλος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τοῦτο, ἵνα μὴ τὸ κακὸν ἀθάνατον γένηται, φιλανθρώπως κελεύσας τὴν κρᾶσιν καὶ μίξιν ταύτην, καὶ τὸν ἄῤῥητόν σου τοῦτον δεσμὸν, ὡς Θεὸς τῶν Πατέρων ἡμῶν, τῷ σῷ θείῳ βουλήματι, ἀποτέμνεσθαι καὶ διαλύεσθαι· ὥστε τὴν μὲν ψυχὴν ἐκεῖσε χωρεῖν, ἔνθα καὶ τὸ εἶναι προσελάβετο, μέχρι τῆς κοινῆς ἀναστάσεως, τὸ δὲ σῶμα εἰς τὰ, ἐξ ὧν συνετέθη, ἀναλύεσθαι· (*) διὰ τοῦτο δεόμεθά σοῦ τοῦ ἀνάρχου Πατρὸς, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ παναγίου, καὶ ὁμοουσίου, καὶ ζωοποιοῦ σου Πνεύματος, ἵνα μὴ παρίδῃς τὸ σὸν πλάσμα καταποθῆναι τῇ ἀπωλείᾳ· ἀλλὰ τὸ μὲν σῶμα διαλυθῆναι εἰς τὰ, ἐξ ὧν συνετέθη, τὴν δὲ ψυχὴν καταταγῆναι ἐν τῷ χορῷ τῶν Δικαίων. Ναὶ, Κύριε ὁ Θεὸς ἡμῶν, νικησάτω σου τὸ ἄμετρον ἔλεος, καὶ ἡ φιλανθρωπία ἡ ἀνείκαστος· καὶ εἴτε ὑπὸ κατάραν πατρὸς, ἢ μητρὸς, εἴτε τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν ὁ δοῦλός σου οὗτος, εἴτε τινὰ τῶν Ἱερωμένων παρεπίκρανε, καὶ δεσμὸν ἄλυτον παρ᾽ αὐτοῦ ἐδέξατο, εἴτε ὑπὸ Ἀρχιερέως βαρυτάτῳ ἀφορισμῷ περιέπεσεν, ἢ ἀμελείᾳ, καὶ ῥᾳθυμίᾳ χρησάμενος, οὐκ ἔτυχε συγχωρήσεως, συγχώρησον αὐτῷ, δι᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου· καὶ τὸ μὲν σῶμα αὐτοῦ εἰς τὰ, ἐξ ὧν συνετέθη, διάλυσον, τὴν δὲ ψυχὴν αὐτοῦ ἐν σκηναῖς Ἁγίων κατάταξον. Ναὶ Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῖς ἁγίοις σου Μαθηταῖς καὶ Ἀποστόλοις ταύτην τὴν ἐξουσίαν δοὺς, ὥστε τῶν ἁμαρτημάτων διδόναι τὴν ἄφεσιν, καὶ εἰπὼν, ὅσα ἂν δήσωσι καὶ λύσωσιν, ἵνα ὦσι δεδεμένα καὶ λελυμένα· δι᾽ αὐτῶν δὲ καὶ εἰς ἡμᾶς, εἰ καὶ ἀναξίους, ὡσαύτως τὴν τηλικαύτην δωρεὰν φιλανθρώπως διαβιβάσας, λῦσον τὸν κοιμηθέντα δοῦλόν σου (τὸν δεῖνα) τοῦ ψυχικοῦ καὶ σωματικοῦ ἁμαρτήματος, καὶ ἔσω συγκεχωρημένος καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι· πρεσβείαις τῆς παναχράντου καὶ ἀειπαρθένου σου Μητρὸς, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

(*) Ἐν χειρογράφοις ἀναγινώσκεται οὕτω· φιλανθρώπως κελεύσας τὴν κρᾶσιν καὶ μίξιν ταύτην, τῷ σῷ θείῳ βουλήματι ἀποτέμνεσθαι καὶ διαλύεσθαι· τὴν δὲ ψυχὴν ἐκεῖσε χωρεῖν, ἔνθα καὶ τὸ εἶναι προσελάβετο, μέχρι τῆς κοινῆς ἀναστάσεως· διὰ τοῦτο δεόμεθά σου κ.τ.λ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριςὲ, ὁ Θεὸς ἡμῶν, ὁ τὰς κλεῖς τῆς τῶν οὐρανῶν Βασιλείας καὶ, τῇ σῇ χάριτι, τὴν τοῦ δεσμεῖν τε καὶ λύειν τὰς τῶν ἀνθρώπων ἁμαρτίας, μετὰ τὴν ἁγίαν σου ἐκ νεκρῶν τριήμερον Ἐξανάστασιν, τοῖς σοῖς ἁγίοις Μαθηταῖς καὶ ἱεροῖς Ἀποςόλοις δωρησάμενος ἐξϐσίαν, ὥστε δεδεμένα εἶναι καὶ ἐν τῷ οὐρανῷ, ὅσα δι' αὐτῶν ἐν γῇ δέδενται, καὶ λελυμένα ὡσαύτως ἐν τῷ ϐρανῷ, ὅσα δι' αὐτῶν ἐν γῇ λέλυνται· διαδόχους δὲ ἡμᾶς, τοὺς εὐτελεῖς καὶ ἀναξίϐς δϐλους σου, τῆς αὐτῆς ταύτης παρὰ σϐ ὑπεραγίας δωρεᾶς τε καὶ χάριτος τῇ ἀφάτῳ σϐ φιλανθρωπίᾳ καταξιώσας γενέσθαι, ὥστε καὶ ἡμᾶς οὕτω δεσμεῖν τε καὶ λύειν τὰ ἐν τῷ λαῷ σου συμβαίνοντα· αὐτὸς, πανάγαθε Βασιλεῦ, δι' ἐμϐ τοῦ ταπεινοῦ καὶ ἀχρείου δούλϐ σου, συγχώρησον τῷ δούλῳ σου (τῷ δεῖνι), εἴτι ἐν τῷ παρόντι βίῳ, ὡς ἄνθρωπος, ἐπλημμέλησε· καὶ ἄφες αὐτῷ ὅσα ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν ἥμαρτε, λύσας αὐτοῦ καὶ τὸν ἐπικείμενον μεθ' οἱωνδήποτε τρόπων δεσμὸν, ὃν αὐτὸς καθ' ἑαυτὸν ἐκ συναρπαγῆς, ἢ ἄλλης τινὸς αἰτίας ἔδησεν, εἴτε ὑπὸ Ἀρχιερέως, εἴτε παρ' ἄλλου τινὸς, φθόνῳ καὶ συνεργείᾳ τοῦ πονηροῦ, τοιοῦτον ὑπέςη ὀλίσθημα· εὐδόκησον, ὡς μόνος ἀγαθὸς καὶ πολυέλεος, τὴν μὲν ψυχὴν αὐτοῦ μετὰ τῶν Ἁγίων ταχθῆναι τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, τὸ δὲ σῶμα τῇ παρὰ σοῦ δημιουργηθείσῃ φύσει δοθῆναι. Ὅτι εὐλογητὸς καὶ δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΠΙ ΤΩΝ ΠΡΟΠΕΤΩΣ ΟΜΝΥΟΝΤΩΝ.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ τῆς τῶν ἀνθρώπων φύσεως τὸ εὐάλωτον καὶ ἀσθενὲς ἐπιστάμενος, καὶ τοὺς τῶν ἐννοιῶν ἡμῶν διαλογισμοὺς σαφῶς ἐπιγινώσκων, τὰς ἐκ προπετείας ἡμῖν γινομένας ἐνθυμήσεις, ἀμνησίκακος ὢν, παριδεῖν καταξίωσον, καὶ τοῖς προλήψει ὅρκου συσχεθεῖσι συγχώρησον· σὺ γὰρ μόνος ἐπίςασαι τὰ κρύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

φια τῶν καρδιῶν ἡμῶν. Διὸ δεόμεθά σου, συγγνώμην αὐτοῖς τε καὶ ἡμῖν παράσχου διὰ τὴν σὴν ἄρρητον ἀγαθότητα. Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΠΙ ΤΩΝ ΜΙΑΡΟΦΑΓΗΣΑΝΤΩΝ.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ ἔπαινος τοῦ Ἰσραήλ· κλῖνον τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ παράσχου συγγνώμην τῷ σῷ οἰκέτῃ (τῷδε) μιαροφαγήσαντι, καὶ γευσαμένῳ κρεῶν, ἢ τοίων δὴ βρωμάτων μὴ καθαρῶν, ὧν τὴν βρῶσιν ἀπηγόρευσας ἐν Νόμῳ ἁγίῳ σου· τούτων δὲ ἀβουλήτως μετασχόντι συγχώρησον, καὶ καταξίωσον αὐτὸν ἀκατακρίτως μεταλαβεῖν τῶν φρικτῶν Μυστηρίων, τοῦ τιμίου Σώματός τε καὶ Αἵματος τοῦ Χριστοῦ σου (*)· ὅπως ῥυσθείη τοῦ λοιποῦ πάσης ἀκαθάρτου μεταλήψεως καὶ πράξεως, ὡς ἐντρυφῶν τοῖς θείοις σου Μυστηρίοις, καὶ ἀπολαύων τῆς ἁγίας σου καὶ μυστικῆς Τραπέζης, καὶ διαφυλαττόμενος σὺν ἡμῖν ἐν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, αἰνῶν, καὶ δοξάζων τὸ Ὄνομά σου τὸ ὕψιστον πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(*) Τὸ Χειρόγραφον ἔχει καὶ ταῦτα· ἐν καθαρότητι ψυχῆς τε καὶ σώματος μεταλαβεῖν τῶν φρικτῶν σου καὶ ἀθανάτων Μυστηρίων, κ.τ.λ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΠΙ ΑΙΣΧΡΩΝ ΛΟΓΙΣΜΩΝ.

Δέσποτα Κύριε, ὁ Θεός μου, οὗ ἐν Χερσὶν οἱ κλῆροί μου, ἀντιλαβοῦ μου κατὰ τὸ ἔλεός σου, καὶ μὴ ἐάσῃς με συναπολέσθαι ταῖς ἀνομίαις μου, μηδὲ τῷ θελήματι ἐπακολουθῆσαι τῆς ἐπιθυμούσης σαρκός μου κατὰ τοῦ πνεύματος. Πλάσμα σόν εἰμι· μὴ παρίδῃς ἔργον χειρῶν σου· μὴ ἀποστραφῇς, οἴκτειρον, ἀλλὰ μὴ ἐξουδενώσῃς, μηδὲ ὑπερίδῃς με, Κύριε, ὅτι ἀσθενής εἰμι, ὅτι πρὸς σὲ κατέφυγον τὸν σκεπαστήν μου Θεόν. Ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι· σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, ὅτι ἐπὶ σὲ ἐπεῤῥίφην ἐκ νεότητός μου· αἰσχυνθήτωσαν οἱ ἐπανιστάμενοί μοι, καὶ ἐντραπήτωσαν οἱ ζητοῦντές με ἐξουδενῶσαι ἀπὸ σοῦ διὰ πράξεων ἀσέμνων, διὰ λογισμῶν ἀπρεπῶν, δι' ἐνθυμήσεων ἀσυμφόρων. Ἀπέλασον ἀπ' ἐμοῦ πᾶσαν ῥυπαρίαν, καὶ κακίας περίσσευμα· ὅτι σὺ εἶ μόνος ἅγιος, μόνος ἰσχυρὸς, μόνος ἀθάνατος, κατὰ πάντα ἔχων τὴν δυναστείαν ἀνείκαστον· καὶ διὰ σοῦ δίδοται πᾶσιν ἡ κατὰ τοῦ διαβόλου καὶ τῆς αὐτοῦ στρατιᾶς ἰσχύς. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΗ

## ΕΙΣ ΠΟΛΕΜΟΝ ΠΟΡΝΕΙΑΣ.

Ὁ Θεὸς τῶν Δυνάμεων, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, ἱλάσθητι τοῖς δούλοις σου, καὶ μὴ δῷς ἀνθρώπῳ καὶ δαίμονι κοινωνίαν. Ἐπιτίμησον τοῖς ἀκαθάρτοις πνεύμασι· σύντριψον τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας τῶν δούλων σου· ἐγκαίνισον αὐτοὺς τῷ Ἁγίῳ σου Πνεύματι· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ· καὶ πάσης ἐνεργείας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τοῦ ἀντικειμένου λυτρωσάμενος, παράστησον τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ τῶν ἐπουρανίων σου καὶ ζωοποιῶν Μυστηρίων ἀξίωσον. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τῶν μετανοούντων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα ὁμοία.

Κύριε, ὁ Θεὸς τῆς δικαιοσύνης, ἰσχύς μου, καὶ βοήθεια, καὶ καταφυγή μου ἐν ἡμέρᾳ κακῇ· σὺ σώζεις ἐν καιρῷ θλίψεως· σῶσόν με, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις ἀπὸ προσώπου ἐχθροῦ καταδυναστεύοντος· ὅτι κατεδίωξε τὴν ψυχήν μου, καὶ κατεπάτησεν εἰς γῆν τὴν ζωήν μου· ὅλην τὴν νύκτα πολεμῶν ἔθλιψέ με. Εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος, ὅπως ἂν μὴ ἁμάρτω σοι· ὅτι φόβος θανάτου ἐπέπεσεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος. Ἕως τίνος κεκράξομαι, Κύριε, καὶ οὐκ εἰσακούσῃ μου; βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ μὴ σώσῃς; Ἐπίβλεψον ἐξ οὐρανοῦ, Κύριε, καὶ ἴδε ἐκ τοῦ Οἴκου τοῦ ἁγίου σου καὶ τῆς δόξης σου. Ποῦ ἐστι τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, κατὰ τὸ ἔλεός σου, ὅτι ἠνέσχου ἡμῶν; Κύριε, δίκασον τοὺς ἀδικοῦντάς με· μὴ ἔσο ὡς ἄνθρωπος ὑπνῶν, καὶ ὡς ἀνὴρ μὴ δυνάμενος σώζειν. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΕΥΧΗ

### ΛΕΓΟΜΕΝΗ ΠΡΟ ΤΟΥ ΥΠΝΩΣΑΙ, ΚΑΙ ΕΙΣ ΕΝΥΠΝΙΑΖΟΜΕΝΟΝ.

Πολυΰμνητε Κύριε, ἀκήρατε, ἀμόλυντε, μόνε ἀναμάρτητε, καθαρόν με τὸν δοῦλόν σου ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ ἄσπιλον ἀνάδειξον διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου, καὶ ἁγίασόν με τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σȣ Πνεύματος· ἵνα, ἀνανήψας ἐκ τῆς ὁμίχλης τῶν ἀκαθάρτων φαντασιῶν τοῦ διαβόλȣ, καὶ παντὸς πειρασμοῦ, καταξιωθείην ἐν καιρῷ εὐθέτῳ προσελθεῖν, καὶ ἀπογεύσασθαι τῶν φρικτῶν σου καὶ φοβερῶν Μυστηρίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΠΙ ΠΑΣΑΝ ΑΡΡΩΣΤΙΑΝ.

Δέσποτα Παντοκράτορ, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ ταπεινῶν καὶ ἀνυψῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, τὸν ἀδελφὸν ἡμῶν (τὸν δεῖνα) τὸν ἀσθενοῦντα ἐπίσκεψαι ἐν τῷ ἐλέει σου. Ἔκτεινον τὸν βραχίονά σου τὸν ἀόρατον, τὸν πλήρη ἰάσεως καὶ θεραπείας, καὶ ἴασαι αὐτὸν, ἐξανιστῶν ἀπὸ κλίνης ἀῤῥωςίας. Ἐπιτίμησον τῷ πνεύματι τῆς ἀσθενείας· ἀπόστησον ἀπ' αὐτοῦ πᾶσαν πληγὴν, πᾶσαν ἀλγηδόνα, πᾶσαν μάστιγα, πάντα πυρετὸν ἢ ῥῖγος· καὶ εἴτι ἔστιν ἐν αὐτῷ πλημμέλημα, ἢ ἀνόμημα, ἄνες, ἄφες, συγχώρησον διὰ τὴν σὴν φιλανθρωπίαν. Ναὶ, Κύριε, φεῖσαι τοῦ πλάσματός σου, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΗΝ

# ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΕΝ ΕΞΟΜΟΛΟΓΗΣΕΙ ΑΜΑΡΤΩΛΟΥ.

Ποίημα Εὐθυμίου Μοναχοῦ Συγκέλλου.

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Πῶς μου θρηνήσω τὸν βίον τὸν ῥυπαρὸν, καὶ τὰ πλήθη Δέσποτα, τῶν ἀμέτρων μου κακῶν; τί δὲ ἐξαγγείλω σοι Ἁγνή; ἀπορῶ καὶ δειλιῶ· ἀλλὰ βοήθει μοι.

Πόθεν ἀπάρξομαι λέγειν τὰ πονηρὰ, καὶ δεινά μου πταίσματα, ὁ ταλαίπωρος ἐγώ; οἴμοι τί γενήσομαι λοιπόν; ἀλλὰ Δέσποινα κἀμὲ πρὸ τέλους οἴκτειρον.

Πᾶσαν ὁδὸν παροδεύσας ἁμαρτιῶν, σωτηρίας Ἄχραντε, τρίβον εὗρον οὐδαμῶς· ἀλλὰ σοὶ προστρέχω ἀγαθή· Μὴ παρίδῃς ἐκ ψυχῆς μετανοοῦντά με.

Τοῦ μὲν θανάτου τὴν ὥραν διηνεκῶς, ἐννοῶ Πανάχραντε, καὶ τὸ βῆμα τὸ φρικτόν· συνηθείᾳ ὅλως δὲ κακῶν, δελεάζομαι δεινῶς· ἀλλὰ βοήθει μοι.

Τῶν ἀγαθῶν ὁ φθορεύς με νῦν καθορῶν, γυμνὸν, ἀπροστάτευτον, καὶ μακρὰν ἀπὸ Θεοῦ, γεγονότα θείων ἀρετῶν, καταπίνειν με ὁρμᾷ· Δέσποινα πρόφθασον.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Ψυχὴν ἐμόλυνα αἰσχρῶς, Δέσποινα Θεοτόκε, ἐξ ἀμέτρων πταισμάτων, ὁ ταλαίπωρος ἐγώ· καὶ ποῦ λοιπὸν πορευθῶ, ἀπογνώσει ὅλος συνεχόμενος;

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Τὸ κατ' εἰκόνα τοῦ Θεοῦ, κατεσπίλωσα οἴμοι, ὑψηλόφρονι γνώμη, ὁ ταλαίπωρος ἐγώ· καὶ ποῦ λοιπὸν πορευθῶ; ἀλλὰ σπεῦσον Παρθένε βοήθει μοι.

Οὐκ ἔστιν ὅλως ἐν βροτοῖς, ὁ τὰ ἄθεσμα πράξας, γεννηθεὶς ἐν τῷ βίῳ, ὥσπερ ἐγὼ Ἀγαθή, ἀσελγείας τῶν δεινῶν· τὸ γὰρ θεῖον Βάπτισμα ἐμόλυνα.

Εἰς τέλος ἔφθασα κακῶν, Παναγία Παρθένε· σὺ βοήθησον τάχει· οὐρανὸς γὰρ καὶ ἡ γῆ, καταβοῶσι πικρῶς, τῶν ἀμέτρων πράξεων τὰ ἄτοπα.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ἀγγέλων τάγματα, καὶ τὰ στρατεύματα, οὐρανῶν αἱ Δυνάμεις τοῦ σοῦ Υἱοῦ, φρίττουσι τὸ κράτος Ἁγνή· νῦν δὲ ἐγὼ ἀπογνωσθείς, ἀφοβίᾳ περιέχομαι.

Ἐξέστη ἅπασα, ἡ γῆ καὶ ἔφριξε, καθορῶσα δεινῶς τε καὶ πονηρῶς, πράττοντα τὰ ἄτοπα, καὶ τοῦ Υἱοῦ σου τὴν πολλὴν, εὐσπλαγχνίαν καταπλήττοντα.

Ναὸν ἐμόλυνα, κακῶς τοῦ σώματος, καὶ Ναὸν τοῦ Κυρίου, ὅν περ βροτοί, τρέμοντες εἰσέρχονται· ἐγὼ δὲ οἴμοι! ἀναιδῶς, εἰσπορεύομαι ὁ ἄσωτος.

Μὴ δείξῃς Δέσποινα, μὴ δείξῃς ξένον με, ξενωθέντα τῆς σκέπης τοῦ σοῦ Υἱοῦ, ὅλως καὶ ἀνάξιον· ἀλλὰ ἀπόπλυνον κἀμέ, ἐκ τοῦ ῥύπου τῶν πταισμάτων μου.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

Ἀδὰμ παρέβη μὲν ἐντολὴν, μίαν σου Παρθένε τοῦ Υἱοῦ, καὶ ἐξορίᾳ ὑπέπεσε· πῶς δέ μου θρηνήσω πταισμάτων ἄβυσσον, ἐγὼ ὁ ἀποστάτης, καὶ παραβάτης Θεοῦ;

Φθορεὺς μὲν πάλαι ἀναφανεὶς, καὶ ἀδελφοκτόνος Κάϊν, πρὶν ἀπὸ Θεοῦ κεκατήραται· τί δὲ καὶ ποιήσω ἐγὼ ὁ πάντολμος; ψυχὴν γὰρ ἀποκτείνας, νῦν οὐκ αἰσχύνομαι.

Ἠσαῦ ἐζήλωσα τὸν δεινὸν, ἐν γαστριμαργίᾳ καὶ τρυφῇ, ψυχὴν καὶ σῶμα ἐμόλυνα, μέθῃ καὶ λαγνείᾳ ῥυπώσας βίον μου· καὶ τίς λοιπὸν μὴ κλαύσῃ, ἐμὲ τὸν ἄθλιον;

Τῷ θείῳ φέγγει σου Ἀγαθὴ, ἴασαί μου πάθη τῆς ψυχῆς, ἃ ὁ φθορεύς μοι ἐνέσπειρε· ῥῦσαί με τῆς τούτου αἰχμαλωσίας πικρᾶς· γελᾷ γὰρ καθορῶν με, νῦν ἀπροστάτευτον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ ϛʹ. Τοῦ βίου τὴν θάλασσαν.

Ὁ βίος μου ἄσωτος, ἡ ψυχή μου ῥυπαρὰ, καὶ ἡ ζωὴ πανάθλιος· τὸ δὲ σῶμά μου ὅλον ἐν τοῖς κακοῖς, δεινῶς κατεσπίλωσα· διὸ σπεῦσον Παρθένε, καὶ βοήθει μοι.

Τὸ τέλος ἐφέστηκε, καὶ οὐ φέρω Ἀγαθὴ, τὸ συνειδὸς ἐλέγχει με· παριστᾷ γάρ μοι πράξεις τὰς πονηρὰς, καὶ βίου τὸ ἄστατον, καὶ τὸ βῆμα πτοοῦμαι τοῦ Υἱοῦ σου Ἁγνή.

Σαρκός μου τὴν πύρωσιν, ποταμὸς ὁ τοῦ πυρὸς, ὁ φοβερὸς καὶ ἄσβεστος, ἀναμένει Πανάχραντε ἀληθῶς, καὶ σκώληξ ἀκοίμητος· ἀλλὰ ῥῦσαί με τούτων ταῖς πρεσβείαις σου.

Σὺν τρόμῳ συνέχομαι, καὶ πτοοῦμαι Ἀγαθὴ, τοῦ πονηροῦ τὰ ἔνεδρα· πρὸ τοῦ τέλους γὰρ τρύζει μοι ὁ φθορεὺς, ὀδόντας κατέχων με, ὡς αἰχμάλωτον ὄντα καὶ γυμνὸν ἀρετῶν.

Ὠδὴ ζʹ. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἑπταπλάσιον τὴν φλόγα μοι ἐξέκαυσε, τὴν τῶν παθῶν ὁ δόλιος, ταῖς μοιχείαις δὲ τῆς καρδίας ὅλον θανατοῖ· ἀλλ' ἄρδευσον ῥείθροις τῶν ἐμῶν, δακρύων Μῆτερ τοῦ Θεοῦ, καὶ μὴ ἀπώσῃ με.

Συμπνιγόμενον τῷ βόθρῳ τῶν πταισμάτων μου, μή με ἐάσῃς Δέσποτα· καὶ γὰρ βλέπων με ἀπογνόντα ὄντα ἀγαθὴ, γελᾷ ὁ παμπόνηρος ἐχθρός· ἀλλὰ αὐτή σου κραταιᾷ χειρὶ ἀνάστησον.

Φοβερὸν μὲν τὸ κριτήριον ταλαίπωρε, ψυχή μου καὶ ἀναίσθητε, καὶ ἡ κόλασις ἀτελεύτητός τε καὶ φρικτή· ἀλλ' ὅμως νῦν πρόσπεσον Μητρὶ, τῇ τοῦ Κριτοῦ σου καὶ Θεοῦ· καὶ τί ἀπέγνως σαυτήν;

Ἐπὶ σὲ τὴν πᾶσαν Δέσποινα ἐλπίδα μου, ἀνέθηκα ὁ ἄσωτος· μὴ ἀποστρέψῃς ἀπ' ἐμοῦ τὸ πρόσωπόν σου νῦν· μὴ σπλάγχνα φιλάνθρωπα τὰ σὰ, κλείσῃς μοι Μῆτερ τοῦ Θεοῦ· ἀλλὰ βοήθει μοι.

Ἐσκοτίσθην ὁ ταλαίπωρος Πανάχραντε, τῷ πλήθει τῶν ἀμέτρων κακῶν, καὶ ἠλλοίωμαι τῆς ψυχῆς τὸ ὄμμα καὶ τὸν νοῦν· διό με φωτός σου ταῖς αὐγαῖς, πρὸς ἀπαθείας γλυκασμὸν θᾶττον εἰσάγαγε.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Τῆς Τριάδος τὸν ἕνα Θεὸν ἡ τέξασα, καὶ ἀγκάλαις βαστάσασα Μητροπάρθενε, σβέσον τῶν παθῶν, τὴν πυρίφλογον κάμινον, καὶ δακρύων ῥείθροις, ἀπόπλυνον ψυχήν μου.

Παρουσίαν θανάτου φρίττω Πανάχραντε, καὶ τὴν κρίσιν ἐκείνην ὅλως οὐ δέδοικα· πράττειν δὲ κακὰ οὐδὲ ὅλως ἀφίσταμαι· οἴκτειρον καὶ σῶσον, πρεσβείαις σου πρὸ τέλους.

Στεναγμοὺς ἀσιγήτους Δέσποινα δώρησαι, καὶ δακρύων πηγήν μοι, ἵνα ἐκπλύνω μου, πταίσματα πολλὰ, καὶ ἀνίατα τραύματα, ὅπως ἐπιτύχω, ζωῆς τῆς αἰωνίου.

Τῶν κακῶν μου τὰ πλήθη σοὶ ἐξηγόρευσα· ὡς οὐδεὶς γὰρ ἐν κόσμῳ ἄλλος παρώργισα, Δέσποινα Θεὸν, τὸν Υἱόν σου καὶ Κύριον· τούτῳ με ἐν τάχει, κατάλλαξον εὐχαῖς σου.

Μή με στήσῃς ἐν ὥρᾳ Δέσποτα κρίσεως, μετὰ τῶν κατακρίτων ὁ φύσει εὔσπλαγχνος· ἀλλὰ σῆς Μητρὸς ταῖς πρεσβείαις ἐλέησον, καὶ τοῖς δεξιοῖς σὺ μὲ σύνταξον προβάτοις.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ἰδοὺ προσέρχομαι σοὶ Πανάχραντε, φόβῳ πολλῷ καὶ πόθῳ τὴν ἰσχὺν ἐπιστάμενος, τῆς πολλῆς πρεσβείας ἐγὼ ὁ δοῦλός σου· μέγιστα γὰρ ἰσχύει, ὦ παντευλόγητε, δέησις Μητρὸς πρὸς τὸν Υἱόν· σπλάγχνοις γὰρ κάμπτεται.

Χοροὺς παράλαβε Ἀρχαγγέλων τε, καὶ τὴν πληθὺν τῶν ἄνω στρατευμάτων καὶ Πρόδρομον, Ἀποστόλων δήμους καὶ Προφήτας τε, Μάρτυρας, καὶ Ὁσίους, Ἱερομάρτυρας, καὶ πρεσβείαν ποίησον Ἁγνὴ, ὑπὲρ ἐμοῦ πρὸς Θεόν.

Καὶ νῦν καὶ τότε τὴν σὴν βοήθειαν, εὕρω Ἁγνὴ, ἐν ᾗ ὅταν ἐκλείπῃ τὸ πνεῦμά μου, τῶν δαιμόνων θᾶττον λυτρουμένη με, ῥῦσαι τῆς τυραννίδος τούτων Πανάχραντε, καὶ μή με ἐάσῃς ἀγαθὴ, παραδοθῆναι αὐτοῖς.

Κριτὴν οἰκτίρμονα καὶ φιλάνθρωπον, τὸν σὸν Υἱὸν ἐκδέχομαι Ἁγνὴ, μὴ ὑπερίδῃς με· ἀλλ' αὐτόν μοι ποίησον εὐΐλατον, στῆσαι ἐκ δεξιῶν με, τότε Πανύμνητε, τοῦ ἀχράντου βήματος αὐτοῦ· εἰς σὲ γὰρ ἤλπισα.

Ἀρχαὶ, Ἀρχάγγελοι, Κυριότητες, καὶ Σεραφὶμ, Δυνάμεις, Ἐξουσίαι, καὶ Ἄγγελοι, Θρόνοι πολυομμάτοις σὺν τοῖς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Χερουβίμ, νῦν τὸν δεδοξασμένον τόκον σου σέβοντες, σὲ Παρθενομῆτορ εὐλαβῶς, ἀεὶ δοξάζομεν.

Εἶτα τὸ, Ἄξιόν ἐστιν ὡς ἀληθῶς.

Καὶ εὐθύς· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον. Κεφ. ιά. 22.

Εἶπεν ὁ Κύριος· Ἔχετε πίστιν Θεοῦ· Ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν· καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ, ὅτι ἃ λέγει γίνεται, ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ. Διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε· καὶ ἔσται ἡμῖν. Καὶ ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴτι ἔχετε κατά τινος· ἵνα καὶ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν· εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε, οὐδὲ ὁ Πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν. Εἶτα·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης.

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἡ Εὐχὴ τοῦ ὁσίου Πατρὸς ἡμῶν
Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἐξουσίαν ἀνθρώποις ἀφιέναι ἁμαρτίας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, πάριδε πάντα τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ πλημμελήματα, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, τὰ ἐν ἔργῳ, καὶ λόγῳ, καὶ κατὰ διάνοιαν, καὶ ἀκατακρίτως τὸν δοῦλόν σου τοῦτον καταξίωσον μεταλαβεῖν τῶν θείων, ἁγίων, ἀχράντων, καὶ ἀθανάτων σου Μυστηρίων· μὴ εἰς βάρος, καὶ κόλασιν, καὶ προσθήκην ἁμαρτημάτων, ἀλλ' εἰς ἁγιασμὸν, εἰς φωτισμὸν, εἰς καθαρισμὸν, εἰς στηριγμὸν, εἰς ἀῤῥαβῶνα ζωῆς αἰωνίου, καὶ τῆς ἐπουρανίου σου Βασιλείας· εἰς τεῖχος καὶ βοήθειαν, καὶ ἀποτροπὴν παντὸς ἐναντίου, εἰς ἐξάλειψιν τῶν αὐτοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σύρου

πλημμελημάτων, καὶ δόξαν τοῦ κράτους σου· πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῶν τιμίων ἐπουρανίων, νοερῶν, αὔλων Δυνάμεων ἀσωμάτων, καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων. Ἀμήν.

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΠΙ ΜΝΗΣΤΡΟΙΣ

ΗΤΟΙ

## ΤΟΥ ΑΡΡΑΒΩΝΟΣ.

Μετὰ τὴν θείαν Λειτουργίαν, τοῦ Ἱερέως ἑστῶτος ἐν τῷ Ἱερατείῳ, παρίστανται οἱ μέλλοντες ζεύγνυσθαι πρὸ τῶν ἁγίων Θυρῶν· ὁ μὲν Ἀνὴρ ἐκ δεξιῶν, ἡ δὲ Γυνὴ ἐξ εὐωνύμων. Ἀπόκειται δὲ ἐν τῷ δεξιῷ μέρει τῆς ἁγίας Τραπέζης δακτύλιοι αὐτῶν δύω, χρυσοῦς, καὶ ἀργυροῦς· ὁ μὲν ἀργυροῦς ἀπονεύων πρὸς τὰ δεξιὰ, ὁ δὲ χρυσοῦς πρὸς τὰ ἀριστερὰ, σύνεγγυς ἀλλήλων. Ὁ δὲ Ἱερεὺς, σφραγίζει τὰς κεφαλὰς τῶν αὐτῶν Νεονύμφων ἐκ γ΄, καὶ δίδωσιν αὐτοῖς κηροὺς ἁπτομένους· καὶ εἰσάξας αὐτοὺς ἔνδον τοῦ Ναοῦ, θυμιᾷ σταυροειδῶς· καὶ ὁ Διάκονος λέγει· **Εὐλόγησον, Δέσποτα.**

Καὶ ὁ Ἱερεὺς ἐκφωνεῖ·

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.** Ὁ Χορός· **Ἀμήν.**

Ὁ Διάκονος· **Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

Ὁ Χορός· **Κύριε, ἐλέησον.**

**Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.**

**Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δε), καὶ τῆς δούλης τοῦ Θεοῦ (τῆς δε), τῶν νῦν μνηστευομένων ἀλλήλοις, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς τέκνα εἰς διαδοχὴν γένους, καὶ πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτοῖς ἀγάπην τελείαν, εἰρηνικὴν, καὶ βοήθειαν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ φυλαχθῆναι αὐτοὺς ἐν ὁμονοίᾳ, καὶ βεβαίᾳ πίστει, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ εὐλογηθῆναι καὶ φυλαχθῆναι, αὐτοὺς ἐν ὁμονοίᾳ, καὶ βεβαίᾳ πίστει, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτοὺς ἐν ἀμέμπτῳ βιοτῇ καὶ πολιτείᾳ, τοῦ Κυρίου δεηθῶμεν.
Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς τίμιον τὸν γάμον, καὶ τὴν κοίτην ἀμίαντον, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου.

Ὁ Χορός· Σοὶ Κύριε.

Ὁ Ἱερεύς·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει τὴν Εὐχὴν ταύτην μεγαλοφώνως·

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα συναγαγὼν εἰς ἑνότητα, καὶ σύνδεσμον διαθέσεως τιθεὶς ἄῤῥηκτον· ὁ εὐλογήσας Ἰσαὰκ καὶ Ῥεβέκκαν, καὶ κληρονόμους αὐτοὺς τῆς σῆς ἐπαγγελίας ἀναδείξας· αὐτὸς εὐλόγησον καὶ τοὺς δούλους σου τούτους, ὁδηγῶν αὐτοὺς ἐν παντὶ ἔργῳ ἀγαθῷ. Ὅτι ἐλεήμων

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Ἱερεύς·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν προμνηστευσάμενος Ἐκκλησίαν παρθένον ἁγνὴν, εὐλόγησον τὰ Μνῆστρα ταῦτα, καὶ ἕνωσον, καὶ διαφύλαξον τοὺς δούλους σου τούτους ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ. Σοὶ γὰρ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα λαβὼν ὁ Ἱερεὺς τοὺς δακτυλίους τοὺς ἐν τῷ Δισκελίῳ, ἐπιδίδωσι πρῶτον τῷ Ἀνδρὶ τὸν χρυσοῦν, καὶ λέγει αὐτῷ·

Ἀῤῥαβωνίζεται ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δεῖνα) τὴν δούλην τοῦ Θεοῦ (τὴν δεῖνα), εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν. (Τρίς).

Καὶ ποιεῖ Σταυρὸν μετὰ τοῦ δακτυλιδίου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

Εἶτα καὶ τῇ Γυναικὶ λέγει, λαβὼν τὸν ἀργυροῦν·

Ἀῤῥαβωνίζεται ἡ δούλη τοῦ Θεοῦ (ἡ δεῖνα) τὸν δοῦλον τοῦ Θεοῦ (τὸν δεῖνα), εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν. (Τρίς).

Καὶ ὅταν εἴπῃ εἰς ἕκαστον τρὶς, ποιεῖ Σταυρὸν μετὰ τοῦ δακτυλιδίου ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἐπιτίθησι τοὺς δακτυλίους ἐν τοῖς δεξιοῖς αὐτῶν δακτύλοις. Εἶτα ἀλλάσσει τὰ δακτυλίδια τῶν Νεονύμφων ὁ Σύντεκνος.

Ὁ δὲ Ἱερεὺς λέγει τὴν Εὐχὴν ταύτην·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῷ παιδὶ τοῦ Πατριάρχου Ἀβραὰμ συμπορευθεὶς ἐν τῇ Μεσοποταμίᾳ, στελλομένῳ νυμφεύσασθαι τῷ κυρίῳ αὐτοῦ Ἰσαὰκ γυναῖκα, καὶ διὰ μεσιτείας ὑδρεύσεως ἀῤῥαβωνίσασθαι τὴν Ῥεβέκκαν ἀποκαλύψας· αὐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τὸς εὐλόγησον τὸν ἀῤῥαβῶνα τῶν δούλων σου (τοῦ δε), καὶ (τῆς δε), καὶ στήριξον τὸν παρ' αὐτοῖς λαληθέντα λόγον. Βεβαίωσον αὐτοὺς τῇ παρὰ σοῦ ἁγίᾳ ἑνότητι· σὺ γὰρ ἀπ' ἀρχῆς ἐδημιούργησας ἄρσεν καὶ θῆλυ, καὶ παρὰ σοῦ ἁρμόζεται ἀνδρὶ γυνὴ, εἰς βοήθειαν καὶ διαδοχὴν τοῦ γένους τῶν ἀνθρώπων. Αὐτὸς οὖν, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξαποστείλας τὴν ἀλήθειαν ἐπὶ τὴν κληρονομίαν σου, καὶ τὴν ἐπαγγελίαν σου ἐπὶ τοὺς δούλους σου, τοὺς πατέρας ἡμῶν, εἰς καθ' ἑκάστην γενεὰν καὶ γενεὰν τοὺς ἐκλεκτούς σου, ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου (τὸν δε), καὶ τὴν δούλην σου (τὴν δε), καὶ στήριξον τὸν ἀῤῥαβῶνα αὐτῶν ἐν πίστει, καὶ ὁμονοίᾳ, καὶ ἀληθείᾳ, καὶ ἀγάπῃ· σὺ γὰρ, Κύριε, ὑπέδειξας δίδοσθαι τὸν ἀῤῥαβῶνα, καὶ στηρίζεσθαι ἐν παντί. Διὰ δακτυλιδίου ἐδόθη ἐξουσία τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ· διὰ δακτυλιδίου ἐφανερώθη ἡ ἀλήθεια τῆς Θάμαρ· διὰ δακτυλιδίου ἐδοξάσθη Δανιὴλ ἐν χώρᾳ Βαβυλῶνος· διὰ δακτυλιδίου ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος οἰκτίρμων γέγονεν ἐπὶ τὸν ἄσωτον υἱόν· Δότε, γάρ φησι, δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν, θύσατε· καὶ φαγόντες εὐφρανθῶμεν. Αὕτη ἡ δεξιά σου, Κύριε, τὸν Μωϋσῆν ἐστρατοπέδευσεν ἐν Ἐρυθρᾷ θαλάσσῃ· διὰ γὰρ τοῦ λόγου σου τοῦ ἀληθινοῦ οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ ἡ γῆ ἐθεμελιώθη· καὶ ἡ δεξιὰ τῶν δούλων σου εὐλογηθήσεται τῷ λόγῳ σου τῷ κραταιῷ, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ. Αὐτὸς οὖν καὶ νῦν, Δέσποτα, εὐλόγησον τὸ δακτυλοθέσιον τοῦτο εὐλογίαν οὐράνιον· καὶ Ἄγγελος Κυρίου προπορευέσθω ἔμπροσθεν αὐτῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα Ἐκτενὴς, καὶ Ἀπόλυσις.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΣΤΕΦΑΝΩΜΑΤΟΣ.

Εἰ μὲν βούλονται ἐνταυτῷ στεφανωθῆναι, εἰσέρχονται ἐν τῷ Ναῷ μετὰ κηρῶν ἁπτομένων, προπορευομένου τοῦ Ἱερέως μετὰ Θυμιατοῦ, καὶ ψάλλοντος τὸν ἑπόμενον Ψαλμόν·

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον.

Ὁ δὲ Λαὸς ἐν ἑκάστῳ στίχῳ, λέγει·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μακάριος εἶ, καὶ καλῶς σοι ἔσται.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Οἱ υἱοί σου, ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς τραπέζης σου.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου, εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Εἶτα ὁ Διάκονος· Εὐλόγησον, Δέσποτα.

Ὁ δὲ Ἱερεὺς λέγει·

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου, καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ (τοῦ δε) καὶ (τῆς δε) τῶν νῦν συναπτομένων ἀλλήλοις εἰς γάμου κοινωνίαν, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον, ὡς τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην, καὶ καρπὸν κοιλίας πρὸς τὸ συμφέρον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐφρανθῆναι αὐτοὺς ἐν ὁράσει υἱῶν καὶ θυγατέρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς εὐτεκνίας ἀπόλαυσιν, καὶ ἀκατάγνωστον διαγωγήν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τε καὶ ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτούς τε καὶ ἡμᾶς ἀπὸ πάσης θλίψεως. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

Ὁ Χορός· Σοί, Κύριε.

Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ ὁ Ἱερεὺς μεγαλοφώνως τὴν Εὐχὴν ταύτην·

Ὁ Θεὸς ὁ ἄχραντος, καὶ πάσης κτίσεως δημιουργὸς, ὁ τὴν πλευρὰν τοῦ προπάτορος Ἀδὰμ διὰ τὴν σὴν φιλανθρωπίαν εἰς γυναῖκα μεταμορφώσας, καὶ εὐλογήσας αὐτοὺς καὶ εἰπών· Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ κατακυριεύσατε τῆς γῆς· καὶ ἀμφοτέρους αὐτοὺς ἓν μέλος ἀναδείξας διὰ τῆς συζυγίας· ἕνεκεν γὰρ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ ἰδίᾳ γυναικὶ, καὶ ἔσονται οἱ δύω εἰς σάρκα μίαν· καὶ, οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· ὁ τὸν θεράποντά σου Ἀβραὰμ εὐλογήσας, καὶ διανοίξας τὴν μήτραν Σάῤῥας, καὶ πατέρα πλήθους ἐθνῶν ποιήσας· ὁ τὸν Ἰσαὰκ τῇ Ῥεβέκκα χαρισάμενος, καὶ τὸν τόκον αὐτῆς εὐλογήσας· ὁ τὸν Ἰακὼβ τῇ Ῥαχὴλ συνάψας, καὶ ἐξ αὐτοῦ τοὺς δώδεκα Πατριάρχας ἀναδείξας· ὁ τὸν Ἰωσὴφ καὶ τὴν Ἀσυνὲθ συζεύξας, καρπὸν παιδοποιΐας αὐτοῖς τὸν Ἐφραὶμ καὶ τὸν Μανασσῆν χαρισάμενος· ὁ τὸν Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ προσδεξάμενος, καὶ Πρόδρομον τὸν τόκον αὐτοῖς ἀναδείξας· ὁ ἐκ τῆς ῥίζης Ἰεσσαὶ τὸ κατὰ σάρκα βλαστήσας τὴν Ἀειπάρθενον, καὶ ἐξ αὐτῆς σαρκωθεὶς καὶ τεχθεὶς, εἰς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων· ὁ διὰ τὴν ἄφραστόν σου δωρεὰν καὶ πολλὴν ἀγαθότητα παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ τὸν ἐκεῖσε γάμον εὐλογήσας, ἵνα φανερώσῃς ὅτι σὸν θέλημά ἐστιν ἡ ἔννομος συζυγία, καὶ ἡ ἐξ αὐτῆς παιδοποιΐα· αὐτὸς, Δέσποτα πανάγιε, πρόσδεξαι τὴν δέησιν ἡμῶν τῶν ἱκετῶν σου, ὡς ἐκεῖσε, καὶ ἐνταῦθα παραγενόμενος τῇ ἀοράτῳ σου ἐπιστασίᾳ· Εὐλόγησον τὸν γάμον τοῦτον, καὶ παράσχου τοῖς δούλοις σου τούτοις ( τῷ δεῖνι ) καὶ ( τῇ δεῖνι ) ζωὴν εἰρηνικὴν, μακροημέρευσιν, σωφροσύνην, τὴν εἰς ἀλλήλους ἀγάπην ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, σπέρμα μακρόβιον, τὴν ἐπὶ τέκνοις χάριν, τὸν ἀμαράντινον τῆς δόξης στέφανον. Ἀξίωσον αὐτοὺς ἰδεῖν τέκνα τέκνων· τὴν κοίτην αὐτῶν ἀνεπιβούλευτον διατήρησον· καὶ δὸς αὐτοῖς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς. Ἔμπλησον τοὺς οἴκους αὐτῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σίτου, οἴνου, καὶ ἐλαίου, καὶ πάσης ἀγαθωσύνης, ἵνα μεταδιδῶσι καὶ τοῖς χρείαν ἔχυσι, δωρούμενος ἅμα καὶ τοῖς συμπαρῦσι πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· Ὅτι Θεὸς ἐλέυς, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν ἑπομένην Εὐχήν·

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῦ μυςικῦ καὶ ἀχράντου γάμυ ἱερυργὸς, καὶ τῦ σωματικοῦ νομοθέτης, ὁ τῆς ἀφθαρσίας φύλαξ, καὶ τῶν βιωτικῶν ἀγαθὸς οἰκονόμος· αὐτὸς καὶ νῦν, Δέσποτα, ὁ ἐν ἀρχῇ πλάσας τὸν ἄνθρωπον, καὶ θέμενος αὐτὸν ὡς βασιλέα τῆς κτίσεως, καὶ εἰπών· Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον ἐπὶ τῆς γῆς· ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾽ αὐτόν· καὶ λαβὼν μίαν τῶν πλευρῶν αὐτοῦ, ἔπλασας γυναῖκα, ἣν ἰδὼν Ἀδὰμ, εἶπε· Τοῦτο νῦν ὀςῦν ἐκ τῶν ὀςῶν μυ, καὶ σὰρξ ἐκ τῆς σαρκός μυ· αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη· ἕνεκεν τύτυ καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ ἰδίᾳ γυναικὶ, καὶ ἔσονται οἱ δύω εἰς σάρκα μίαν· καὶ, ὓς ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω· αὐτὸς καὶ νῦν, Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, κατάπεμψον τὴν χάριν συ τὴν ἐπυράνιον ἐπὶ τὺς δύλυς συ τύτους (τὸν δεῖνα) καὶ (τὴν δεῖνα)· καὶ δὸς τῇ παιδίσκῃ ταύτῃ ἐν πᾶσιν ὑποταγῆναι τῷ ἀνδρὶ, καὶ τὸν δῦλόν συ τοῦτον εἶναι εἰς κεφαλὴν τῆς γυναικὸς, ὅπως βιώσωσι κατὰ τὸ θέλημά σου. Εὐλόγησον αὐτοὺς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὸν Ἀβραὰμ καὶ τὴν Σάῤῥαν. Εὐλόγησον αὐτοὺς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὸν Ἰσαὰκ καὶ τὴν Ῥεβέκκαν. Εὐλόγησον αὐτοὺς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὸν Ἰακὼβ, καὶ πάντας τὺς Πατριάρχας. Εὐλόγησον αὐτοὺς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὸν Ἰωσὴφ καὶ τὴν Ἀσυνέθ. Εὐλόγησον αὐτοὺς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Μωσέα καὶ Σεπφόραν. Εὐλόγησον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας Ἰωακεὶμ καὶ τὴν Ἄνναν. Εὐλόγησον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ. Διαφύλαξον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς διεφύλαξας τὸν Νῶε ἐν τῇ κιβωτῷ. Διαφύλαξον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς διεφύλαξας τὸν Ἰωνᾶν ἐν τῇ κοιλίᾳ τοῦ κήτους. Διαφύλαξον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς διεφύλαξας τοὺς ἁγίους τρεῖς Παῖδας ἐκ τοῦ πυρός, καταπέμψας αὐτοῖς δρόσον οὐρανόθεν· καὶ ἔλθοι ἐπ' αὐτοὺς ἡ χαρὰ ἐκείνη, ἣν ἔσχεν ἡ μακαρία Ἑλένη, ὅτε εὗρε τὸν τίμιον Σταυρόν. Μνημόνευσον αὐτῶν, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἐμνημόνευσας τοῦ Ἐνὼχ, τοῦ Σὴμ, τοῦ Ἠλία. Μνημόνευσον αὐτῶν, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἐμνημόνευσας τῶν ἁγίων σου Τεσσαράκοντα Μαρτύρων, καταπέμψας αὐτοῖς οὐρανόθεν τοὺς στεφάνους. Μνημόνευσον, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ τῶν ἀναθρεψάντων αὐτοὺς γονέων· ὅτι εὐχαὶ γονέων στηρίζουσι θεμέλια οἴκων. Μνημόνευσον, Κύριε ὁ Θεὸς ἡμῶν, τῶν δούλων σου τῶν Παρανύμφων, τῶν συνελθόντων εἰς τὴν χαρὰν ταύτην. Μνημόνευσον, Κύριε ὁ Θεὸς ἡμῶν, τοῦ δούλου σου (τοῦδε) καὶ τῆς δούλης σου (τῆσδε), καὶ εὐλόγησον αὐτούς. Δὸς αὐτοῖς καρπὸν κοιλίας, καλλιτεκνίαν, ὁμόνοιαν ψυχῶν καὶ σωμάτων. Ὕψωσον αὐτοὺς ὡς τὰς κέδρους τοῦ Λιβάνου, ὡς ἄμπελον εὐκληματοῦσαν. Δώρησαι αὐτοῖς σπέρμα στάχυος, ἵνα πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύσωσιν εἰς πᾶν ἔργον ἀγαθὸν καὶ σοὶ εὐάρεστον, καὶ ἴδωσιν υἱοὺς τῶν υἱῶν αὐτῶν, ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης αὐτῶν· καὶ εὐαρεστήσαντες ἐνώπιόν σου, λάμψωσιν ὡς φωστῆρες ἐν οὐρανῷ, ἐν σοὶ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ δόξα, κράτος, τιμὴ, καὶ προσκύνησις τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ πάλιν ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην ἐκφώνως·

Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας ἐκ χοὸς τὸν ἄνθρωπον, καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα, καὶ συζεύξας αὐτῷ βοηθὸν κατ' αὐτὸν, διὰ τὸ οὕτως ἀρέσαι τῇ σῇ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μεγαλειότητι, μὴ μόνον εἶναι τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς· αὐτὸς καὶ νῦν, Δέσποτα, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἅρμοσον τὸν δοῦλόν σȣ (τόνδε), καὶ τὴν δούλην σȣ (τήνδε), ὅτι παρὰ σοῦ ἁρμόζεται ἀνδρὶ γυνή. Σύζευξον αὐτοὺς ἐν ὁμοφροσύνῃ· στεφάνωσον αὐτοὺς εἰς σάρκα μίαν· χάρισαι αὐτοῖς καρπὸν κοιλίας, εὐτεκνίας ἀπόλαυσιν. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐςιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τȣ̃ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίȣ Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὸ, Ἀμὴν, λαβὼν ὁ Ἱερεὺς τὰ Στέφανα, στέφει πρῶτον τὸν Νυμφίον, λέγων·

Στέφεται ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δεῖνα) τὴν δούλην τοῦ Θεοῦ (τήνδε), εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Τοῦτο δὲ λέγει ἐκ τρίτου, ποιῶν σχῆμα Σταυροῦ.

Εἶτα στέφει καὶ τὴν Νύμφην, λέγων·

Στέφεται ἡ δούλη τοῦ Θεοῦ (ἡ δεῖνα) τὸν δοῦλον τοῦ Θεοῦ (τόνδε), εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν. (Καὶ τοῦτο τρὶς, ὁμοίως)

Εἶτα εὐλογεῖ αὐτοὺς, λέγων ἐκ γ'.

Κύριε, ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτούς.

Καὶ μετὰ ταῦτα,

Προκείμενον, Ἦχος πλ. δ'.

Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτῶν στεφάνους ἐκ λίθων τιμίων.

Στίχ. Ζωὴν ᾐτήσαντό σε, καὶ ἔδωκας αὐτοῖς.

Ὁ Ἀπόστολος.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ε'. 20.

Ἀδελφοὶ, εὐχαριστεῖτε πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ Θεῷ καὶ Πατρὶ, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ. Αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς τῷ Κυρίῳ· ὅτι ὁ ἀνὴρ κεφαλή ἐστι τῆς γυναικὸς, ὡς καὶ ὁ Χριςὸς κεφαλὴ τῆς Ἐκκλησίας· καὶ αὐτός ἐςι σωτὴρ τοῦ σώματος. Ἀλλ' ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἀνδράσιν ἐν παντί. Οἱ ἄνδρες ἀγαπᾶτε τὰς ἑαυτῶν γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς· ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι· ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπῖλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ᾽ ἵνα ᾖ ἁγία καὶ ἄμωμος. Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα. Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ᾽ ἐκτρέφει καὶ θάλπει αὐτὴν, καθὼς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν· ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύω εἰς σάρκα μίαν. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν, καὶ εἰς τὴν Ἐκκλησίαν. Πλὴν καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω, ὡς ἑαυτόν· ἡ δὲ γυνὴ, ἵνα φοβῆται τὸν ἄνδρα. Ἀλληλούϊα, Ἦχος πλ. α΄.

Σὺ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. β΄. 1.

Τῷ καιρῷ ἐκείνῳ, γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας· καὶ ἦν ἡ Μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ. Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ Μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. Καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ Μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· Οἶνον οὐκ ἔχουσι. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Τί ἐμοὶ καὶ σοὶ, γύναι; οὔπω ἥκει ἡ ὥρα μϑ. Λέγε ἡ Μήτηρ αὐτοῦ τοῖς διακόνοις· Ὅ,τι ἂν λέγῃ ὑμῖν, ποιήσατε. Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἕξ, κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν Ἰϑδαίων, χωρῦσαι ἀνὰ μετρητὰς δύο, ἢ τρεῖς. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Γεμίσατε τὰς ὑδρίας ὕδατος· καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. Καὶ λέγει αὐτοῖς· Ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ· καὶ ἤνεγκαν. Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ, οἶνον γεγενημένον, (καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ, ), φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος, καὶ λέγει αὐτῷ· Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν με-


Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

θυσθῶσι, τότε τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ· καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ Μαθηταὶ αὐτοῦ.

Ὁ Διάκονος·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων.

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως.

Καὶ μνημονεύει τῶν Νεονύμφων.

Εἶτα ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας ἐν Κανᾷ τῆς Γαλιλαίας τίμιον ἀναδεῖξαι τὸν γάμον, διὰ τῆς σῆς παρουσίας· αὐτὸς καὶ νῦν τοὺς δούλους σου (τὸν δεῖνα, καὶ τὴν δεῖνα), οὓς εὐδόκησας συναφθῆναι ἀλλήλοις, ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διαφύλαξον. Τίμιον αὐτοῖς τὸν γάμον ἀνάδειξον· ἀμίαντον αὐτῶν τὴν κοίτην διατήρησον· ἀκηλίδωτον αὐτῶν τὴν συμβίωσιν διαμεῖναι εὐδόκησον· καὶ καταξίωσον αὐτοὺς ἐν γήρει πίονι καταντῆσαι, ἐν καθαρᾷ τῇ καρδίᾳ ἐργαζομένους τὰς ἐντολάς σου. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν.



Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν.

Τὰ καλὰ καὶ συμφέροντα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς.

Τὴν ἑνότητα τῆς πίστεως.

Ἐκφώνως ὁ Ἱερεύς·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾷν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·

Καὶ ὁ Λαὸς τὸ, Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.

Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Εἶτα προσφέρεται τὸ κοινὸν ποτήριον, καὶ εὐλογεῖ αὐτὸ ὁ Ἱερεὺς, λέγων τὴν Εὐχὴν ταύτην·

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ Ἱερεύς·

Ὁ Θεὸς, ὁ πάντα ποιήσας τῇ ἰσχύϊ σου, καὶ στερεώσας τὴν οἰκουμένην, καὶ κοσμήσας τὸν στέφανον πάντων τῶν πεποιημένων ὑπὸ σοῦ, καὶ τὸ ποτήριον τὸ κοινὸν τοῦτο παρεχόμενος τοῖς συναφθεῖσι πρὸς γάμου κοινωνίαν, εὐλόγησον εὐλογίᾳ πνευματικῇ. Ὅτι εὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα, λαβὼν ὁ Ἱερεὺς ἐπὶ χεῖρας τὸ κοινὸν ποτήριον, μεταδίδωσιν αὐτοῖς, ἐκ γ΄. πρῶτον τῷ Ἀνδρὶ, καὶ αὖθις τῇ Γυναικί· καὶ εὐθέως λαβὼν αὐτοὺς, τοῦ Συντέκνου κρατοῦντος ὄπισθεν τοὺς Στεφάνους, στρέφει ὡς ἐν σχήματι κύκλου.

Καὶ ψάλλει ὁ Ἱερεὺς, ἢ ὁ Λαὸς, τὰ παρόντα

Τροπάρια, Ἦχος πλ. ά.

Ἠσαΐα χόρευε· ἡ Παρθένος ἔσχεν ἐν γαστρὶ, καὶ ἔτεκεν Υἱὸν τὸν Ἐμμανουὴλ, Θεόν τε καὶ Ἄνθρωπον· Ἀνατολὴ ὄνομα αὐτῷ· ὃν μεγαλύνοντες, τὴν Παρθένον μακαρίζομεν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἕτερα, Ἦχος βαρύς.

Ἅγιοι Μάρτυρες, οἱ καλῶς ἀθλήσαντες, καὶ ϛεφανωθέντες, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα σοι Χριστὲ ὁ Θεὸς, Ἀποστόλων καύχημα, Μαρτύρων ἀγαλλίαμα, ὧν τὸ κήρυγμα· Τριὰς ἡ ὁμοούσιος.

Εἶτα ἐπαίρει τοὺς Στεφάνους· καὶ ἐπάρας τὸν Στέφανον τοῦ Νυμφίου, λέγει·

Μεγαλύνθητι, Νυμφίε, ὡς ὁ Ἀβραὰμ, καὶ εὐλογήθητι ὡς ὁ Ἰσαὰκ, καὶ πληθύνθητι ὡς ὁ Ἰακὼβ, πορευόμενος ἐν εἰρήνῃ, καὶ ἐργαζόμενος ἐν δικαιοσύνῃ τὰς ἐντολὰς τοῦ Θεοῦ.

Καὶ ἐν τῷ τῆς Νύμφης, λέγει·

Καὶ σὺ, Νύμφη, μεγαλύνθητι ὡς ἡ Σάῤῥα, καὶ εὐφράνθητι ὡς ἡ Ῥεβέκκα, καὶ πληθύνθητι ὡς ἡ Ῥαχὴλ, εὐφραινομένη τῷ ἰδίῳ ἀνδρὶ, φυλάττουσα τοὺς ὅρους τοῦ νόμου, ὅτι οὕτως εὐδόκησεν ὁ Θεός.

Εἶτα λέγει ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην·

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾶ τῆς Γαλιλαίας, καὶ τὸν ἐκεῖσε γάμον εὐλογήσας, εὐλόγησον καὶ τοὺς δούλους σου τούτους, τοὺς τῇ σῇ προνοίᾳ πρὸς γάμου κοινωνίαν συναφθέντας. Εὐλόγησον αὐτῶν εἰσόδους καὶ ἐξόδους· πλήθυνον ἐν ἀγαθοῖς τὴν ζωὴν αὐτῶν· ἀνάλαβε τοὺς στεφάνους αὐτῶν ἐν τῇ Βασιλείᾳ σου, ἀσπίλους, καὶ ἀμώμȣς, καὶ ἀνεπιβουλεύτους διατηρῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Καὶ εὔχεται ὁ Ἱερεύς.

Ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Ἅγιον Πνεῦμα, ἡ παναγία καὶ ὁμοούσιος καὶ ζωαρχικὴ Τριὰς, ἡ μία Θεότης καὶ Βασιλεία, εὐλογήσαι ὑμᾶς, καὶ παράσχοι ὑμῖν μακροζωΐαν, εὐτεκνίαν, προκοπὴν βίου καὶ πίϛεως, καὶ ἐμπλήσαι ὑμᾶς πάντων τῶν ἐπὶ γῆς ἀγαθῶν, καὶ ἀξιώσαι ὑμᾶς καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τῆς ἀπολαύσεως· πρεσβείαις τῆς ἁγίας Θεοτόκȣ, καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

*Εἶτα εἰσέρχονται, καὶ εὔχονται αὐτοῖς. Καὶ ἀσπασάμενοι ἀλλήλους, γίνεται παρὰ τοῦ Ἱερέως τελεία Ἀπόλυσις οὕτως·*

Ὁ διὰ τῆς ἐν Κανᾷ ἐπιδημίας τίμιον ἀναδείξας τὸν γάμον, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων Θεοστέπτων Βασιλέων καὶ Ἰσαποςόλων Κωνςαντίνου καὶ Ἑλένης, τοῦ ἁγίου Μεγαλομάρτυρος Προκοπίου, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

---

## ΕΥΧΗ·

### ΕΠΙ ΛΥΣΙΝ ΣΤΕΦΑΝΩΝ ΤΗ ΟΓΔΟΗ ΗΜΕΡΑ.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τοῦ ἐνιαυτοῦ τὸν στέφανον εὐλογήσας, καὶ τοὺς παρόντας Στεφάνους ἐπιτίθεσθαι παραδοὺς τοῖς νόμῳ γάμου συναπτομένοις ἀλλήλοις, καὶ μισθὸν ὥσπερ ἀπονέμων αὐτοῖς, τὸν τῆς σωφροσύνης, ὅτι ἁγνοὶ πρὸς τὸν ὑπὸ σοῦ νομοθετηθέντα γάμον συνήφθησαν· αὐτὸς καὶ ἐν τῇ λύσει τῶν παρόντων Στεφάνων, τοὺς συναφθέντας ἀλλήλοις εὐλόγησον, καὶ τὴν συνάφειαν αὐτῶν ἀδιάσπαςον διατήρησον· ἵνα εὐχαριστῶσι διαπαντὸς τῷ παναγίῳ ὀνόματί σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Σύμφωνα καταντήσαντες οἱ δοῦλοί σου, Κύριε, καὶ τὴν ἀκολουθίαν ἐκτελέσαντες τοῦ ἐν Κανᾷ τῆς Γαλιλαίας γάμου, καὶ συστέλλοντες τὰ κατ᾽ αὐτὸν σύμβολα, δόξαν σοι ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Καὶ γίνεται Ἀπόλυσις.*

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΚΕΦΑΛΑΙΑ ΠΕΡΙ ΔΙΓΑΜΩΝ.

Κεφάλαιον Νικηφόρου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Ὁμολογητοῦ.

Ὁ Δίγαμος οὐ ςεφανοῦται, ἀλλὰ καὶ ἐπιτιμᾶται μὴ μεταλαβεῖν τῶν ἀχράντων Μυςηρίων, ἔτη δύω· ὁ δὲ Τρίγαμος, πέντε.

Ἐκ τῶν Ἀποκρίσεων τοῦ μακαρίου Νικήτα Μητροπολίτου Ἡρακλείας, ἐξ ὧν ἠρωτήθη παρὰ Κωνσταντίνου τοῦ Ἐπισκόπου.

Ἡ μὲν ἀκρίβεια τοὺς Διγάμους οὐκ εἴωθε στεφανοῦν· ἡ δὲ τῆς Μεγάλης Ἐκκλησίας συνήθεια τὰ τοιαῦτα οὐ παρατηρεῖται, ἀλλὰ καὶ τοῖς Διγάμοις καὶ Τριγάμοις τοὺς νυμφικοὺς Στεφάνους ἐπιτίθησι, καὶ οὐδεὶς οὐδέποτε παρὰ τοῦτο ἐνεκλήθη· πλὴν ἕνα, ἢ δεύτερον χρόνον τῆς Θείας εἴργονται Κοινωνίας. Ἀλλὰ καὶ τὸν ἱερολογήσαντα τούτους Πρεσβύτερον συνδειπνεῖν αὐτοῖς οὐ νενόμισται, κατὰ τὸν ζʹ. Κανόνα τῆς ἐν Νεοκαισαρείᾳ Συνόδου.

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΔΙΓΑΜΟΝ.

Ὁ Ἱερεὺς ἐκφωνεῖ·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον τῆς ἡμέρας.

Ὁ δὲ Διάκονος, ἢ ὁ Ἱερεὺς λέγει τὴν Συναπτήν·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας.

Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ ( τοῦ δεῖνος ) καὶ ( της δεινος ), καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τῆς ἐν Θεῷ σκέπης καὶ συμβιώσεως αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συζῆσαι αὐτοὺς καλῶς ἐν ὁμονοίᾳ, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις κ.τ.λ.

Εἶτα· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ αἰώνιος, ὁ τὰ διῃρημένα συναγαγὼν εἰς ἑνότητα, καὶ σύνδεσμον διαθέσεως τιθεὶς αὐτοῖς ἄῤῥηκτον· ὁ εὐλογήσας Ἰσαὰκ καὶ Ῥεβέκκαν, καὶ κληρονόμους αὐτοὺς τῆς σῆς ἐπαγγελίας ἀναδείξας· αὐτὸς εὐλόγησον καὶ τοὺς δούλους σου τούτους (τὸν δεῖνα) καὶ (τὴν δεῖνα), ὁδηγῶν αὐτοὺς ἐν παντὶ ἔργῳ ἀγαθῷ. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν προμνηστευσάμενος Ἐκκλησίαν παρθένον ἁγνὴν, εὐλόγησον τὰ μνῆστρα ταῦτα· καὶ ἕνωσον, καὶ διαφύλαξον τοὺς δούλους σου τούτους ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ. Σοὶ γὰρ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαβὼν ὁ Ἱερεὺς τοὺς δακτυλίους, ἐπιδίδωσι πρῶτον τῷ Ἀνδρὶ τὸν χρυσοῦν, τῇ δὲ Γυναικὶ τὸν ἀργυροῦν, καὶ λέγει τῷ Ἀνδρί·

Ἀῤῥαβωνίζεται ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δεῖνα) τὴν δούλην τοῦ Θεοῦ (τὴν δεῖνα), εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν. (Ἐκ τρίτου).

Ὁμοίως καὶ τῇ Γυναικί.

Ἀῤῥαβωνίζεται ἡ δούλη τοῦ Θεοῦ (ἡ δεῖνα) τὸν δοῦλον τοῦ Θεοῦ (τὸν δεῖνα), εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

(Ἐκ τρίτου.)

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ ποιεῖ Σταυρὸν μετὰ τοῦ δακτυλιδίου ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἐπιτίθησιν αὐτοὺς ἐπὶ τοῖς δεξιοῖς δακτύλοις. Εἶτα ἀλλάσσει ὁ Σύντεκνος τὰ δακτυλίδια.

Ὁ δὲ Ἱερεὺς λέγει· Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ πάντων φειδόμενος, καὶ πάντων προνοούμενος, ὁ τὰ κρυπτὰ γινώσκων τῶν ἀνθρώπων, καὶ πάντων τὴν γνῶσιν ἔχων, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, καὶ τὰς ἀνομίας συγχώρησον τῶν σῶν ἱκετῶν, καλῶν αὐτοὺς εἰς μετάνοιαν· παρέχων αὐτοῖς συγγνώμην παραπτωμάτων, ἁμαρτιῶν ἱλασμὸν, συγχώρησιν ἀνομιῶν ἑκουσίων τε καὶ ἀκουσίων. Ὁ εἰδὼς τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως, ὁ πλάστης καὶ δημιουργὸς, ὁ Ῥαὰβ τῇ πόρνῃ συγχωρήσας, καὶ τοῦ Τελώνου τὴν μετάνοιαν προσδεξάμενος, μὴ μνησθῇς ἁμαρτημάτων ἡμῶν ἀγνοίας ἐκ νεότητος· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεταί σοι; ἢ ποία σὰρξ δικαιωθήσεται ἐνώπιόν σου; Σὺ γὰρ μόνος ὑπάρχεις δίκαιος, ἀναμάρτητος, ἅγιος, πολυέλεος, πολυεύσπλαγχνος, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων· σὺ, Δέσποτα, οἰκειωσάμενος τοὺς δούλους σου (τὸν δεῖνα) καὶ (τὴν δεῖνα), ἕνωσον τῇ πρὸς ἀλλήλους ἀγάπῃ· δώρησαι αὐτοῖς τοῦ Τελώνου τὴν ἐπιστροφὴν, τῆς Πόρνης τὰ δάκρυα, τοῦ Λῃστοῦ τὴν ἐξομολόγησιν, ἵνα, διὰ μετανοίας ἐξ ὅλης καρδίας αὐτῶν, ἐν ὁμονοίᾳ καὶ εἰρήνῃ τὰς ἐντολάς σου ἐργαζόμενοι, καταξιωθῶσι καὶ τῆς ἐπουρανίου σου Βασιλείας. Ὅτι σὺ εἶ ὁ οἰκονόμος πάντων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ, ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Κύριε, Ἰησοῦ Χριστὲ, Λόγε τοῦ Θεοῦ, ὁ ὑψωθεὶς ἐπὶ τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, τὸ καθ' ἡμᾶς διαῤῥήξας χειρόγραφον, καὶ τῆς δυναστείας τοῦ διαβόλου ῥυσάμενος ἡμᾶς, ἱλάσθητι ταῖς ἀνομίαις τῶν δούλων σου· ὅτι τὸν καύσωνα καὶ τὸ βάρος τῆς ἡμέρας, καὶ τῆς σαρκὸς τὴν πύρωσιν μὴ ἰσχύοντες βαστάζειν, εἰς γάμου δευτέραν κοινωνίαν συνέρχονται, καθὼς ἐνομοθέτησας διὰ τοῦ σκεύους τῆς ἐκλογῆς σου Παύλου τοῦ Ἀποστόλου, εἰπὼν δι' ἡμᾶς τοὺς ταπεινοὺς τὸ,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Κρεῖσσον ἐν Κυρίῳ γαμεῖν, ἢ πυροῦσθαι. Αὐτὸς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ἐλέησον, καὶ συγχώρησον· ἱλάσθητι, ἄνες, ἄφες τὰ ὀφειλήματα ἡμῶν, ὅτι σὺ εἶ ὁ τὰς νόσους ἡμῶν ἐπὶ τῶν ὤμων ἀράμενος· οὐδεὶς γάρ ἐςιν ἀναμάρτητος, οὐδ' ἂν μία ἡμέρα ὁ βίος αὐτοῦ ἐστιν, ἢ χωρὶς ῥύπου, εἰ μὴ σὺ μόνος ὁ σάρκα φορέσας ἀναμαρτήτως, καὶ τὴν αἰώνιον ἡμῖν δωρησάμενος ἀπάθειαν. Ὅτι σὺ εἶ ὁ Θεὸς, Θεὸς τῶν μετανοούντων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ Κυρίου δεηθῶμεν.

Ο Θεὸς, ὁ ἅγιος, ὁ πλάσας ἐκ χοὸς τὸν ἄνθρωπον, καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα, καὶ συζεύξας αὐτῷ βοηθὸν κατ' αὐτὸν, διὰ τὸ οὕτως ἀρέσαι τῇ σῇ μεγαλειότητι, μὴ μόνον εἶναι τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς· αὐτὸς καὶ νῦν, Δέσποτα, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἅρμοσον τὸν δοῦλόν σου (τόνδε) καὶ τὴν δούλην σου (τήνδε)· ὅτι παρὰ σοῦ ἁρμόζεται ἀνδρὶ γυνή. Σύζευξον αὐτοὺς ἐν ὁμοφροσύνῃ· στεφάνωσον αὐτοὺς εἰς σάρκα μίαν· χάρισαι αὐτοῖς καρπὸν κοιλίας, εὐτεκνίας ἀπόλαυσιν. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λαβὼν τὰ Στέφανα, στέφει τὸν Νυμφίον, λέγων·

Στέφεται ὁ δοῦλος τοῦ Θεοῦ (ὁ δεῖνα) τὴν δούλην τοῦ Θεοῦ (τὴν δεῖνα), εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν. (τοῦτο δὲ λέγει ἐκ τρίτου, ποιῶν σχῆμα Σταυροῦ.)

Εἶτα στέφει καὶ τὴν Νύμφην λέγων·

Στέφεται ἡ δούλη τοῦ Θεοῦ (ἡ δεῖνα) τὸν δοῦλον τοῦ Θεοῦ (τὸν δεῖνα), εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν. (καὶ τοῦτο τρὶς ὁμοίως).

Εἶτα εὐλογεῖ αὐτοὺς, λέγων ἐκ γ'.

Κύριε, ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτούς.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα τὸν προγραφέντα Ἀπόστολον, καὶ τὸ Εὐαγγέλιον, (ὅρα σελ. 240. καὶ 241.) Ἔπειτα ὁ Διάκονος·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης.

Καὶ μνημονεύει ὧν θέλει. Ἐκφώνησις.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα τὴν Εὐχὴν ταύτην.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας ἐν Κανᾷ τῆς Γαλιλαίας τίμιον ἀναδεῖξαι τὸν γάμον διὰ τῆς σῆς παρουσίας· αὐτὸς καὶ νῦν τοὺς δούλους σου (τὸν δεῖνα) καὶ (τὴν δεῖνα), οὓς ηὐδόκησας συναφθῆναι ἀλλήλοις, ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διαφύλαξον. Τίμιον αὐτοῖς τὸν γάμον ἀνάδειξον· ἀμίαντον αὐτῶν τὴν κοίτην διατήρησον· ἀκηλίδωτον αὐτῶν τὴν συμβίωσιν διαμεῖναι εὐδόκησον· καὶ καταξίωσον αὐτοὺς ἐν γήρει πίονι καταντῆσαι, ἐν καθαρᾷ τῇ καρδίᾳ ἐργαζομένους τὰς ἐντολάς σου. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τῆς ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

| | |
|---|---|
| Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. | Τὴν ἡμέραν πᾶσαν, τελείαν. |
| Ἄγγελον εἰρήνης, πιστόν. | Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρ. |
| Τὰ καλὰ καὶ συμφέροντα. | Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς. |
| Χριστιανὰ τὰ τέλη. | Τὴν ἑνότητα τῆς πίστεως. |

Ὁ Ἱερεὺς ἐκφώνως·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας.

Ὁ Χορὸς τὸ, Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.

Ὁ Ἱερεύς· Ὅτι σοῦ ἐστιν. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἶτα προσφέρεται τὸ κοινὸν ποτήριον, καὶ εὐλογῶν αὐτὸ ὁ Ἱερεὺς, λέγει τὴν Εὐχὴν ταύτην·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ πάντα ποιήσας τῇ ἰσχύϊ σου, καὶ στερεώσας τὴν οἰκουμένην, καὶ κοσμήσας τὸν ςέφανον πάντων τῶν πεποιημένων ὑπὸ σοῦ, καὶ τὸ ποτήριον τὸ κοινὸν τοῦτο παρεχόμενος τοῖς συναφθεῖσι πρὸς γάμου κοινωνίαν, εὐλόγησον εὐλογίᾳ πνευματικῇ. Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξαςαί σου ἡ βασιλεία, τοῦ Πατρὸς, καὶ τȣ͂ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαβὼν ὁ Ἱερεὺς ἐπὶ χεῖρας τὸ κοινὸν ποτήριον, μεταδίδωσιν αὐτοῖς ἐκ γ΄. πρῶτον τῷ Ἀνδρὶ, καὶ αὖθις τῇ Γυναικί. Καὶ εὐθέως λαβὼν αὐτοὺς ὁ Ἱερεὺς, στρέφει ὡς ἐν σχήματι κύκλου, καὶ ψάλλει· Ἠσαΐα χόρευε. Ἅγιοι Μάρτυρες. Δόξα σοι Χριστέ· ὡς ἐν σελ. 243. καὶ 244.

Εἶτα ἐπαίρει τοὺς Στεφάνους ὁ Ἱερεὺς· καὶ ἐπάρας τὸν Στέφανον τοῦ Νυμφίου, λέγει·

Μεγαλύνθητι, Νυμφίε, ὡς ὁ Ἀβραὰμ, καὶ εὐλογήθητι ὡς ὁ Ἰσαὰκ, καὶ πληθύνθητι ὡς ὁ Ἰακὼβ, πορευόμενος ἐν εἰρήνῃ, καὶ ἐργαζόμενος ἐν δικαιοσύνῃ τὰς ἐντολὰς τοῦ Θεοῦ.

Καὶ ἐπάρας τὸν Στέφανον τῆς Νύμφης, λέγει·

Καὶ σὺ, Νύμφη, μεγαλύνθητι ὡς ἡ Σάῤῥα, καὶ εὐφράνθητι ὡς ἡ Ῥεβέκκα, καὶ πληθύνθητι ὡς ἡ Ῥαχὴλ, εὐφραινομένη τῷ ἰδίῳ Ἀνδρὶ, φυλάττουσα τοὺς ὅρους τοῦ νόμου, ὅτι οὕτως εὐδόκησεν ὁ Θεός.

Εἶτα λέγει τὴν Εὐχὴν ταύτην·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ τὸν ἐκεῖσε γάμον εὐλογήσας, εὐλόγησον καὶ τοὺς δούλους σου τούτους, τοὺς τῇ σῇ προνοίᾳ πρὸς γάμου κοινωνίαν συναφθέντας. Εὐλόγησον αὐτῶν εἰσόδους καὶ ἐξόδους· πλήθυνον ἐν ἀγαθοῖς τὴν ζωὴν αὐτῶν· ἀνάλαβε τοὺς ςεφάνους αὐτῶν ἐν τῇ βασιλείᾳ σου, ἀσπίλους, καὶ ἀμώμȣς, καὶ ἀνεπιβουλεύτους διατηρῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἰρήνη πᾶσι. Ὁ Διάκονος· Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ εὔχεται πάλιν ὁ Ἱερεύς.

Ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Ἅγιον Πνεῦμα, ἡ παναγία, καὶ ὁμοούσιος, καὶ ζωαρχικὴ Τριὰς, ἡ μία Θεότης καὶ Βασιλεία, εὐλογήσαι ὑμᾶς, καὶ παράσχοι ὑμῖν μακροζωΐαν, εὐτεκνίαν, προκοπὴν βίου καὶ πίστεως, καὶ ἐμπλήσαι ὑμᾶς πάντων τῶν ἐπὶ γῆς ἀγαθῶν, καὶ ἀξιώσαι ὑμᾶς καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τῆς ἀπολαύσεως· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

Εἶτα εἰσέρχονται, καὶ εὔχονται αὐτοῖς· καὶ ἀσπασαμένων ἀλλήλων, γίνεται παρὰ τοῦ Ἱερέως τελεία Ἀπόλυσις οὕτως·

Ὁ διὰ τῆς ἐν Κανᾷ ἐπιδημίας τίμιον ἀναδείξας τὸν γάμον, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων Θεοστέπτων Βασιλέων καὶ Ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης, τοῦ Ἁγίου Μεγαλομάρτυρος Προκοπίου, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι, καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΛΑΙΟΥ.

Ψαλλομένη ὑπὸ ἑπτὰ Ἱερέων, συναχθέντων ἐν Ἐκκλησίᾳ, ἢ ἐν οἴκῳ.

Εὐλογοῦντος τοῦ πρώτου τῶν Ἱερέων, ἀρχόμεθα τοῦ Τρισαγίου· **Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστι·** τό, **Κύριε ἐλέησον** ιβ΄. τό, **Δεῦτε προσκυνήσωμεν** γ΄. καὶ τὸν Ψαλμόν, **Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου.**

Εἶτα Συναπτὴ μικρά· καὶ μετὰ ταύτην ψάλλεται τό, **Ἀλληλούϊα,** Ἦχος πλ. β΄.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Στίχ. **Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι.**

Εἶτα τὰ Τροπάρια,

Ἐλέησον ἡμᾶς Κύριε. Δόξα. Κύριε ἐλέησον ἡμᾶς. Καὶ νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην. Καὶ μετὰ τὸν Ν΄. Ψαλμόν, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·

**Εὐχῆς Ἐλαίου ψαλμὸς ἐξ Ἀρσενίου.**

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ἐλαίῳ τῆς εὐσπλαγχνίας Δέσποτα, ὁ ἱλαρύνων ἀεί, ψυχὰς ὁμοῦ καὶ σώματα βροτῶν, καὶ φρουρῶν ἐν ἐλαίῳ πιστούς· αὐτὸς καὶ νῦν οἰκτείρησον, τοὺς δι' Ἐλαίου προσιόντας σοι.

Ὑπάρχει σοῦ τοῦ ἐλέους Δέσποτα, πλήρης ἡ σύμπασα γῆ· ὅθεν Ἐλαίῳ θείῳ μυστικῶς, οἱ χριόμενοι σήμερον, τὸν ὑπὲρ νοῦν σου ἔλεον, πιστῶς αἰτοῦμέν σε δοθῆναι ἡμῖν.

Χρισμόν σου τὸν ἱερὸν Φιλάνθρωπε, ὁ Ἀποστόλοις τοῖς σοῖς, ἐπ' ἀσθενοῦσι δούλοις σου τελεῖν, συμπαθῶς ἐντειλάμενος, ταῖς δι' αὐτῶν ἐντεύξεσι, πάντας σφραγῖδι σου ἐλέησον.

Θεοτοκίον.

Ἡ μόνη τὸ τῆς εἰρήνης πέλαγος, Ἁγνὴ πλουτήσασα, ταῖς πρὸς Θεὸν πρεσβείαις σου ἀεί, νοσημάτων καὶ θλίψεων, τὸν σὸν οἰκέτην λύτρωσαι, ὅπως ἀπαύστως μεγαλύνῃ σε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Σὺ μόνος ὢν θαυμαστὸς, καὶ ἐν ἀνθρώποις τοῖς πιστοῖς ἵλεως, τῷ ἀσθενοῦντι δεινῶς, δὸς Χριστὲ τὴν χάριν σου ἄνωθεν.

Ἐλαίας κάρφος ποτὲ, πρὸς ἀνοχὴν κατακλυσμοῦ θείᾳ σου, δείξας ῥοπῇ Κύριε, σῶσον ἐν ἐλέει τὸν κάμνοντα.

Λαμπάδι θείου φωτὸς, ἐν τῷ ἐλέει σου Χριστὲ φαίδρυνον, τὸν ἐν τῇ χρίσει καὶ νῦν, πίστει τοῦ ἐλέους σου σπεύδοντα.

Θεοτοκίον.

Ἐπίβλεψον εὐμενῶς, Μήτηρ τοῦ πάντων Ποιητοῦ ἄνωθεν, καὶ τὴν πικρὰν κάκωσιν, λῦσον τοῦ νοσοῦντος πρεσβείαις σου.

Κάθισμα, Ἦχος πλ. δ'. Αὐλῶν ποιμενικῶν.

Ὡς θεῖος ποταμὸς, τοῦ ἐλέους ὑπάρχων, ὡς ἄβυσσος πολλῆς, συμπαθείας Οἰκτίρμων, δεῖξον τοῦ σοῦ ἐλέους τὰ θεῖα ῥεῖθρα, καὶ πάντας ἴασαι· βλύσον τὰς τῶν θαυμάτων πηγὰς ἀφθόνως, καὶ πλῦνον ἅπαντας· σοὶ γὰρ ἀεὶ προστρέχοντες θερμῶς, τὴν χάριν ἐξαιτούμεθα.

Ἕτερον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως.

Ὁ ἰατρὸς καὶ βοηθὸς τῶν ἐν πόνοις, ὁ λυτρωτής τε καὶ Σωτὴρ τῶν ἐν νόσοις, αὐτὸς τῶν ὅλων Δέσποτα καὶ Κύριε, δώρησαι τὴν ἴασιν, τῷ νοσοῦντί σου δούλῳ, οἴκτειρον ἐλέησον, τὸν πολλὰ ἐπταικότα, καὶ τῶν σφαλμάτων λύτρωσαι Χριστὲ, (*) ὅπως δοξάζῃ τὴν θείαν σου δύναμιν.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἀδιάφθορον ὡς μύρον Σωτὴρ ὑπάρχων, τὸ κενωθὲν ἐν χάριτι, καὶ κόσμον καθαῖρον, οἴκτειρον, ἐλέησον τὸν τῇ θείᾳ πίστει σου, μώλωπας σαρκὸς ἐπαλείφοντα.

Ἱλαρότητι σφραγῖδος τοῦ σοῦ ἐλέους, νῦν τὰς αἰσθήσεις Δέσποτα, σφραγίσας σοῦ δούλου, ἄβατον, ἀπρόσιτον, τὴν εἴσοδον ποίησον, πάσαις ἐναντίαις δυνάμεσιν.

(*) Τὸ Χειρόγραφον ἔχει· τὸν δεινῶς ἀσθενοῦντα, καὶ ἐκ θανάτου λύτρωσαι Σωτήρ.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ο προσκαλεῖσθαι κελεύων τοὺς ἀσθενοῦντας, ἱερουργοὺς ἐνθέους σου, καὶ τούτων ἐντεύξει, καὶ χρίσει Ἐλαίου σου, Φιλάνθρωπε σώζεσθαι, σῶσον σῷ ἐλέει τὸν κάμνοντα.

Θεοτοκίον.

Θεοτόκε ἀειπάρθενε Παναγία, σκέπη στεῤῥὰ καὶ φύλαξ μου, λιμήν τε καὶ τεῖχος, κλίμαξ καὶ προπύργιον, ἐλέησον οἴκτειρον· πρὸς σὲ γὰρ καὶ μόνην κατέφυγον.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Ὑπάρχων Ἀγαθὲ, τοῦ ἐλέους ἡ ἄβυσσος, ἐλέησον Ἐλεῆμον, σοῦ τῷ θείῳ Ἐλαίῳ, τὸν κάμνοντα ὡς εὔσπλαγχνος.

Ψυχὰς ἡμῶν Χριστὲ, καὶ τὰ σώματα ἄνωθεν, σφραγῖδος σου θείῳ τύπῳ, ἁγιάσας ἀφράστως, χειρί σου πάντας ἴασαι.

Ἀφάτῳ σου στοργῇ, ὑπεράγαθε Κύριε, δεξάμενος τὰς τοῦ μύρου, διὰ Πόρνης ἀλείψεις, οἰκτείρησον τὸν δοῦλόν σου.

Θεοτοκίον.

Πανύμνητε ἁγνὴ, ὑπεράγαθε Δέσποινα, ἐλέησον τοὺς τῷ θείῳ, χριομένους Ἐλαίῳ, καὶ σῶσον τὸν οἰκέτην σου.

Ὠδὴ ς΄. Θύσω σοι, μετὰ φωνῆς.

Λόγοις σου, ὁ δι' Ἐλαίου δείξας Φιλάνθρωπε, ἐν Βασιλεῦσι τὴν χρίσιν, καὶ Ἀρχιερεῦσι ταύτην τελέσας, σφραγισμῷ σου, καὶ τὸν πάσχοντα σῶσον ὡς εὔσπλαγχνος.

Μέθεξις, μὴ ἐκ πικρῶν δαιμόνων ἐφάψοιτο, τοῦ ἐπ' ἀλείψει ἐνθέῳ, τὰς αἰσθήσεις Σῶτερ σημειουμένου, ἀλλ' ἐν σκέπῃ, περιτείχισον τοῦτον τῆς δόξης σου.

Ὄρεξον, χεῖρα τὴν σὴν ἐξ ὕψους Φιλάνθρωπε, καὶ σοῦ τὸ Ἔλαιον Σῶτερ, ἁγιάσας δίδου τῷ σῷ οἰκέτῃ, εἰς ὑγείαν, καὶ νοσημάτων πάντων ἐκλύτρωσιν.

Θεοτοκίον.

Πέφηνας, ἐν Θεῷ τῷ σῷ τόκῳ κατάκαρπος, Μήτηρ τοῦ Κτίστου ἐλαία, δι' ἧς πλήρης ὤφθης κόσμος ἐλέους· ὅθεν σῶζε, πρεσβειῶν ἐπαφῇ σου τὸν κάμνοντα.

Κοντάκιον, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἐλέους πηγὴ, ὑπάρχων Ὑπεράγαθε, τοὺς πίστει θερμῇ, ἐλέῳ τῷ ἀφάτῳ σου, προσπεσόντας εὔσπλαγχνε, ἐκ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

παντοίας λύτρωσαι κακώσεως, καὶ τὰς αὐτῶν νόσους ἀράμενος, παράσχου τὴν θείαν χάριν ἄνωθεν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Σῶ νῦν ἐλέει καὶ οἰκτιρμοῖς σου, Σῶτερ μόνος Θεός, πάντων ἰατρεύων πάθη τε τῶν ψυχῶν, καὶ σωμάτων τὰ συντρίμματα, αὐτὸς θεράπευσον, καὶ τὸν ἐν νόσοις πάσχοντα εὔσπλαγχνε.

Ἐν τῷ λιπαίνειν Ἐλαίου χρίσει, πάντων τὰς κεφαλὰς δίδου εὐφροσύνης τούτῳ τὴν χαρμονήν, τῷ τὸν ἔλεον ζητοῦντί σου, τῆς ἐκλυτρώσεως τῷ πλουσίῳ ἐλέει σου Κύριε.

Ξίφος ὑπάρχει κατὰ δαιμόνων, Σῶτερ σοῦ ἡ σφραγίς, πῦρ τε ἀναλίσκον πάθη τὰ τῶν ψυχῶν, Ἱερέων ταῖς ἐντεύξεσιν· ὅθεν τὴν ἴασιν, οἱ δεδεγμένοι πίστει ὑμνοῦμέν σε (*).

Θεοτοκίον.

Σὺ τὸν κρατοῦντα ἐν δρακὶ πάντα, Μήτηρ Θεοῦ, ἔνδον ἐν κοιλίᾳ σχοῦσα θεοπρεπῶς, καὶ ἀφράστως σωματώσασα, ὑπὲρ τοῦ κάμνοντος, ἐξιλέωσαι τοῦτον δεόμεθα.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἅπαντας ἐλέησον Σωτήρ, κατὰ τὸ μέγα σου καὶ θεῖον ἔλεος· τούτου τὸν τύπον γὰρ Δέσποτα, μυστικῶς ὑπαινιττόμενοι, τὴν δι' Ἐλαίου ἱεροῦ χρίσιν προσάγομεν, τοῖς νοσοῦσιν· οὕς περ δυνάμει, τῇ σῇ πάντας ἴασαι.

Ῥείθροις τῶν ἐντεύξεων Χριστὲ, καὶ ἐπαλείψεσι τῶν Ἱερέων σου, πλύνον ὡς Κύριος ἄνωθεν, τὰ ἀλγήματα καὶ τραύματα, καὶ τὰς ὀδύνας εὐμενῶς, τοῦ ἐν κακώσει δεινῶν τρυχομένου, ὅπως καθάρσει τῇ σῇ, τύχῃ ῥώσεως.

Σύμβολον τῆς ἄνωθεν ῥοπῆς, καὶ ἱλαρότητος Ἔλαιον, θεῖον ἡμῖν τοῖς διαγράφουσι Δέσποτα, μὴ μακρύνῃς σου τὸ ἔλεος, μηδὲ παρίδῃς τοὺς πιστῶς ἀεὶ κραυγάζοντας· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Ἔνδοξον ὡς στέφανον Ἁγνή, ἡ φύσις εἴληφε τὸν θεῖον τόκον σου, ἐχθρῶν ἀπείργοντα φάλαγγας, καὶ νικῶντα

(*) Τὰ τρία ταῦτα Τροπάρια τῆς ζ'. Ὠδῆς, καὶ τὸ πρῶτον καὶ δεύτερον τῆς η'. διωρθώθησαν ἐκ τοῦ Χειρογράφου, παράρρυθμα ὄντα ἐν τοῖς τετυπωμένοις.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

κατὰ κράτος αὐτούς· διὸ χαρίτων σου φαιδραῖς, καταστεφόμενοι ἀγλαΐαις, σὲ ἀνυμνοῦμεν πανύμνητε Δέσποινα.

'Ωδὴ θ'. Λίθος ἀχειρότμητος ὄρους.

Νεῦσον οὐρανόθεν Οἰκτίρμον, δεῖξόν σου τὸ ἔλεος πᾶσι· δὸς νῦν τὴν ἀντίληψιν τὴν σήν, καὶ τὴν ἰσχύν σου τῷ προσιόντι σοι, διὰ τοῦ θείου χρίσματος, τῶν Ἱερέων σου φιλάνθρωπε.

Ἴδομεν πανάγαθε Σῶτερ, ἀγαλλιώμενοι τὸ θεῖον, Ἔλαιον ῥοπῇ σου ἐνθέῳ, ὑπὲρ μετόχους, ὅπερ προσείληφας, καὶ τυπικῶς μετέδωκας, λουτροῦ τοῦ θείου τοῖς μετέχουσιν.

Οἴκτειρον, ἐλέησον Σῶτερ ῥῦσαι δεινῶν καὶ ἀλγηδόνων, λύτρωσαι βελῶν τοῦ πονηροῦ, τοὺς σοὺς οἰκέτας ψυχὰς καὶ σώματα, ὡς ἐλεήμων Κύριος, χάριτι θείᾳ ἐξιώμενος.

Θεοτοκίον.

Ὕμνους καὶ δεήσεις Παρθένε, προσδεχομένη τῶν σῶν δούλων, ῥῦσαι χαλεπῶν παθημάτων, καὶ ἀλγηδόνων ταῖς ἱκεσίαις σου, τὸν δι' ἡμῶν πανάχραντε, τῇ θείᾳ σκέπῃ σου προστρέχοντα.

Ἄξιον ἐστὶν ὡς ἀληθῶς· καί, Τὴν τιμιωτέραν τῶν Χερουβίμ·

Ἐξαποστειλάριον. Ἐπεσκέψατο ἡμᾶς.

Ἐν ἐλέῳ Ἀγαθέ, ἐπίβλεψον σῷ ὄμματι, ἐπὶ τὴν δέησιν ἡμῶν, τῶν συνελθόντων ἐν τῷ Ναῷ σου, τῷ ἁγίῳ σήμερον, χρίσαι θείῳ Ἐλαίῳ, νοσοῦντας τοὺς δούλους σου.

Εἰς τοὺς Αἴνους, Στίχ. προσόμοια, Ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Ἔδωκας τὴν χάριν σου, διὰ τῶν σῶν εὐδιάλλακτε, Ἀποστόλων Φιλάνθρωπε, Ἐλαίῳ ἁγίῳ σου, θεραπεύειν πάντων, πληγάς τε καὶ νόσους· διὸ Ἐλαίῳ σου πιστῶς, τὸν προσιόντα καὶ νῦν ὡς εὔσπλαγχνος, ἁγίασον, ἐλέησον, παντοίας νόσου καθάρισον, καὶ τρυφῆς τῆς ἀφθάρτου σου, καταξίωσον Κύριε.

Βλέψον ἀκατάληπτε, ἐξ οὐρανόθεν ὡς εὔσπλαγχνος, ἐν χειρὶ ἀοράτῳ σου, σφραγίσας Φιλάνθρωπε, τὰς ἡμῶν αἰσθήσεις, Ἐλαίῳ σου θείῳ, τὸν προσδραμόντα σοι πιστῶς, καὶ ἐξαιτοῦντα πταισμάτων ἄφεσιν· καὶ δώρησαι τὴν ἴασιν.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τὴν τῆς ψυχῆς καὶ τοῦ σώματος, ἵνα πόθῳ δοξάζῃ σε, μεγαλύνων τὸ κράτος σου.

Χρίσει τοῦ Ἐλαίου σου, καὶ Ἱερέων φιλάνθρωπε, ἐπαφῇ τοὺς προστρέχοντας, ἁγίασον ἄνωθεν, νοσημάτων ῥῦσαι, ἀπόπλυνον ῥύπον, παραπτωμάτων ψυχικῶν, καὶ ἀλγηδόνων παντοίων λύτρωσαι, ἐν πόνοις παραμύθησον, ἐν ταῖς ὀδύναις ἰάτρευσον, καὶ ἐν πάσαις κακώσεσι, βοηθὸς ὄντως φάνηθι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σὲ τὸ καθαρώτατον, τοῦ Βασιλέως παλάτιον, δυσωπῶ Πολυΰμνητε· τὸν νοῦν μου καθάρισον, τὸν ἐσπιλωμένον, πάσαις ἁμαρτίαις, καὶ καταγώγιον τερπνὸν, τῆς ὑπερθέου Τριάδος ποίησον, ὅπως τὴν δυναστείαν σου, καὶ τὸ ἀμέτρητον ἔλεος, μεγαλύνω σωζόμενος, ὁ ἀχρεῖος οἰκέτης σου.

Τὸ Τρισάγιον· Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Τροπάριον, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ταχὺς εἰς ἀντίληψιν, μόνος ὑπάρχων Χριστὲ, ταχεῖαν τὴν ἄνωθεν, δεῖξον ἐπίσκεψιν, τοῖς πάσχουσι δούλοις σου· λύτρωσαι νοσημάτων, καὶ πικρῶν ἀλγηδόνων· ἔγειρον τοῦ ὑμνεῖν σε, καὶ δοξάζειν ἀπαύστως· πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Καὶ εὐθὺς τὴν Συναπτὴν ὁ Διάκονος, ἢ ὁ πρῶτος τῶν Ἱερέων.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου.

Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸ Ἔλαιον τοῦτο, τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος), καὶ τῆς ἐν Θεῷ ἐπισκέψεως αὐτοῦ, καὶ ὑπὲρ τοῦ ἐλθεῖν ἐπ' αὐτὸν τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτόν τε καὶ ἡμᾶς.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου.



Εἶτα ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν τοῦ Ἐλαίου ἀπέναντι τῆς κανδήλας.

Ἰστέον, ὅτι ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ, ἀντὶ ὕδατος, οἶνον εἰς τὴν Κανδήλαν τοῦ Εὐχελαίου βάλλουσιν.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου ἰώμενος τὰ συντρίμματα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν· αὐτὸς, Δέσποτα, ἁγίασον καὶ τὸ Ἔλαιον τοῦτο, ὥστε γενέσθαι τοῖς χριομένοις ἐξ αὐτοῦ, εἰς θεραπείαν καὶ ἀπαλλαγὴν παντὸς πάθους, νόσου σωματικῆς, μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ παντὸς κακοῦ· ἵνα καὶ ἐν τούτῳ δοξασθῇ σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν ὅσῳ δὲ λέγεται ἡ Εὐχὴ παρὰ τοῦ Ἱερέως, ψάλλονται τὰ Τροπάρια ταῦτα·

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ταχὺς εἰς ἀντίληψιν, μόνος ὑπάρχων Χριστὲ, ταχεῖαν τὴν ἄνωθεν, δεῖξον ἐπίσκεψιν, τοῖς πάσχουσι δούλοις σου· λύτρωσαι νοσημάτων, καὶ πικρῶν ἀλγηδόνων· ἔγειρον τοῦ ὑμνεῖν σε, καὶ δοξάζειν ἀπαύστως· πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῆς ψυχῆς τὰ ὄμματα, πεπηρωμένος, σοὶ Χριστὲ προσέρχομαι, ὡς ὁ Τυφλὸς ἐκ γενετῆς, ἐν μετανοίᾳ κραυγάζων σοι· Ἵλαθι μόνε, ἡμῖν εὐδιάλλακτε.

Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τὴν ψυχήν μου Κύριε, ἐν ἁμαρτίαις παντοίαις, καὶ ἀτόποις πράξεσι, δεινῶς παραλελυμένην, ἔγειρον τῇ θεϊκῇ σου ἐπιστασίᾳ, ὥσπερ καὶ τὸν Παράλυτον ἤγειρας πάλαι, ἵνα κράζω σεσωσμένος· Οἰκτίρμον δός μοι, Χριστὲ τὴν ἴασιν.

Ἦχος πλ. δ'.

Ὡς τοῦ Κυρίου Μαθητὴς ἀνεδέξω δίκαιε τὸ Εὐαγγέλιον· ὡς Μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον· τὴν παῤῥησίαν ὡς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη

Α'δελφόθεος, τὸ πρεσβεύειν ὡς Ἱεράρχης. Ἱκέτευε Χριστὸν τὸν Θεὸν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ τοῦ Πατρὸς μονογενὴς Θεὸς Λόγος, ἐπιδημήσας πρὸς ἡμᾶς ἐπ' ἐσχάτων, τῶν ἡμερῶν Ἰάκωβε θεσπέσιε, πρῶτόν σε ἀνέδειξε τῶν Ἱεροσολύμων, ποιμένα καὶ διδάσκαλον, καὶ πιστὸν οἰκονόμον, τῶν Μυστηρίων τῶν πνευματικῶν· ὅθεν σε πάντες τιμῶμεν Ἀπόστολε.

Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἐν τοῖς Μύροις Ἅγιε, ἱερουργὸς ἀνεδείχθης· τοῦ Χριστοῦ γὰρ ὅσιε, τὸ Εὐαγγέλιον πληρώσας, ἔθηκας τὴν ψυχήν σου, ὑπὲρ λαοῦ σου, ἔσωσας καὶ τοὺς ἀθώους ἐκ τοῦ θανάτου· διὰ τοῦτο ἡγιάσθης, ὡς μέγας μύστης Θεοῦ τῆς χάριτος.

Ἦχος γ'. Θείας πίστεως.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαῤῥύνας τὸν Νέστορα, οὕτως Ἅγιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος γ'.

Ἀθλοφόρε ἅγιε καὶ ἰαματικὲ Παντελεῆμον, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος πλ. δ'.

Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοὶ, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν· δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.

Ἦχος β'.

Τὰ μεγαλεῖά σου Παρθένε, τίς διηγήσεται; βρύεις γὰρ θαύματα, καὶ πηγάζεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς Θεολόγος καὶ φίλος Χριστοῦ.

Ἦχος β'.

Πρεσβεία θερμὴ, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγὴ, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.



Ὁ Ἀπόστολος, λεγόμενος παρὰ τοῦ Διακόνου.

Προκείμενον, Ἦχος α'.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.

Στίχ. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Καθολικῆς Ἐπιστολῆς Ἰακώβου τὸ Ἀνάγνωσμα.

Κεφ. ε'. 10.

Ἀδελφοὶ, ὑπόδειγμα λάβετε τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας τοὺς Προφήτας, οἳ ἐλάλησαν ἡμῖν ἐν τῷ ὀνόματι Κυρίου. Ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου οἴδατε, ὅτι πολυεύσπλαγχνός ἐστιν ὁ Κύριος καὶ οἰκτίρμων. Πρὸ πάντων δὲ, ἀδελφοί μου, μὴ ὀμνύετε, μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ, ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις; ψαλλέτω· ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς Πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε· πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη.

Ἀλληλούϊα, Ἦχος πλ. δ'.

Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε.

Εὐαγγέλιον Α'.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου.

Κεφ. ι'. 25.

Τῷ καιρῷ ἐκείνῳ, Νομικός τις προσῆλθε τῷ Ἰησοῦ, πειράζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε, τί ποιήσας, ζωὴν αἰώνιον κληρονομήσω; Ὁ δὲ εἶπε πρὸς αὐτόν· Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν. Εἶπε δὲ αὐτῷ· Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει, καὶ ζήσῃ. Ὁ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

δὲ θέλων δικαιοῦν ἑαυτόν, εἶπε πρὸς τὸν Ἰησοῦν· Καὶ τίς ἐστί μου πλησίον; Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἰεριχῶ, καὶ λῃσταῖς περιέπεσεν· οἳ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες αὐτὸν ἡμιθανῆ τυγχάνοντα. Κατὰ συγκυρίαν δὲ, Ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ· καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν. Ὁμοίως δὲ καὶ Λευΐτης, γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθε. Σαμαρείτης δέ τις ὁδεύων, ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη. Καὶ προσελθὼν, κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. Καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια, ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ· Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ,τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. Τίς οὖν τῶν τριῶν τούτων δοκεῖ σοι γεγονέναι πλησίον τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; Ὁ δὲ εἶπεν· Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, καὶ σὺ ποίει ὁμοίως.

Εἶτα ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας.

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα.

Ὁ Ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Ὁ Διάκονος Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην.

Τοῦ Κυρίου δεηθῶμεν.

Ἄναρχε (*), ἀδιάδοχε, Ἅγιε ἁγίων, ὁ τὸν μονογενῆ σου Υἱὸν ἐξαποστείλας, ἰώμενον πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, κατάπεμψον τὸ Ἅγιόν σου Πνεῦμα, καὶ ἁγίασον τὸ Ἔλαιον τοῦτο· καὶ ποίησον αὐτὸ χριομένῳ τῷ σῷ δούλῳ (τῷδε) εἰς τελείαν ἀπολύ-

(*) Τὸ Χειρόγραφ. ἔχει καὶ τὸ, ἀκατάληπτε. Ἡ δὲ Εὐχὴ, οὖσα ἐν τοῖς προτετυπωμένοις καὶ τὸ νόημα καὶ τὴν φράσιν οὐκ ὀλίγον ἡμαρτημένη, διωρθώθη ὁλοκλήρως ἐκ τοῦ Χειρογράφου.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τρωσιν τῶν ἁμαρτιῶν αὐτοῦ, εἰς Βασιλείας οὐρανῶν κληρονομίαν (*).

Σὺ γὰρ εἶ, ὁ Θεὸς, ὁ μέγας καὶ θαυμαςὸς, ὁ φυλάσσων τὴν διαθήκην σου, καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε· ὁ διδοὺς λύτρωσιν ἁμαρτιῶν, διὰ τοῦ ἁγίου σου παιδὸς Ἰησοῦ Χριστοῦ· ἀναγεννήσας ἡμᾶς ἀπὸ τῆς ἁμαρτίας· ὁ φωτίζων τοὺς τυφλοὺς, καὶ ἀνορθῶν τοὺς κατεῤῥαγμένους· ὁ ἀγαπῶν τοὺς δικαίους, καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν· ὁ ἀνακαινίσας ἡμᾶς ἐκ σκότους καὶ σκιᾶς θανάτου, λέγων τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει· Ἀνακαλύπτεσθε. Ἔλαμψε γὰρ ἐν ταῖς καρδίαις ἡμῶν τὸ φῶς τῆς ἐπιγνώσεως τοῦ Χριστοῦ σου, ἀφ' οὗ δι' ἡμᾶς ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· καὶ τοῖς δεξαμένοις αὐτὸν ἔδωκεν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, διὰ λουτροῦ παλιγγενεσίας τὴν υἱοθεσίαν ἡμῖν χαριζόμενος, καὶ μετόχους ἡμᾶς ποιήσας τοῦ ὀνόματος αὐτοῦ τοῦ ἁγίου· μετέστησεν ἡμᾶς ἐκ τῆς δυναστείας τοῦ διαβόλου, καὶ εἰς τὴν αὐτοῦ ἀδιάδοχον βασιλείαν ἐκάλεσεν. Αὐτὸς, Δέσποτα τῶν ἁπάντων, ἔπιδε ἐφ' ἡμᾶς, οὓς οὐκ ηὐδόκησας ἐν αἵματι διαθήκης καθαρίζεσθαι, ἀλλ' ἐν Ἐλαίῳ ἁγίῳ· καὶ ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τῷ τύπῳ τοῦ Σταυροῦ σου, καὶ τὴν σφραγίδα τοῦ Ἁγίου σου Πνεύματος, εἰς τὸ γενέσθαι αὐτοὺς Χριςοῦ ποίμνιον, λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, καθαρίσας ἡμᾶς ἐν ὕδατι, καὶ ἁγιάσας τῷ Ἁγίῳ σου Πνεύματι. Οὕτω καὶ ἡμῖν δώρησαι τὴν χάριν σου εἰς τὴν διακονίαν ταύτην, ὡς ἔδωκας Μωσεῖ τῷ θεράποντί σου, καὶ Σαμουὴλ τῷ ἠγαπημένῳ ὑπὸ σοῦ, καὶ Ἰωάννῃ τῷ ἐκλεκτῷ σου, καὶ πᾶσι τοῖς καθ' ἑκάςην γενεὰν καὶ γενεὰν εὐαρεστήσασί σοι· καὶ ἱκάνωσον ἡμᾶς γενέσθαι διακόνους τῆς καινῆς σου Διαθήκης, χρίων τὸ Ἔλαιόν σου τοῦτο, ὑπὲρ ὧν ἐποίησας· ὅπως ἂν, ἀπεκδυσάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, ἀποθάνωμεν τῇ ἁμαρτίᾳ, καὶ ζήσωμεν τῇ δικαιοσύνῃ σου, ἐνδυσάμενοι τὸν Κύριον

(*) Ἰστέον ὅτι, τινὲς μὲν τὴν Εὐχὴν ταύτην ἕως ὧδε μόνον λέγουσι, μετὰ τῆς Ἐκφωνήσεως, Σὸν γάρ ἐστι τὸ ἐλεεῖν· τινὲς δὲ ἕως τέλους.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ — Βιβλιοθήκη Σάμου

ἡμῶν Ἰησοῦν Χριστὸν, διὰ τῆς χρίσεως τοῦ ἁγιασμοῦ τοῦ μέλλοντος Ἐλαίου ἐπάγεσθαι. (*) Γένοιτο, Κύριε, τὸ Ἔλαιον τοῦτο, ἔλαιον ἀγαλλιάσεως, ἔλαιον ἁγιασμοῦ, ἔνδυμα βασιλικὸν, θώραξ δυνάμεως, πάσης διαβολικῆς ἐνεργείας ἀποτρόπαιον, σφραγὶς ἀνεπιβούλευτος, ἀγαλλίαμα καρδίας, εὐφροσύνη αἰώνιος· ἵνα καὶ ἐν τούτῳ οἱ χριόμενοι τῷ τῆς ἀναγεννήσεως Ἐλαίῳ, φοβεροὶ ὦσι τοῖς ὑπεναντίοις, καὶ λάμψωσιν ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου, μὴ ἔχοντες σπῖλον, ἢ ῥυτίδα, καὶ εἰσδεχθῶσιν εἰς τὰς αἰωνίους σου ἀναπαύσεις, καὶ δέξωνται τὸ βραβεῖον τῆς ἄνω κλήσεως.

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, κ.τ.λ.

Καὶ μετὰ τὴν Εὐχὴν, λαμβάνει ὁ Ἱερεὺς ἐκ τοῦ ἁγίου Ἐλαίου, καὶ χρίει τὸν ποιοῦντα τὸ Εὐχέλαιον, λέγων τὴν Εὐχὴν ταύτην·

Πάτερ Ἅγιε, ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων, ὁ πέμψας τὸν μονογενῆ σου Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πᾶσαν νόσον ἰώμενον, καὶ ἐκ θανάτου λυτρούμενον, ἴασαι καὶ τὸν δοῦλόν σου (τόνδε) ἐκ τῆς περιεχούσης αὐτὸν σωματικῆς καὶ ψυχικῆς ἀσθενείας, καὶ ζωοποίησον αὐτὸν, διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου· πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ ἰαματικῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Μωκίου καὶ Ἀνικήτου, Θαλελαίου καὶ Τρύφωνος· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων,

(*) Ἐν χειρογράφοις· ἐλαίῳ ἐπαλείφεσθαι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Αὕτη ἡ Εὐχὴ λέγεται παρ' ἑνὸς ἑκάστου τῶν Ἱερέων, μετὰ τὸ εἰπεῖν τὸ Εὐαγγέλιον, καὶ τὴν Εὐχὴν, χριόντων ἅμα τῷ Ἐλαίῳ τὸν νοσοῦντα.

Ὁ Διάκονος· Προκείμενον, Ἦχος β'.

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.

Στίχ. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.

Ὁ Ἀπόστολος.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ιε'. 1.

Ἀδελφοὶ, ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαςάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. Ἕκαστος γὰρ ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. Καὶ γὰρ ὁ Χριςὸς ὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ, καθὼς γέγραπται· Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε, ἐπέπεσον ἐπ' ἐμέ. Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη· ἵνα, διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχωμεν. Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριστὸν Ἰησοῦν· ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς εἰς δόξαν Θεοῦ.

Ἀλληλούϊα, Ἦχος πλ. α'. Τὰ ἐλέη σου, Κύριε.

Εὐαγγέλιον Β'.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου.

Κεφ. ιθ'. 1.

Τῷ καιρῷ ἐκείνῳ, διήρχετο ὁ Ἰησοῦς τὴν Ἱεριχώ. Καὶ ἰδοὺ ἀνὴρ, ὀνόματι καλούμενος Ζακχαῖος· καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος. Καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν τίς ἐστι· καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. Καὶ προδραμὼν ἔμπροσθεν, ἀνέβη ἐπὶ συκομωραίαν, ἵνα ἴδῃ αὐτόν· ὅτι δι' ἐκείνης ἤμελλε διέρχεσθαι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς, εἶδεν αὐτὸν, καὶ εἶπε πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. Καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων. Καὶ ἰδόντες ἅπαντες διεγόγγυζον, λέγοντες· Ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. Σταθεὶς δὲ Ζακχαῖος, εἶπε πρὸς τὸν Ἰησοῦν· Ἰδοὺ, τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς· καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς· Ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν· ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι, καὶ σῶσαι τὸ ἀπολωλός.

Εἶτα ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεός. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους.

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ.

Ὁ Ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν.

Ὁ Θεὸς, ὁ μέγας καὶ ὕψιστος, ὁ ὑπὸ πάσης κτίσεως προσκυνούμενος, ἡ τῆς σοφίας πηγὴ, ἡ τῆς ἀγαθότητος ὄντως ἀνεξιχνίαστος ἄβυσσος, καὶ τῆς εὐσπλαγχνίας ἀπερίοριστον πέλαγος· αὐτὸς, φιλάνθρωπε Δέσποτα, ὁ τῶν προαιωνίων καὶ θαυμασίων Θεὸς, ὃν ϟδεὶς ἀνθρώπων, ἐννοῶν, ἰσχύει καταλαβέσθαι, ἐπίβλεψον, εἰσάκϟσον ἡμῶν τῶν ἀναξίων δούλων σϟ· καὶ ὅπου, ἐπὶ τῷ ὀνόματί σου τῷ μεγάλῳ, τὸ Ἔλαιον τοῦτο προσάγομεν, κατάπεμψον τῆς σῆς δωρεᾶς τὰ ἰάματα, καὶ ἄφεσιν ἁμαρτιῶν, καὶ ἴασαι αὐτοὺς ἐν τῷ πλήθει τοῦ ἐλέους σου. Ναὶ, Κύριε εὐδιάλλακτε, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος, ὁ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, ὁ εἰδὼς ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ· ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· ὁ διὰ τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν ἐνανθρωπήσας, Θεὸς ὢν, καὶ πλασθεὶς διὰ τὸ πλάσμα σϟ· σὺ εἶ ὁ εἰπών· Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· σὺ εἶ ὁ τὸ πρόβατον ζητήσας τὸ ἀπολωλός· σὺ εἶ ὁ τὴν ἀπολλυμένην δραχμὴν ἐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Χίου

πιμελῶς ζητήσας, καὶ εὑρών· σὺ εἶ ὁ εἰπὼν, ὅτι· Τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλλω ἔξω· σὺ εἶ ὁ τὴν Πόρνην, τοὺς τιμίους σου πόδας δάκρυσι βρέξασαν, μὴ βδελυξάμενος· σὺ εἶ ὁ εἰπών· Ὁσάκις ἂν πέσῃς, ἔγειραι, καὶ σωθήσῃ· σὺ εἶ ὁ εἰπὼν, ὅτι· Χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· αὐτὸς ἔπιδε, εὔσπλαγχνε Δέσποτα, ἐξ ὕψους ἁγίου σȣ, συνεπισκιάσας ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου, ἐν χάριτι τȣ͂ Ἁγίου Πνεύματος, ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ κατασκήνωσον ἐπὶ τὸν δοῦλόν σου (τόνδε), τὸν ἐπεγνωκότα τὰ ἴδια πλημμελήματα, καὶ προσιόντα σοι πίστει· καὶ προσδεξάμενος τῇ ἰδίᾳ σου φιλανθρωπίᾳ, εἴτι ἐπλημμέλησεν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, συγχωρήσας ἐξάλειψον, καὶ κάθαρον αὐτὸν ἀπὸ πάσης ἁμαρτίας, καὶ, ἀεὶ συμπαρὼν αὐτῷ, διαφύλαξον τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς αὐτοῦ, πορευόμενον ἐν τοῖς δικαιώμασί σου, πρὸς τὸ μηκέτι ἐπίχαρμα γενέσθαι αὐτὸν τῷ διαβόλῳ· ἵνα καὶ ἐπ᾿ αὐτῷ δοξασθῇ τὸ πανάγιον ὄνομά σου.

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει ὁ Διάκονος· Προκείμενον, Ἦχος γ'.

Κύριος φωτισμός μου καὶ σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ιβ'. 27.

Ἀδελφοὶ, ὑμεῖς ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους· καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ πρῶτον Ἀποστόλους, δεύτερον Προφήτας, τρίτον Διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν, μὴ πάντες Ἀπόστολοι; μὴ πάντες Προφῆται; μὴ πάντες Διδάσκαλοι; μὴ πάντες δυνάμεις; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι; Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείτ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τονα· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν Ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίζω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, ȣ̓κ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Ἀλληλούϊα, Ἦχος β'.

Ἐπὶ σοὶ, Κύριε, ἤλπισα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

Εὐαγγέλιον Γ.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου.

Κεφ. ι. 1.

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος, ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτȣ̃, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες· Ὅτι ἤγγικεν ἡ Βασιλεία τῶν ȣ̓ρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Εἶτα ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας.

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα.

Ὁ Ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.



Καὶ ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην·

Δέσποτα παντοκράτορ, ἅγιε Βασιλεῦ, ὁ παιδεύων, καὶ μὴ θανατῶν, ὁ ὑποστηρίζων τοὺς καταπίπτοντας, καὶ ἀνορθῶν τοὺς κατεῤῥαγμένους· ὁ τὰς σωματικὰς θλίψεις διορθούμενος τῶν ἀνθρώπων, αἰτούμεθά σε, ὁ Θεὸς ἡμῶν, ὅπως ἐπαγάγῃς τὸ ἔλεός σου ἐπὶ τὸ Ἔλαιον τοῦτο, καὶ τοὺς χριομένους ἐξ αὐτοῦ ἐν τῷ ὀνόματί σου, ἵνα γένηται αὐτοῖς εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, καὶ εἰς καθαρισμὸν καὶ ἀπαλλαγὴν παντὸς πάθους, καὶ πάσης νόσου καὶ μαλακίας, καὶ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος. Ναὶ, Κύριε, τὴν ἰατρικήν σου δύναμιν οὐρανόθεν ἐξαπόστειλον· ἅψαι τοῦ σώματος, σβέσον τὸν πυρετὸν, πράϋνον τὸ πάθος, καὶ πᾶσαν λανθάνουσαν ἀσθένειαν ἀποδίωξον. Γενοῦ ἰατρὸς τοῦ δούλου σου (τοῦδε)· ἐξέγειρον αὐτὸν ἀπὸ κλίνης ὀδυνηρᾶς καὶ στρωμνῆς κακώσεως· σῶον καὶ ὁλόκληρον χάρισαι αὐτὸν τῇ Ἐκκλησίᾳ σου, εὐαρεστοῦντα καὶ ποιοῦντα τὸ θέλημά σου.

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Προκείμενον, Ἦχος δ'.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε.

Στίχ. Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους Β'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ϛ'. 16.

Ἀδελφοὶ, ὑμεῖς ἐστε ναὸς Θεοῦ ζῶντος, καθὼς εἶπεν ὁ Θεός· Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός. Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος· καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς· καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ. Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοὶ, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.

Ἀλληλούϊα, Ἦχος β'. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Εὐαγγέλιον Δ'.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου

Κεφ. η'. 14.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν. Καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός· καὶ ἠγέρθη, καὶ διηκόνει αὐτοῖς. Ὀψίας δὲ γενομένης, προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς· καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν. Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ Προφήτου, λέγοντος· Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν. Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν. Καὶ προσελθὼν εἷς γραμματεὺς, εἶπεν αὐτῷ· Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. Ἕτερος δὲ τῶν Μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ.

Εἶτα ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους ζωῆς, εἰρήνης, ὑγείας.

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα.

Ἐκφώνως ὁ Ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν·

Ἀγαθὲ καὶ φιλάνθρωπε, εὔσπλαγχνε καὶ πολυέλεε Κύριε, ὁ πολὺς ἐν ἐλέει, καὶ πλούσιος ἐν ἀγαθότητι, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, ὁ ἐνισχύσας



ἡμᾶς, διὰ τῶν ἁγίων σου Ἀποστόλων, ἐλαίῳ μετὰ προσευχῆς τὰς ἀσθενείας τοῦ λαοῦ θεραπεύεσθαι· αὐτὸς καὶ τὸ Ἔλαιον τοῦτο σύνταξον εἰς ἴασιν τοῖς ἐξ αὐτοῦ χριομένοις, εἰς ἀπαλλαγὴν πάσης νόσου καὶ πάσης μαλακίας, εἰς ἀπολύτρωσιν τῶν κακῶν τῶν ἀπεκδεχομένων τὴν παρὰ σοῦ σωτηρίαν· Ναὶ, Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, δεόμεθά σου, παντοδύναμε, τοῦ σώζειν πάντας ἡμᾶς· ὁ μόνος ψυχῶν τε καὶ σωμάτων ἰατρὸς, ἁγίασον πάντας ἡμᾶς· ὁ πᾶσαν νόσον ἰώμενος, ἴασαι καὶ τὸν δοῦλόν σου (τόνδε)· ἐξέγειρον αὐτὸν ἀπὸ κλίνης ὀδυνηρᾶς, διὰ ἐλέους τῆς σῆς χρηστότητος· ἐπίσκεψαι αὐτὸν ἐν ἐλέει καὶ οἰκτιρμοῖς σου· ἀποδίωξον ἀπ' αὐτοῦ πᾶσαν ἀῤῥωστίαν καὶ ἀσθένειαν· ἵνα, ἐξαναστὰς τῇ χειρί σου τῇ κραταιᾷ, δουλεύῃ σοι μετὰ πάσης εὐχαριστίας· ὅπως καὶ νῦν, μετέχοντες τῆς σῆς ἀφάτου φιλανθρωπίας, ὑμνῶμεν καὶ δοξάζωμεν σὲ τὸν ποιοῦντα μεγάλα καὶ θαυμαστὰ, ἔνδοξά τε καὶ ἐξαίσια.

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Προκείμενον, Ἦχος πλ. α'.

Σὺ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.

Στίχ. Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους Β'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. α'. 8.

Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῇν. Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς. Ὃς ἐκ τηλικούτου θανάτου ἐῤῥύσατο ἡμᾶς, καὶ ῥύεται· εἰς ὃν ἠλπίκαμεν, ὅτι καὶ ἔτι ῥύσεται· συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἀλληλούϊα, Ἦχος πλ. ά.

Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι.

Εὐαγγέλιον Ε'.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου.

Κεφ. κέ. 1.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα Παρθένοις, αἵ τινες, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ Νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί. Αἵ τινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ Νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς, κραυγὴ γέγονεν· Ἰδοὺ, ὁ Νυμφίος ἔρχεται· ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ Παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ Νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ Παρθένοι, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Εἶτα λέγει ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας.

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα.

Ὁ Ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος· ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τα· ὁ τῶν ὀρφανῶν πατὴρ, καὶ τῶν χειμαζομένων λιμὴν, καὶ τῶν νοσούντων ἰατρός· ὁ τὰς ἀσθενείας ἡμῶν ἀπόνως βαστάζων, καὶ τὰς νόσους ἡμῶν λαμβάνων· ὁ ἐν ἱλαρότητι ἐλεῶν· ὁ ὑπερβαίνων ἀνομίας, καὶ ἐξαίρων ἀδικίας· ὁ ταχὺς εἰς βοήθειαν, καὶ βραδὺς εἰς ὀργήν· ὁ ἐμφυσήσας εἰς τοὺς σεαυτοῦ Μαθητὰς, καὶ εἰπών· Λάβετε Πνεῦμα Ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ὁ δεχόμενος τῶν ἁμαρτωλῶν τὴν μετάνοιαν, καὶ ἐξουσίαν ἔχων συγχωρεῖν ἁμαρτίας πολλὰς καὶ χαλεπὰς, καὶ ἴασιν παρέχων πᾶσι τοῖς ἐν ἀσθενείᾳ καὶ μακρονοσίᾳ διάγουσιν· ὁ καὶ ἐμὲ τὸν ταπεινὸν καὶ ἁμαρτωλὸν καὶ ἀνάξιον δοῦλόν σου, τὸν ἐν πολλαῖς ἁμαρτίαις συμπεπλεγμένον, καὶ πάθεσιν ἡδονῶν συγκυλινδούμενον, καλέσας εἰς τὸν ἅγιον καὶ ὑπερμέγιστον βαθμὸν τῆς Ἱερωσύνης, καὶ εἰσελθεῖν εἰς τὸ ἐνδότερον τοῦ καταπετάσματος, εἰς τὰ Ἅγια τῶν Ἁγίων, ὅπου παρακύψαι οἱ ἅγιοι Ἄγγελοι ἐπιθυμοῦσι, καὶ ἀκοῦσαι τῆς Εὐαγγελικῆς φωνῆς Κυρίου τοῦ Θεοῦ, καὶ θεάσασθαι αὐτοψεὶ το πρόσωπον τῆς ἁγίας Ἀναφορᾶς, καὶ ἀπολαῦσαι τῆς θείας καὶ ἱερᾶς Λειτουργίας· ὁ καταξιώσας με ἱερουργῆσαι τὰ ἐπουράνιά σου Μυστήρια, καὶ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ Λαοῦ ἀγνοημάτων, καὶ μεσιτεῦσαι ὑπὲρ τῶν λογικῶν σου προβάτων, ἵνα, διὰ τῆς πολλῆς καὶ ἀφάτου σου φιλανθρωπίας, τὰ παραπτώματα αὐτῶν ἐξαλείψῃς· αὐτὸς, ὑπεράγαθε Βασιλεῦ, ἐνώτισαι τὴν προσευχήν μου ἐν ταύτῃ τῇ ὥρᾳ τε καὶ ἁγίᾳ ἡμέρᾳ, καὶ ἐν παντὶ καιρῷ καὶ τόπῳ, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου· καὶ τοῦ δούλου σου (τοῦδε), τοῦ ἐν ἀσθενείᾳ ψυχῆς καὶ σώματος ὄντος, τὴν ἴασιν δώρησαι, παρέχων ἄφεσιν ἁμαρτιῶν αὐτῷ, καὶ συγχώρησιν πλημμελημάτων ἑκουσίων τε καὶ ἀκουσίων· θεραπεύων αὐτοῦ πληγὰς ἀνιάτους, πᾶσάν τε νόσον, καὶ πᾶσαν μαλακίαν. Δώρησαι αὐτῷ ψυχικὴν ἴασιν, ὁ ἁψάμενος τῆς πενθερᾶς τοῦ Πέτρου, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς, καὶ ἠγέρθη καὶ διηκόνει σοι. Αὐτὸς, Δέσποτα, καὶ τῷ δούλῳ σου (τῷδε) παράσχου ἰατρείαν, καὶ ἀπαλλαγὴν πάσης φθοροποιοῦ ἀλγηδόνος· καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Χάμου

μνήσθητι τῶν πλουσίων σου οἰκτιρμῶν καὶ τοῦ ἐλέους σου. Μνήσθητι, ὅτι ἐπιμελῶς ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ, καὶ οὐδεὶς εὑρίσκεται ἀναμάρτητος ἐπὶ τῆς γῆς· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις, ὁ ἐλθὼν καὶ σώσας τὸ ἀνθρώπινον γένος, καὶ ἐλευθερώσας ἡμᾶς ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ἐὰν γὰρ εἰς κρίσιν ἔλθῃς μετὰ τῶν δούλων σου, οὐδεὶς εὑρεθήσεται καθαρὸς ἀπὸ ῥύπου· ἀλλὰ πᾶν στόμα φραγήσεται, μὴ ἔχον τὶ ἀπολογήσασθαι, ὅτι, ὡς ῥάκος ἀποκαθημένης, πᾶσα ἡ δικαιοσύνη ἡμῶν ἐνώπιόν σου· διὰ τοῦτο ἁμαρτίας νεότητος ἡμῶν μὴ μνησθῇς, Κύριε. Σὺ γὰρ ὑπάρχεις ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀνάπαυσις τῶν κοπιώντων καὶ πεφορτισμένων ἐν ἀνομίαις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Προκείμενον, Ἦχος δ'.

Ἐλέησόν με, ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Στίχ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός.

Ὁ Ἀπόστολος.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. έ. 22.

Ἀδελφοὶ, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοὶ, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ Πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος· σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ἀλληλούϊα, Ἦχος πλ. β'.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.



Εὐαγγέλιον Ϛ'.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου.

Κεφ. ιέ. 21.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Καὶ ἰδοὺ, γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγασεν αὐτῷ, λέγουσα· Ἐλέησόν με, Κύριε, υἱὲ Δαυῒδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ Μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν, λέγοντες· Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐκ ἀπεστάλην, εἰμὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἡ δὲ ἐλθοῦσα, προσεκύνει αὐτῷ, λέγουσα· Κύριε, βοήθει μοι. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ εἶπε· Ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι, ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

Ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας.

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα.

Ὁ Ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν· ὁ τὰς νόσους ἡμῶν ἀπόνως βαστάζων· οὗ τῷ μώλωπι πάντες ἰάθημεν· ὁ ποιμὴν ὁ καλὸς, ὁ εἰς ἀναζήτησιν ἐλθὼν τοῦ πλανηθέντος προβάτου· ὁ τοῖς ὀλιγοψύχοις διδοὺς παραμυθίαν, καὶ ζωὴν τοῖς συντετριμμένοις· ὁ τὴν πηγὴν τῆς Αἱμοῤῥοούσης, δωδεκαετῆ οὖσαν, ἰασάμενος· ὁ τὴν θυγατέρα τῆς Χαναναίας τοῦ χαλεποῦ δαιμονίου ἐλευθερώσας· ὁ τὸ δάνειον χαρισάμενος τοῖς δυσὶ χρεωφειλέταις, καὶ τῇ ἁμαρτωλῷ τὴν ἄφεσιν δούς· ὁ τὴν ἴασιν τῷ Παραλυτικῷ δωρησά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μενος σὺν τῇ ἀφέσει τῶν ἁμαρτιῶν αὐτοῦ· ὁ τὸν Τελώνην τῷ λόγῳ δικαιώσας, καὶ τὸν Ληςὴν ἐν τῇ ἐσχάτῃ αὐτοῦ ὁμολογίᾳ προσδεξάμενος· ὁ τὰς ἁμαρτίας τοῦ κόσμου ἀράμενος, καὶ τῷ Σταυρῷ προσηλώσας· σοῦ δεόμεθα, καὶ σὲ ἱκετεύομεν· Ἐν τῇ ἀγαθότητί σου, αὐτὸς ἄνες, ἄφες συγχώρησον, ὁ Θεός, τὰς ἀνομίας καὶ τὰς ἁμαρτίας τοῦ δούλου σου (τοῦδε), τὰ πλημμελήματα αὐτοῦ, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ, τὰ ἐν παραβάσει καὶ ἐν παρακοῇ, τὰ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ· ἢ ὑπὸ κατάραν Ἱερέως ἢ πατρός, ἢ μητρὸς ἐγένετο· ἢ ὀφθαλμὸν εἰσίασεν, ἢ ὄσφρησιν ἐξεθήλυνεν, ἢ ἀφῇ κατεμαλακίσθη, ἢ γεύσει κατεπόρνευσεν, ἤ, ἐν οἱᾳδήποτε κινήσει σαρκὸς καὶ πνεύματος, τοῦ σοῦ ἀπηλλοτριώθη θελήματος, καὶ τῆς σῆς ἁγιότητος· εἴτι ἥμαρτεν αὐτός τε καὶ ἡμεῖς, σύ, ὡς ἀγαθὸς καὶ ἀμνησίκακος Θεὸς καὶ φιλάνθρωπος, συγχώρησον· μὴ ἐῶν αὐτόν τε καὶ ἡμᾶς εἰς τὸν ῥερυπωμένον βίον καταπεσεῖν, μηδὲ εἰς τὰς ὀλεθρίους ὁδοὺς ἀποτρέχειν. Ναί, Δέσποτα Κύριε, ἐπάκουσόν μου τοῦ ἁμαρτωλοῦ ἐν τῇ ὥρᾳ ταύτῃ ὑπὲρ τοῦ δούλου σου (τοῦδε)· πάριδε, ὡς ἀμνησίκακος Θεός, τὰ παραπτώματα αὐτοῦ ἅπαντα· ἀπάλλαξον αὐτὸν τῆς αἰωνίου κολάσεως· τὸ ςόμα αὐτοῦ τῆς σῆς αἰνέσεως πλήρωσον· τὰ χείλη αὐτοῦ ἄνοιξον πρὸς δοξολογίαν τοῦ ὀνόματός σου· τὰς χεῖρας αὐτοῦ ἔκτεινον πρὸς ἐργασίαν τῶν ἐντολῶν σου· τοὺς πόδας αὐτοῦ πρὸς τὸν δρόμον τοῦ Εὐαγγελίου σου κατεύθυνον, πάντα αὐτοῦ τὰ μέλη καὶ τὴν διάνοιαν τῇ σῇ κατασφαλιζόμενος χάριτι. Σὺ γὰρ εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν ἁγίων σου Ἀποςόλων ἐντειλάμενος ἡμῖν, λέγων· Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς· καὶ πάλιν· Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται· καὶ ὡς ἐπήκουσας Ἐζεκίου ἐν τῇ θλίψει τῆς ψυχῆς αὐτοῦ, ἐν τῇ ὥρᾳ τοῦ θανάτου αὐτοῦ, καὶ οὐ παρεῖδες τὴν δέησιν αὐτοῦ, οὕτω κἀμοῦ τοῦ ταπεινοῦ, καὶ ἁμαρτωλοῦ, καὶ ἀναξίου δούλου σου ἐπάκουσον ἐν τῇ ὥρᾳ ταύτῃ δεομένου σου. Σὺ γὰρ εἶ, Κύριε Ἰησοῦ

Χριστὲ, ὁ καὶ ἑβδομηκοντάκις ἑπτὰ ἀφιέναι τοῖς περιπίπτουσιν ἐν ἁμαρτίαις κελεύσας, τῇ σῇ ἀγαθότητι καὶ φιλανθρωπίᾳ, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, καὶ χαίρων ἐπὶ τῇ ἐπιστροφῇ τῶν πεπλανημένων· ὅτι, ὡς ἡ μεγαλωσύνη σου, οὕτω καὶ τὸ ἔλεός σου· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος· Προκείμενον Ἦχος δ'.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με.

Στίχ. Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι.

Ὁ Ἀπόστολος.

Πρὸς Θεσσαλονικεῖς Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ε'. 14.

Ἀδελφοὶ, παρακαλοῦμεν ὑμᾶς, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ· ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας. Πάντοτε χαίρετε. Ἀδιαλείπτως προσεύχεσθε. Ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ τὸ θέλημα τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. Τὸ πνεῦμα μὴ σβέννυτε. Προφητείας μὴ ἐξουθενεῖτε. Πάντα δοκιμάζετε. Τὸ καλὸν κατέχετε. Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.

Ἀλληλούϊα, Ἦχος β'.

Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως.

Εὐαγγέλιον Ζ'.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου.

Κεφ. θ'. 9.

Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον· καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι. Καὶ ἀναστὰς, ἠκολούθησεν αὐτῷ. Καὶ ἐγένετο, αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ, πολ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

λοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες, συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς Μαθηταῖς αὐτοῦ. Καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς Μαθηταῖς αὐτοῦ· Διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ Διδάσκαλος ὑμῶν; Ὁ δὲ Ἰησοῦ ἀκούσας, εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Πορευθέντες δὲ, μάθετε τί ἐστιν· Ἔλεον θέλω, καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης.

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα.

Ὁ Ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός.

Ὁ Διάκονος· τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν· (*)

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ τὰ χρόνια πάθη θεραπεύων· ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ· ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· σὺ γὰρ, Κύριε, ἐν τῇ παλαιᾷ Διαθήκῃ ἔθου μετάνοιαν τοῖς ἁμαρτωλοῖς, Δαυῒδ καὶ τοῖς Νινευΐταις, καὶ τοῖς πρὶν μετὰ τούτους· ἀλλὰ καὶ ἐν τῇ ἐπιδημίᾳ τῆς ἐνσάρκου σου οἰκονομίας οὐκ ἐκάλεσας δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς με-

(*) Ἐν τοῖς χειρογράφοις Εὐχολογίοις ἡ παροῦσα Εὐχὴ ἄρχεται οὕτω » Δέ-
» σποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταπέμψας τοὺς ἑπτὰ Ἀρχαγγέλους ἐπὶ τὸν
» οἶκον τοῦ Ζακχαίου, καὶ εἰπών· Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐ-
» γένετο· αὐτὸς, φιλάνθρωπε Κύριε, ὁ Θεὸς ἡμῶν, κατάπεμψον τούτους τοὺς
» Ἀρχαγγέλους ἐπὶ τὸν οἶκον τοῦ προαιτησαμένου τὴν θείαν καὶ ἱερὰν καὶ ἐν-
» δοξοτάτην θυσίαν ἡμῶν, καὶ ἐπὶ τὸ ἅγιον Ἔλαιον τοῦτο, τὸ προϊστάμενον,
» καὶ ἀναφερόμενον εἰς ὁλοκάρπωσιν τοῦ θυσιαστηρίου σου. Οὕτω, Κύριε ὁ Θεὸς
» ἡμῶν, ἐπάκουσον ἡμῶν, ὡς ἐπήκουσας Ζακχαίου τοῦ πενιχροῦ ἀνθρώπου, καὶ
» εὐλόγησον τὸ Ἔλαιον τοῦτο· καὶ τοῖς ἐξ αὐτοῦ χριομένοις δὸς πίστιν ἄμετρον,
» καὶ εὐλογίαν ἀδιάλειπτον, ὅπως εὐαρεστήσωσι σὲ τὸν μόνον ἀληθινὸν Θεὸν ἡμῶν·
» καὶ εἰσάκουσον καὶ ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, ὁ ἰατρὸς τῶν ψυχῶν
» καὶ τῶν σωμάτων ἡμῶν· ὁ τὰ χρόνια πάθη κ.τ.λ. »



τάνοιαν, Τελώνην, καὶ Πόρνην, Λῃστὴν καὶ βλάσφημον, καὶ διώκτην, τὸν μέγαν Παῦλον, διὰ μετανοίας προσδεξάμενος· Πέτρον τὸν κορυφαῖον καὶ Ἀπόστολόν σου, ἀρνησάμενόν σε τρίτον, διὰ μετανοίας προσελάβου, καὶ ἐπηγγείλω αὐτῷ, λέγων· Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ δώσω σοι τὰς κλεῖς τῆς Βασιλείας τῶν οὐρανῶν. Διόπερ καὶ ἡμεῖς, ἀγαθὲ καὶ φιλάνθρωπε, κατὰ τὰς ἀψευδεῖς σου ἐπαγγελίας θαῤῥοῦντες, δεόμεθά σου, καὶ ἱκετεύομεν ἐν τῇ ὥρᾳ ταύτῃ· Ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καὶ πρόσδεξαι αὐτὴν, ὡς θυμίαμα προσφερόμενόν σοι, καὶ ἐπίσκεψαι τὸν δοῦλόν σου (τόνδε)· καὶ εἴτι ἐπλημμέλησεν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, ἢ ἐν νυκτὶ, ἢ ἐν ἡμέρᾳ, ἢ ὑπὸ κατάραν Ἱερέως, (*) ἢ τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν, ἢ ὅρκῳ παρεπίκρανε καὶ ὡρκομότησε, παρακαλοῦμέν σε καὶ δεόμεθά σου· Ἄνες, ἄφες, συγχώρησον αὐτῷ, ὁ Θεὸς, παραβλέπων τὰς ἀνομίας αὐτοῦ καὶ τὰς ἁμαρτίας, καὶ τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ γενόμενα παρ' αὐτοῦ· καὶ εἴτι τῶν ἐντολῶν σου παρέβη, ἢ ἐπλημμέλησεν, ὡς σάρκα φορῶν, καὶ τὸν κόσμον οἰκῶν, ἢ ἐξ ἐνεργείας τοῦ διαβόλου, αὐτὸς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς, συγχώρησον, ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐχ ἁμαρτήσει. Σὺ γὰρ μόνος ὑπάρχεις ἀναμάρτητος· ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια· οὐ γὰρ ἔπλασας τὸν ἄνθρωπον εἰς ἀπώλειαν, ἀλλ' εἰς περιποίησιν τῶν ἐντολῶν σου, καὶ ζωῆς ἀφθάρτου κληρονομίαν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα εἰσέρχεται μέσον τῶν Ἱερέων ὁ ποιῶν τὸ Εὐχέλαιον· καὶ λαβὼν ὁ προϊστάμενος τῶν Ἱερέων τὸ ἅγιον Εὐαγγέλιον, τίθησιν εἰς τὴν κεφαλὴν αὐτοῦ· καὶ τιθέασιν ἐπ' αὐτὸ τὰς

(*) Ἴσως λείπει τὸ, ἐγένετο.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

χεῖρας οἱ Ἱερεῖς. Ὁ δὲ προϊστάμενος λέγει τὴν Εὐχὴν ταύτην μεγαλοφώνως·

Τοῦ Κυρίου δεηθῶμεν.

Βασιλεῦ ἅγιε, εὔσπλαγχνε, καὶ πολυέλεε Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, οὐ τίθημι ἐμὴν χεῖρα ἁμαρτωλὸν ἐπὶ τὴν κεφαλὴν τοῦ προσελθόντος σοι ἐν ἁμαρτίαις, καὶ αἰτουμένου παρὰ σοῦ δι' ἡμῶν ἄφεσιν ἁμαρτιῶν· ἀλλὰ σὴν χεῖρα κραταιὰν καὶ δυνατὴν, τὴν ἐν τῷ ἁγίῳ Εὐαγγελίῳ τούτῳ, ὃ οἱ Συλλειτουργοί μου κατέχουσιν, ἐπὶ τὴν κεφαλὴν τοῦ δούλου σου (τοῦδε) ἔκτεινον· καὶ δέομαι σὺν αὐτοῖς, καὶ ἱκετεύω τὴν συμπαθεστάτην καὶ ἀμνησίκακόν σου φιλανθρωπίαν· Ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν, μετανοήσαντι τῷ Δαυῒδ ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασιν ἄφεσιν δωρησάμενος, καὶ τοῦ Μανασσῆ τὴν ἐπὶ μετανοίᾳ προσευχὴν δεξάμενος, αὐτὸς καὶ τὸν δοῦλόν σου (τόνδε) μετανοοῦντα ἐπὶ τοῖς ἰδίοις αὐτοῦ πλημμελήμασι, πρόσδεξαι τῇ συνήθει σου φιλανθρωπίᾳ, παρορῶν αὐτοῦ πάντα τὰ παραπτώματα. Σὺ γὰρ εἶ, ὁ Θεὸς ἡμῶν, ὁ καὶ ἑβδομηκοντάκις ἑπτὰ ἀφιέναι κελεύσας τοῖς περιπίπτουσιν ἐν ἁμαρτίαις· ὅτι, ὡς ἡ μεγαλωσύνη σου, οὕτω καὶ τὸ ἔλεός σου· καὶ σοὶ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀσπάζεται τὸ ἅγιον Εὐαγγέλιον ὁ ποιήσας τὸ Εὐχέλαιον· ὁ δὲ Ἱερεὺς μνημονεύει αὐτόν. Εἶτα ψάλλεται τὸ παρὸν Ἰδιόμελον.

Δόξα. Ἦχος δ'.

Πηγὴν ἰαμάτων ἔχοντες, ἅγιοι Ἀνάργυροι, τὰς ἰάσεις παρέχετε πᾶσι τοῖς δεομένοις, ὡς μεγίστων δωρεῶν ἀξιωθέντες, παρὰ τῆς ἀενάου πηγῆς τοῦ Σωτῆρος Χριστοῦ· Φησὶ γὰρ πρὸς ὑμᾶς ὁ Κύριος, ὡς ὁμοζήλους τῶν Ἀποστόλων· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν, κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε αὐτὰ ἐκβάλλειν, καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. Διὸ τοῖς προστάγμασιν αὐτοῦ, καλῶς πολι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τευσάμενοι, δωρεὰν ἐλάβετε, δωρεὰν παρέχετε, ἰατρεύοντες τὰ πάθη τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Νεῦσον παρακλήσεσι, σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι· Σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Καὶ γίνεται Ἀπόλυσις.

Ὁ δὲ ποιήσας τὸ Εὐχέλαιον, βαλὼν μετάνοιαν, λέγει· Εὐλογεῖτε, Πατέρες ἅγιοι· συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ. (Ἐκ γ΄.)

Εἶτα, λαβὼν παρ᾽ αὐτῶν εὐλογίαν καὶ συγχώρησιν, ἀπέρχεται εὐχαριστῶν τῷ Θεῷ.

---

# ΕΥΧΗ

## ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΑΛΛΙΣΤΟΥ ΕΙΣ ΤΑ ΕΓΚΑΙΝΙΑ ΤΟΥ ΘΕΙΟΥ ΝΑΟΥ.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὴν κτίσιν μόνῳ τῷ λόγῳ δημιουργήσας καὶ εἰς τὸ εἶναι παραγαγών, ἀῤῥήτοις δὲ λόγοις ποικίλως ταύτην διαμορφώσας· ὁ τὸ ἐπιφερόμενον ἐπ᾽ αὐτῇ σὸν Πνεῦμα συστείλας, καὶ τὸ ἡλιακὸν τοῦτο φῶς ἐπ᾽ αὐτὴν ἐκχέας εἰς ταύτης τὸν ἐγκαινισμόν· ὁ τῷ θεράποντί σου Μωσεῖ ἐμπνεύσας ἔπαινόν τινα ἐξαίρετον προσθεῖναι τῇ ἀρίστῃ σου δημιουργίᾳ, καὶ εἰπεῖν· Ἰδεῖν σε τὸ φῶς ὅτι καλόν, καὶ ἡμέραν τοῦτο καλέσαι· ὅπερ δὴ καὶ ἡμεῖς ὁρῶντες, καὶ τὸν φαεινότατον τοῦτον ἥλιον ἐγκαινίζοντα καθ᾽ ἑκάστην τὴν κτίσιν, σὲ τὸν τῆς ὄντως ἡμέρας δοξάζομεν Ἥλιον, καὶ τὸ φῶς σου τὸ ἀνέσπερον· ὁ διὰ τοῦ Υἱοῦ σου ἡμῖν ἐντειλάμενος ἐγκαινισθῆναι τὴν ἡμετέραν φύσιν τῷ Ἁγίῳ σου Πνεύματι, ὥστε καί, διὰ τῆς δωρεᾶς ταύτης, τοὺς δικαίους ἐκλάμψειν κατὰ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τὸν ἥλιον· σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, τὸν Πατέρα τοῦ Λόγου, τὸν Κύριον καὶ Θεὸν ἡμῶν· Ἐπειδὴ τῇ ἀφάτῳ σου φιλανθρωπίᾳ καὶ τῷ ἀμετρήτῳ σου ἐλέει, ἡ κτίσις τὸν ἐγκαινισμὸν ἐδέξατο, καὶ ὁ παλαιὸς Νόμος, εἰς τύπον τῆς νέας Διαθήκης, ἐν τῇ παρὰ τῷ Σινᾷ ὄρει σῇ θεοπτείᾳ, καὶ ἐν τῇ Βάτῳ ἐκείνῃ τῇ θαυμαστῇ, καὶ ἐν τῇ τοῦ μαρτυρίου Σκηνῇ καὶ ἐν τῷ τοῦ Σολομῶντος ἐκείνου περικαλλεστάτῳ Ναῷ· ἱλέῳ ὄμματι ἐπίβλεψον ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, τοὺς κατοικοῦντας τοῦτον τὸν οἶκον τὸν οὐρανομήκη, τὸ τῆς οἰκουμένης καύχημα, τὸ θυσιαστήριον τὸ ἀληθινὸν τῆς σῆς ἀῤῥήτου δόξης· καὶ κατάπεμψον τὸ πανάγιόν σου Πνεῦμα ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὴν κληρονομίαν σου· καὶ κατὰ τὸν θεῖον Δαυῒδ, ἐγκαίνισον ἐν ταῖς καρδίαις ἡμῶν πνεῦμα εὐθὲς, καὶ πνεύματι ἡγεμονικῷ στήριξον ἡμᾶς· καὶ τοῖς μὲν Βασιλεῦσιν ἡμῶν τρόπαια καὶ νίκας κατὰ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν δώρησαι, ἡμῖν δὲ ὁμόνοιαν καὶ εἰρήνην· τοῖς δὲ τὴν οἰκοδομὴν ταύτην, καὶ τὸν τοῦ Ναοῦ ἐγκαινισμὸν ἔρωτι θείῳ ποιησαμένοις διὰ σπουδῆς, ἄφεσιν τῶν πλημμελημάτων παράσχου. Δώρησαι αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα· ἔγειρον αὐτοὺς εἰς τὴν ἐργασίαν τῶν ἐντολῶν σου· χάρισαι αὐτοῖς τὸν ἐγκαινισμὸν τῆς δωρεᾶς τοῦ Ἁγίου σου Πνεύματος· ἵνα ἀκατακρίτως προσκυνῶσι σὲ τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· πρεσβείαις τῆς Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου. Ἀμήν.

---

## ΕΥΧΗ ΕΤΕΡΑ

### ΤΟΥ ΑΥΤΟΥ.

Προαιώνιε Λόγε, καὶ Υἱὲ μονογενὲς τοῦ Θεοῦ, Θεὲ ἀληθινέ, Δημιουργὲ πάσης κτίσεως αἰσθητῆς τε καὶ νοητῆς· ὁ ταύτην τὴν κτίσιν πανσόφως καθωραΐσας· ὁ τὴν ἐπάνω τῆς γῆς ὑγρὰν καὶ διαλελυμένην τῶν ὑδάτων φύσιν εἰς μίαν συναγωγὴν καὶ συνάθροισιν ἀγαγὼν, καὶ τῷ θείῳ σου Πνεύματι τῷ ἐπάνω τοῦ ὕδατος ἐπιφερομένῳ, τὴν γῆν πᾶσαν κατακο

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σμήσας, καὶ τὸν κόσμον ἅπαντα ἐγκαινίσας· ὁ τὴν Σκηνὴν τȣ͂ μαρτυρίου ἐκείνην τεχνικῶς κατασκευάσας διὰ Μωσέως, καὶ τῷ Πνεύματί σȣ τῷ Ἁγίῳ ἐγκαινίσας αὐτήν· ὁ τῷ σοφῷ Σολομῶντι προστάξας οἰκοδομῆσαι Οἶκον ἅγιον καὶ περιφανῆ τῆς σῆς ἀφράστου καὶ ἀνεκδιηγήτου δόξης, καὶ τοῦτον ἐγκαινίσας τῷ Πνεύματί σου τῷ ἁγίῳ, καὶ τῆς ἐπικαλυψάσης αὐτὸν τότε δόξης καὶ χάριτος τοῦ Ἁγίου σου Πνεύματος πάντας τοὺς τῆς Γερουσίας ἐκείνης τῶν Ἰουδαίων θεατὰς γενέσθαι παρασκευάσας· σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, ἄναρχε Λόγε, καὶ Υἱὲ τοῦ ἀνάρχου Πατρὸς, ἵνα καὶ ἡμῖν ἐν τῇ ὥρᾳ ταύτῃ καταπέμψῃς τὴν χάριν τοῦ παναγίου σου Πνεύματος, καὶ τὸν νῦν ἐγερθέντα Ναὸν, εἰς σὴν δοξολογίαν καὶ ἔπαινον, στηρίξῃς καὶ ἐνδυναμώσῃς, φυλάττων αὐτὸν ἕως τῆς τῶν αἰώνων συντελείας, καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ τοῦτον ἐγκαινίσῃς· ὡς ἂν, ἐν αὐτῷ τὰς ἀναιμάκτους θυσίας προσφέροντές σοι, μέτοχοι γενώμεθα τοῦ Ἁγίου Πνεύματος, ἐγκαινισθέντος ἐν τοῖς ἐγκάτοις ἡμῶν, καὶ τὸ τῆς διανοίας ἡμῶν ἡγεμονικὸν στηρίζοντος, καὶ παρέχοντος μυστικῶς τὰς νοερὰς Θυσίας, διὰ τῆς καθάρσεως τοῦ νοὸς, προσφέρειν σοὶ τῷ Δεσπότῃ Θεῷ, εἰς δόξαν καὶ τιμὴν τοῦ ἀνάρχου καὶ ἀθανάτου Πατρός σου, καὶ σοῦ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, καὶ τοῦ παναγίου, καὶ ἀγαθοῦ, καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΚΑΙ ΤΑΞΙΣ

## ΕΙΣ ΕΓΚΑΙΝΙΑ ΝΑΟΥ

Κατὰ τὴν ἔκδοσιν τὴν ἐν Βουκορεστίῳ τῆς Οὐγγροβλαχίας, τὴν κατὰ τὸ αψγ'. ἔτος.

---

### ΕΡΜΗΝΕΙΑ ΠΑΝΤΩΝ ΤΩΝ ΕΙΔΩΝ ΤΟΥ ΕΓΚΑΙΝΙΑΣΜΟΥ.

Ὀφείλει τοιγαροῦν ὁ ταχθεὶς Ἀρχιερεὺς ἐπὶ τῷ Ἐγκαινιασμῷ νὰ προστάξῃ νὰ προετοιμασθοῦν τὰ διάφορα εἴδη, ὁποῦ εἶναι διατεταγμένα εἰς ἀπαρτισμὸν καὶ συμπλήρωσιν τῆς καθιερώσεως, καὶ τοῦ Ἐγκαινιασμοῦ, τὰ ὁποῖα εἰσὶ ταῦτα·

Κηρίον καθαρὸν, δράμια τετρακόσια.
Μαστίχη
Σμύρνα
Ἀλόη
Θυμίαμα
Ῥετζίνη, καὶ
Λάδανος.
} ἀνὰ δράμια εἴκοσι τὸ καθέν.
Χύτραι καιναὶ, ἤγουν τζουκάλια καινουργία δύο.
Χαρτία ἱκανά.
Σχοινίον λεπτὸν ἱκανόν.
Μάρμαρον τετριμμένον πολλὰ ψιλὸν, λίτρα μία.
Λείψανα ἁγίων Μαρτύρων, καὶ Θήκη μικρὰ ἀργυρᾶ.
Ἅγιον Μύρον.
Σάβανον λινὸν πήχ. δέκα.
Μανδύλια καινὰ δύο.
Νίτρα λευκὰ, ἤγουν μαρμαροσάπουνα τέσσαρα.
Σπόγγος καινὸς, ἤγουν σφογγάρι καινούργιον ἕνα.
Ὑφάσματα λινὰ τετράκοχα τέσσαρα.



Τὰ ὁποῖα τίθενται εἰς τὰς τέσσαρας γωνίας τῆς ἁγίας Τραπέζης, κατὰ τὸν τύπον τῶν Ἱερῶν Εὐαγγελιστῶν, τοὺς τέσσαρας Εὐαγγελιστὰς τετυπωμένους ἔχοντα, ἢ μόνα τὰ ὀνόματα αὐτῶν· ἢ, ἀντὶ τούτων, χαρτία τέσσαρα, ἔχοντα γεγραμμένα τὰ τῶν Εὐαγγελιστῶν ὀνόματα.

Βυκίον Οἰνάνθης, ἢ Ῥοδοστάμου, ἢ οἴνου πλῆρες.

Κατασάρκιον τῆς ἁγίας Τραπέζης, κατὰ τὸ μῆκος αὐτῆς, ἐκ λινοῦ ὑφάσματος, παρηρτημένους ἔχον εἰς τέσσαρας ἄκρας σχοίνους λεπτούς.

Ἀντιμίνσια, ὅσα τῷ Ἀρχιερεῖ δόξει· καὶ Κανδήλα καινή.

---

Πρὸ τοῦ παραγενέσθαι τὸν Ἀρχιερέα ἐν τῷ μέλλοντι ἐγκαινίζεσθαι Ναῷ, προπέμπεται ὁ ἐπὶ τῶν χειροτονιῶν, καὶ θεωρεῖ τὴν ἁγίαν Τράπεζαν, καὶ ὅλα τὰ ἔνδον τοῦ Ναοῦ, εἰ καλῶς ἡτοίμασται.

Τῇ δὲ ἐρχομένῃ ἑσπέρᾳ ἀπέρχεται ὁ Ἀρχιερεὺς μετὰ τοῦ Κλήρου εἰς τὸν νέον Ναὸν, καὶ καταρτίζει ἐπὶ τῆς ἁγίας Τραπέζης τὰ ἅγια Λείψανα εἰς μερίδας τρεῖς· καὶ τεθέντων τούτων ἔνδον τοῦ Δισκαρίου, καὶ ἄνωθεν τοῦ Ἀστερίσκου τεθέντος, καὶ καλυφθέντων μετὰ τοῦ Ἀέρος, ἢ βλατίου Καλύμματος, ποιεῖ ὁ Ἀρχιερεὺς Εὐλογητόν. Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία.

Εἶτα τὰ παρόντα Τροπάρια.

Ἦχος δ'.

Οἱ Μάρτυρές σου Κύριε ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ, ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καὶ ἅγιαι αἱ σκηναὶ, αἱ δεξάμεναι τὰ σώματα ὑμῶν· ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παῤῥησίας ἐκηρύξατε. Αὐτὸν ἱκετεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τοὺς Μάρτυρας Χριστοῦ, ἱκετεύσωμεν πάντες· αὐτοὶ γὰρ τὴν ἡμῶν, σωτηρίαν αἰτοῦνται· καὶ πάντες προσέλθωμεν, πρὸς αὐτοὺς μετὰ πίστεως· οὗτοι βρύουσι, τῶν ἰαμάτων τὴν χάριν· οὗτοι φάλαγγας, ἀποσοβοῦσι δαιμόνων, ὡς φύλακες τῆς Πίστεως.

Καὶ τὸ Τροπάριον τῆς ἡμέρας.

Εἶτα Κοντάκιον, Ἦχος πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι Κύριε, τοὺς θεοφόρους Μάρτυρας. Ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον Πολυέλεε.

Δόξα, Ἦχος πλ. β'.

Μαρτύρων θεῖος χορὸς, τῆς Ἐκκλησίας ἡ βάσις, τοῦ Εὐαγγελίου ἡ τελείωσις, ὑμεῖς ἔργῳ τοῦ Σωτῆρος τὰ ῥητὰ ἐπληρώσατε· ἐν ὑμῖν γὰρ αἱ πύλαι τοῦ ᾅδου, κατὰ τῆς Ἐκκλησίας ἀνεῳχθεῖσαι ἐκλείσθησαν· ἡ τοῦ αἵματος ὑμῶν χύσις, τὰς εἰδωλικὰς σπονδὰς ἐξήρανεν· ἡ σφαγὴ ὑμῶν ἀπέτεκε τῶν πιστῶν τὸ πλήρωμα· τοὺς Ἀσωμάτους ἐξεπλήξατε· τῷ Θεῷ στεφανηφόροι παρίστασθε· πρὸς ὃν ἀπαύστως πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν.** Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Καὶ Ἀπόλυσις.

Καταρτίσας δὲ ὁ Ἀρχιερεὺς τὰ ἅγια Λείψανα, ὡς προείπομεν, εἰσφέρει ταῦτα μετὰ τοῦ Κλήρου ἐν ἑτέρῳ ἐντεθρονισμένῳ Ναῷ, πρὸ τοῦ Ἑσπερινοῦ, καὶ τίθησιν αὐτὰ ἐν τῇ ἁγίᾳ Τραπέζῃ· καὶ ἅπτεται Κηρὸς δι' ὅλης τῆς νυκτός· ψάλλεται δὲ Λυχνικὸν καὶ Παννυχὶς εἰς τὸν Ναὸν, τὸν ἀποδεξάμενον τὰ Λείψανα τῶν Ἁγίων, ὑπὸ τῶν ἐκεῖσε διατελούντων· μετὰ δὲ ταῦτα εἰσέρχονται ἐν τῷ μέλλοντι ἐνθρονισθῆναι Ναῷ, καὶ τελεῖται Ἑσπερινὸς καὶ Ἀγρυπνία.

---

*Χρὴ εἰδέναι, ὅτι ταῦτα τελεῖται, εἰ μὲν ἔστιν ἐντεθρονισμένος Ναός· εἰ δ' οὐκ ἔστι, τηνικαῦτα ἡ ἅπασα Ἀκολουθία γίνεται ἐν τῷ νέῳ Ναῷ.*



## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Μετὰ τὸν Προοιμιακὸν, τὸ α'. Κάθισμα τοῦ, **Μακάριος ἀνήρ**· εἰς δὲ τὸ, **Κύριε ἐκέκραξα,** ἱστῶμεν Στίχ. η'. καὶ ψάλλομεν Στιχ. Ἰδιόμελα τῶν Ἐγκαινίων δ'., καὶ τοῦ ἐπονομαζομένου Ἁγίου δ'.

Στίχ. Ἰδιόμελα τῶν Ἐγκαινίων, Ἦχος πλ. β'.

Ἐγκαίνια τιμᾶσθαι, παλαιὸς νόμος καὶ καλῶς ἔχων· μᾶλλον δὲ τὰ νέα τιμᾶσθαι δι' Ἐγκαινίων· ἐγκαινίζονται γὰρ νῆσοι πρὸς Θεὸν, ὡς φησιν Ἡσαΐας· ἅστινας ὑποληπτέον τὰς ἐξ ἐθνῶν Ἐκκλησίας, ἄρτι καθισταμένας, καὶ πῆξιν λαμβανούσας βάσιμον τῷ Θεῷ. Διὸ καὶ ἡμεῖς, τὰ παρόντα Ἐγκαίνια, πνευματικῶς πανηγυρίσωμεν. Ὁ αὐτός.

Ἐγκαινίζεσθε ἀδελφοί· καὶ τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, ἐν καινότητι ζωῆς πολιτεύεσθε, πᾶσι χαλινὸν ἐπιθέντες, ἐξ ὧν ὁ θάνατος· πάντα τὰ μέλη παιδαγωγήσωμεν, πᾶσαν πονηρὰν τοῦ ξύλου βρῶσιν μισήσαντες, καὶ διὰ τοῦτο μόνον μεμνημένοι τῶν παλαιῶν, ἵνα φύγωμεν. Οὕτως ἐγκαινίζεται ἄνθρωπος· οὕτω τιμᾶται ἡ τῶν Ἐγκαινίων ἡμέρα.

Ὁ αὐτός. Ἀνατολίου.

Ἔθους πύργον ἰσχύος, τὴν Ἐκκλησίαν σου Χριστὲ, προαιώνιε Λόγε· ἐθεμελίωσας γὰρ αὐτὴν, ἐπὶ πέτραν τῆς Πίστεως· διὸ ἀσάλευτος διαμένει εἰς τὸν αἰῶνα, ἔχουσα σὲ τὸν δι' αὐτὴν ἐπ' ἐσχάτων, ἀτρέπτως γενόμενον ἄνθρωπον. Εὐχαριστοῦντες οὖν, ἀνυμνοῦμέν σε λέγοντες· Σὺ εἶ ὁ πρὸ τῶν αἰώνων, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι Βασιλεὺς ἡμῶν· δόξα σοι.

Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Τὴν μνήμην τῶν Ἐγκαινίων ἐπιτελοῦντες Κύριε, σὲ τὸν τοῦ ἁγιασμοῦ δοτῆρα δοξάζομεν· δεόμενοι ἁγιασθῆναι ἡμῶν τὰ αἰσθητήρια τῶν ψυχῶν, τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀθλοφόρων, Ἀγαθὲ παντοδύναμε.

Δόξα, τοῦ Ἁγίου τῆς Μονῆς.

Καὶ νῦν, τῶν Ἐγκαινίων, Ἦχος β'.

Τὸν Ἐγκαινισμὸν τελοῦντες, τοῦ πανιέρου Ναοῦ τῆς σῆς Ἀναστάσεως, σὲ δοξάζομεν Κύριε, τὸν ἁγιάσαντα τοῦτον,

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ τελειώσαντα τῇ αὐτοτελεῖ σου χάριτι· καὶ τερπόμενον ταῖς ἐν αὐτῷ ἱερουργουμέναις ὑπὸ Πιστῶν μυστικαῖς καὶ ἱεραῖς τελεταῖς· καὶ προσδεχόμενον ἐκ χειρὸς τῶν δούλων σου, τὰς ἀναιμάκτους καὶ ἀχράντους θυσίας· ἀντιδιδόντα τε τοῖς ὀρθῶς προσφέρουσι, τὴν τῶν ἁμαρτημάτων κάθαρσιν, καὶ τὸ μέγα ἔλεος.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας. Καὶ τὰ Ἀναγνώσματα.

Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα. Κεφ. η΄. 22.

Ἔστη Σολομὼν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου Κυρίου, ἐνώπιον πάσης Ἐκκλησίας Ἰσραήλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ εἶπε· Κύριε, ὁ Θεὸς Ἰσραήλ, οὐκ ἔστι Θεός, ὡς σύ, ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω. Εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πῶς ὁ Οἶκος οὗτος, ὃν ᾠκοδόμησα ἐν τῷ ὀνόματί σου; Πλὴν καὶ ἐπιβλέψῃ ἐπὶ τὴν δέησίν μου, Κύριε ὁ Θεὸς Ἰσραήλ, ἀκούειν τῆς δεήσεως καὶ τῆς προσευχῆς, ἧς ὁ δοῦλός σου προσεύχεται ἐνώπιόν σου πρὸς σὲ σήμερον, τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους εἰς τὸν Οἶκον τοῦτον ἡμέρας καὶ νυκτός· εἰς τὸν τόπον τοῦτον, ὃν εἶπας, ἔσται τὸ ὄνομά μου ἐκεῖ, τοῦ εἰσακούειν τῆς προσευχῆς, ἧς προσεύχεται ὁ δοῦλός σου εἰς τὸν τόπον τοῦτον ἡμέρας καὶ νυκτός. Καὶ εἰσακούσῃ τῆς δεήσεως τοῦ δούλου σου, καὶ τοῦ λαοῦ σου Ἰσραήλ, ἃ ἂν προσεύξωνται εἰς τὸν τόπον τοῦτον. Καὶ σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου ἐν τῷ οὐρανῷ, καὶ ποιήσεις καὶ ἵλεως ἔσῃ αὐτοῖς.

Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα. Κεφ. μγ΄. 27.

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς· καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς. Καὶ ἔσται κεκλεισμένη· διότι ὁ Ἡγούμενος οὗ-



τος κάθηται ἐν αὐτῇ τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου· κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς πρὸς βορρᾶν, κατέναντι τοῦ οἴκου. Καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ Οἶκος Κυρίου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. γ΄. 19.

Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. Ἐν αἰσθήσει αὐτοῦ ἄβυσσοι ἐρράγησαν, νέφη δὲ ἐρρύη δρόσον. Υἱέ, μὴ παραρρυῇς· τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζῇ σὴ ψυχή, καὶ χάρις ᾖ περὶ σῷ τραχήλῳ. Ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου· ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου· ὁ δὲ πούς σου οὐ μὴ προσκόψῃ· ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις· καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας· ὁ γὰρ Κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ ἀγρευθῇς. Μὴ ἀπόσχου εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. Μὴ εἴπῃς· Ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω σοι, δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Μὴ τέκταινε ἐπὶ σὸν φίλον κακά, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί. Μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, ἵνα μή τι εἰς σὲ ἐργάσηται κακόν. Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζήλου τὰς ὁδοὺς αὐτῶν· ἀκάθαρτος γὰρ ἔναντι Κυρίου πᾶς παράνομος· ἐν δὲ δικαίοις οὐ συνεδρεύει. Κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν· ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Εἶτα ἡ Ἐκτενής, ὡς σύνηθες.

Ἀπόστιχα Ἰδιόμελα, Ἦχος α΄.

Ἐγκαινίζου ἐγκαινίζου ἡ νέα Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. Τοῦτον τὸν Οἶκον ὁ Πατὴρ ᾠκοδόμησε· τοῦτον τὸν Οἶκον ὁ Υἱὸς ἐστερέωσε· τοῦτον τὸν Οἶκον τὸ Πνεῦμα τὸ Ἅγιον ἀνεκαίνισε, τὸ φωτίζον, καὶ στηρίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Στίχ. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.

Πάλαι μὲν ἐγκαινίζων τὸν ναὸν ὁ Σολομών, ἀλόγων ζώων θυσίας, καὶ ὁλοκαυτώματα προσέφερε Κύριε· ὅτε δὲ ηὐδόκησας Σωτήρ, τοὺς τύπους μὲν ἀργῆσαι, γνωσθῆναι δὲ τὴν ἀλήθειαν, ἀναιμάκτους θυσίας, τὰ πέρατα τοῦ κόσμου προσφέρει τῇ δόξῃ σου· πάντων γὰρ δεσπόζων, τὰ πάντα ἁγιάζεις τῷ Ἁγίῳ σου Πνεύματι.

Στίχ. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών. Ἦχος δ'.

Ἐγκαινίζεται σήμερον ἡ ἐξ ἐθνῶν Ἐκκλησία, τῷ τιμίῳ καὶ ζωηρρύτῳ Αἵματι τῆς ἀχράντου καὶ ἀκηράτου πλευρᾶς, τοῦ σαρκωθέντος ἐκ τῆς ἁγίας Παρθένου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· διὸ ἀθροισθεῖσαι τῶν πιστῶν αἱ χορεῖαι, δοξάσωμεν τὸν Πατέρα, καὶ Υἱόν, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν μίαν Θεότητα, τὴν κρατοῦσαν τὰ σύμπαντα.

Δόξα, τοῦ Ἁγίου τῆς Μονῆς.

Καὶ νῦν, τῶν Ἐγκαινίων, Ἦχος γ'.

Πρὸς ἑαυτὸν ἐπανάγου ἄνθρωπε· γενοῦ καινὸς ἀντὶ παλαιοῦ, καὶ ψυχῆς ἑόρταζε τὰ ἐγκαίνια· ἕως καιρός, ὁ βίος ἐγκαινιζέσθω σοι, πάσης πολιτείας ὁδός· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά· τοῦτο τῇ ἑορτῇ καρποφόρησον, τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούμενος. Οὕτως ἐγκαινίζεται ἄνθρωπος· οὕτω τιμᾶται ἡ τῶν Ἐγκαινίων ἡμέρα.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ ἁγίου Σκηνώματος τῆς δόξης σου Κύριε· κραταίωσον αὐτὸν εἰς αἰῶνα αἰῶνος, καὶ πρόσδεξαι ἡμῶν, τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις, πρεσβείαις τῆς Θεοτόκου, ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Δόξα, τοῦ Ἁγίου. Καὶ νῦν, τὸ αὐτό.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῆς Ἀγρυπνίας.



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τό, Θεὸς Κύριος, Τροπάριον τῶν Ἐγκαινίων, καὶ τοῦ Ἁγίου τῆς Μονῆς, καὶ πάλιν τῶν Ἐγκαινίων.

Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα, Ἦχος πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς.

Τοῦ μαρτυρίου τὴν Σκηνὴν Χριστὸς παρέδειξε, καὶ ὁ θεσπέσιος Μωσῆς ἐν γῇ ἐπήξατο, καὶ ναὸν ἐγκαινίζει Σολομὼν θυσίαις· ἡμεῖς δέ, ἐπὶ τὴν νέαν Ἱερουσαλήμ, τῇ πίστει, καταφυγόντες Δαυϊτικῶς, δῶμεν θείαν ἀνύμνησιν, τῷ Σταυρωθέντι δι' ἡμᾶς, αἰτούμενοι συγχώρησιν, πάντων ὧνπερ ἡμάρτομεν. Δίς.

Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα, Ἦχος πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Ὁ σοφίας ἀρρήτου Δημιουργός, κατεσκεύασας θρόνον τοὺς οὐρανούς· τὴν γῆν δ' ὑποπόδιον, τῶν ποδῶν σου ἐκάλεσας· καὶ τὸν Ναόν σου τοῦτον, ὃν εὐδόκησας Κύριε, ἐν τῷ ὀνόματί σου, κτισθῆναι εἰς δόξαν σου, τοῦτον ἠρετίσω, εἰς τὴν σὴν κατοικίαν, ἀκούειν τὰς δεήσεις, τῶν ἐν αὐτῷ εἰσιόντων· ἐν ᾧ πίστει βοῶμέν σοι· Δέσποτα Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν κατάπεμψον, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὴν ἄφραστον δόξαν σου. Δίς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα, Ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Τῷ οἴκῳ σου Κύριε, πρέπει ἁγίασμα· ἐν τούτῳ γὰρ τὸ ὄνομα, τὸ σὸν φιλάνθρωπε, ἐνθέως δοξάζεται· ὅθεν σὺν τῷ Προφήτῃ, ἐκβοῶμέν σοι πίστει· Σοῦ τὸ Ἅγιον Πνεῦμα, νῦν ἐγκαίνισον πᾶσι, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε. Δίς.

Τὸ α'. Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ'. Ἤχου.

Εὐαγγέλιον τοῦ ἐπονομαζομένου Ἁγίου. Ὁ Πεντηκοστός. Δόξα. Ταῖς τοῦ σοῦ Ἁγίου. Καὶ νῦν· Ταῖς τῆς Θεοτόκου. Εἶτα τὸ Ἰδιόμελον τοῦ Ἁγίου. Οἱ Κανόνες τῶν Ἐγκαινίων μετὰ τῶν Εἱρμῶν εἰς ϛ'., καὶ τοῦ ἐπονομαζομένου Ἁγίου, εἰς η'. Εἰ δὲ ἔστι Κυριακή, λέγονται οἱ Ἀναβαθμοὶ τῆς Ὀκτωήχου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ Εὐαγγέλιον Ἑωθινόν. Οἱ Κανόνες, ὁ Ἀναστάσιμος μετὰ τῆς Θεοτόκου εἰς ϛ΄., ὁ τῶν Ἐγκαινίων εἰς δ΄. καὶ Καταβασίαι τῆς ἡμέρας.

Κανὼν τῶν Ἐγκαινίων. Ποίημα Ἰωάννου Μοναχοῦ.

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Ὁ στύλῳ καθοδηγῶν τὸ πρότερον, τὸν ἐκλεκτὸν Ἰσραήλ, διὰ λουτροῦ Βαπτίσματος Χριστέ, ἐν Σιὼν κατεφύτευσας, τὴν Ἐκκλησίαν κράζουσαν· Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Σήμερον τῆς ἀπροσίτου δόξης σου, ἡ ἐπιφοίτησις, τὸν ἐπὶ γῆς παγέντα σοι Ναόν, οὐρανὸν κατεσκεύασεν· ἐν ᾧ συμφώνως ψάλλομεν· Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Οὐ Νόμῳ ἡ Ἐκκλησία Κύριε ἐγκαλλωπίζεται, οὐ δουλικῶν ἐκτάσεσι χειρῶν· τοῦ Σταυροῦ δὲ τῇ χάριτι, ἐγκαυχωμένη ψάλλει σοι· Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Θεοτοκίον.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ Θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Ἡγίασας ἐπὶ γῆς, τὴν Ἐκκλησίαν σου Χριστὲ Πνεύματι, χρίσας αὐτὴν σήμερον, σῆς ἀγαλλιάσεως ἔλαιον.

Θεμέλιόν σε Χριστέ, ἡ Ἐκκλησία ἀῤῥαγὲς ἔχουσα, τῷ σῷ Σταυρῷ στέφεται, ὡς βασιλικῷ διαδήματι.

Ἀνέδειξας Ἀγαθέ, τὴν χειροποίητον σκηνὴν σήμερον, τῆς ὑπὲρ νοῦν δόξης σου, οἰκονομικῶς οἰκητήριον.

Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας· ὅθεν σοι τὸ Χαῖρε προσάγομεν.

Κάθισμα, Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὰ πάντα ἐφώτισε, τῇ παρουσίᾳ Χριστός, τὸν κόσμον ἀνεκαίνισε, Πνεύματι Θείῳ αὐτοῦ· ψυχαὶ ἐγκαινίζονται· Οἶκος γὰρ ἀνετέθη, νῦν εἰς δόξαν Κυρίου, ἔνθα καὶ ἐγκαινίζει τῶν πιστῶν τὰς καρδίας, Χριστὸς ὁ Θεὸς ἡμῶν, εἰς σωτηρίαν βροτῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Δόξα, Κάθισμα τοῦ Ἁγίου.

Καὶ νῦν, Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἐν πίστει τὰ Ἐγκαίνια, ἐπιτελοῦμεν φαιδρῶς, τοῦ Οἴκου σου Ἄχραντε, εὐλογημένη ἁγνή, Παρθένε πανύμνητε· χαίροντες τῇ ἐλπίδι, τῇ εἰς σὲ Θεοτόκε, αἰτοῦμέν σε τοῦ πρεσβεύειν, τῷ Σωτῆρι ἀπαύστως, αὐτῷ τῷ σαρκωθέντι ἐκ σοῦ, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Οὐκ ἐν θύμασιν ἀλόγων ἡ Ἐκκλησία, ἀλλὰ τῷ σῷ τιμίῳ ἐκ πλευρᾶς ζωηφόρου, Αἵματι ῥαντίζεται, εἰκότως κραυγάζουσα· Δόξα τῇ δυνάμει σου Κύριε.

Τὰ σκηνώματα Κυρίου ἠγαπημένα, τοῖς κατιδεῖν ποθοῦσιν ἀνακεκαλυμμένως, τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, συμφώνως κραυγάζουσι· Δόξα τῇ δυνάμει σου Κύριε.

Εἰκονίζουσα τὴν χρίσιν ἡ Ἐκκλησία, τοῦ ἐκλεκτοῦ Λαοῦ σου τὸ πολύτιμον Μύρον, σήμερον ἀλείφεται, τὴν θείαν τοῦ Πνεύματος, χάριν ἀοράτως λαμβάνουσα.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ Χαῖρε Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Σὺ πάλαι ἐν Σινᾷ, σκηνὴν ἀχειροποίητον, ὑπέδειξας τῷ θεόπτῃ, Μωϋσῇ διαγράφων, Χριστὲ τὴν Ἐκκλησίαν σου.

Σὺ Κύριε σκηνήν, ἐπὶ γῆς κατεσκεύασας· σὺ τάξεσιν οὐρανίαις, τῶν βροτῶν τὰς χορείας, συνάπτεις τῇ δυνάμει σου.

Σὲ Κύριε πηγὴν τῆς ζωῆς ἐπιστάμεθα· σὺ Ἅγιε τὴν εἰρήνην, ἐλθὼν εὐηγγελίσω, Χριστὲ τῇ Ἐκκλησίᾳ σου.

Θεοτοκίον.

Σὲ ὅπλον ἀρραγές, κατ' ἐχθρῶν προβαλλόμεθα· σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ς'. Θύσω σοι, μετὰ φωνῆς.

Τοῦ κάλλους, ὁ Βασιλεὺς Χριστὸς ἐπεθύμησε, νῦν τῆς σεπτῆς Ἐκκλησίας, καὶ ἐθνῶν μητέρα ἀπέδειξεν, ἐκ δουλείας, υἱοθετουμένων διὰ τοῦ Πνεύματος.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Φρίττουσι, τῶν δυσμενῶν δαιμόνων αἱ φάλαγγες, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, τοῦ Σταυροῦ τῷ τύπῳ σημειουμένην, καὶ σκιάζει, ἁγιαστικὴ τοῦ Πνεύματος ἔλλαμψις.

Οὐ ψάμμον, ἀλλὰ Χριστὸν θεμέλιον ἔχουσα, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, στεφανοῦται κάλλει τῷ ἀπροσίτῳ, καὶ διαδήματι, τῆς βασιλείας ἐγκαλλωπίζεται.

Θεοτοκίον.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον· ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Οὐρανὸς πολύφωτος, ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας, φωταγωγοῦσα τοὺς πιστούς· ἐν ᾧ ἑστῶτες κραυγάζομεν· Τοῦτον τὸν Οἶκον στερέωσον Κύριε.

Ὁ Οἶκος.

Ἐπιδημήσαντος ἡμῖν, τοῦ Λόγου κατὰ σάρκα, ὁ τῆς βροντῆς μὲν Γόνος φησὶ καθυπογράφων· Ἐθεασάμεθα φαιδρῶς τὴν δόξαν, ἣν εἶχεν ὁ Υἱὸς παρὰ Πατρὸς ἐν ἀληθείας χάριτι· ὅσοι δὲ πίστει τοῦτον ἐλάβομεν, ἔδωκε τοῖς πᾶσιν ἐξουσίαν τοῦ γενέσθαι τέκνα Θεοῦ· οἱ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς ἀναγεννηθέντες, ἀλλ' ἐκ Πνεύματος Ἁγίου ἐπαυξηθέντες, Οἶκον προσευχῆς ἐπήξαμεν, καὶ βοῶμεν· Τοῦτον τὸν Οἶκον στερέωσον Κύριε.

Εἶτα τὸ Συναξάριον τοῦ Μηναίου.

Ὠδὴ ζ'.

Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι.

Δροσοβόλος μέν, ἡ καμιναία φλὸξ ἐδείχθη ποτέ· νῦν δὲ ἐξ ἐλαίου χρίσμα πνευματικόν, ἁγιάζει τοὺς κραυγάζοντας· Εὐλογημένος εἶ, ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Ὡς ἐν καμίνῳ, τῇ θεοδόχῳ ταύτῃ νέᾳ σκηνῇ, πάντες οἱ ἐξ Ἰσραὴλ τοῦ πνευματικοῦ, δροσιζόμενοι βοήσωμεν· Εὐλογημένος εἶ, ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Οἱ τετρωμένοι, τῷ γλυκυτάτῳ θείῳ ἔρωτι, δεῦτε ἐν παστάδι ταύτῃ βασιλικῇ, συναφθῶμεν τῷ νυμφίῳ Χριστῷ· Εὐλογημένος εἶ, ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξὶ, πανάμωμε Δέσποινα.

Ὠδὴ ή. Χεῖρας ἐκπετάσας Δανιήλ.

Σήμερον χιτῶνα νοητὸν, τὸν ἄνωθεν ὑφαντὸν ἐκ θείας χάριτος, ἡ Ἐκκλησία σου Κύριε, ὥσπερ νύμφη ἐστολίσατο, καὶ τοὺς οἰκείους συγκαλεῖ, πρὸς εὐφροσύνην λαοὺς, ἐκβοῶντας· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Σήμερον ὁ δεύτερος Ἀδὰμ, Χριςὸς ἀνέδειξε παράδεισον νοητὸν, τὴν νέαν ταύτην Σκηνὴν, φέρουσαν κατὰ ξύλου τοῦ τῆς γνώσεως, τὸ ζωηφόρον τοῦ Σταυροῦ, ὅπλον τοῖς ψάλλουσιν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα.

Πατρὸς ἐξ ἀνάρχου σε Υἱὸν, καὶ Πνεῦμα Ἅγιον, μίαν Θεότητα, τελείαν ἄναρχον ἄτμητον, ὁμοούσιον ἀσύγχυτον, ἐν ὑποστάσεσι τρισὶ, σέβοντες ψάλλομεν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ· σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρὶ, τοῦ ἀπροσίτου Φωτός. Ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος ὄρους.

Δεῦτε καθαρᾷ τῇ καρδίᾳ, καὶ νηφαλέοις ὄμμασι νοὸς, τῆς τοῦ Βασιλέως Θυγατρὸς, τῆς Ἐκκλησίας τὴν ὡραιότητα, ὑπὲρ χρυσίον λάμπουσαν, κατανοοῦντες μεγαλύνωμεν.

Χαῖρε καὶ εὐφραίνου ἡ Νύμφη, τοῦ Βασιλέως τοῦ μεγάλου, κατοπτριζομένη τηλαυγῶς, τοῦ σοῦ Νυμφίου τὴν ὡραιότητα, σὴν τῷ Λαῷ σου κράζουσα· Σὲ Ζωοδότα μεγαλύνομεν.

Τὴν ἐξ ὕψους ἄμυναν Σῶτερ, τῇ Ἐκκλησίᾳ σου παράσχου· ἄλλον γὰρ οὐκ οἶδεν, εἰ μὴ σὲ, τὸν ὑπὲρ ταύτης τὴν σὴν, φιλάνθρωπε πάλαι ψυχὴν προθέμενον, ἐν ἐπιγνώσει μεγαλύνουσα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Θεοτοκίον.

Χαῖρε κεχαριτωμένη ἡ Νύμφη, τοῦ Βασιλέως τοῦ μεγάλου· ὅτι διὰ σοῦ τῆς κατάρας, τῆς Εὔας πάντες Ἁγνὴ ἐῤῥύσθημεν, καὶ τὴν ζωὴν εὑράμεθα, ἐν τῇ κυήσει σου ἀνύμφευτε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸ Πνεῦμά σου τὸ Ἅγιον, ἐγκαίνισον Φιλάνθρωπε, ἐν ταῖς καρδίαις τῶν πίστει, τὰ ἱερὰ Ἐγκαίνια, τοῦ Οἴκου σου τοῦ πανσέπτου, ἐπιτελούντων Κύριε· ἐν ᾧ τὰς προσευχὰς ἡμῶν, τῶν προσκυνούντων σε Σῶτερ, ὥσπερ θυσίαν προσδέχου.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχ. δ΄. καὶ ψάλλομεν

Στιχ. προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Σήμερον ὁ ἔνθεος, καὶ ἱερὸς καὶ σεβάσμιος, τῆς Χριστοῦ Ἀναστάσεως, φαιδρῶς ἐγκαινίζεται, φωτοφόρος Οἶκος, καὶ νέμει ἐν κόσμῳ, τάφος ὁ θεῖος τὴν ζωήν, καὶ ἐμπαρέχει πηγὴν ἀθάνατον, βλυστάνει ῥεῖθρα χάριτος, θαυμάτων βρύει τὰ νάματα, καὶ δωρεῖται ἰάματα, τοῖς αὐτὸν πίστει μέλπουσιν. Δίς.

Ἤστραψεν ἡ ἄνωθεν, φωτοφανὴς αἴγλη λάμπουσα, καὶ τὰ πάντα φωτίζουσα. Πιστῶς οὖν τιμήσωμεν, τὴν Χριστοῦ τοῦ Κτίστου, Ἀνάστασιν πάντες, καὶ Ἐγκαινίων ἱερῶν, τὴν ζωηφόρον θείαν πανήγυριν, ἐν ὕμνοις ἑορτάσωμεν, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν, ὅπως ἵλεων εὕρωμεν, τὸν Σωτῆρα καὶ Κύριον.

Μέσον γῆς ὑψούμενον, προκατιδεῖν ἐφιέμενοι, τοῦ Σταυροῦ σκῆπτρον ἅγιον, ψυχὰς προκαθάρωμεν, ἀστραφθῶμεν φρένας, φωτὶ λαμπρυνθῶμεν, καὶ ἐν δυνάμει θεϊκῇ, καταυγασθέντες Χριστὸν ὑμνήσωμεν, τῷ Ξύλῳ τῷ σεπτῷ αὐτοῦ, ἁγιασμὸν παρεχόμενον, τοῖς ἐν πίστει κραυγάζουσι, καὶ θερμῶς αὐτὸν μέλπουσι.

Δόξα, τοῦ ἐπονομαζομένου Ἁγίου.

Καὶ νῦν, τῶν Ἐγκαινίων. Ἦχος πλ. α΄.

Ὁ ἐπὶ τῶν κόλπων τῶν Πατρικῶν, ἐπαναπαυόμενος Λόγε, τὸ Πνεῦμά σου τὸ Ἅγιον, ἐγκαίνισον ἐν τῷ Ναῷ, τῷ εἰς τὸ ὄνομά σου ἀνεγηγερμένῳ.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἰστέον ἔτι, μετὰ τὴν συμπλήρωσιν τοῦ Ὄρθρου, μικρὸν ἡσυχάσαντες, συναθροίζονται πάλιν ὁ Ἀρχιερεὺς μετὰ τοῦ Κλήρου καὶ τοῦ Διακόνου, καὶ εἰσέρχονται ἐν τῷ νέῳ Ναῷ· κἀκεῖ ἐπιτάττει ὁ Ἀρχιερεὺς, καὶ φέρουσι πάντα τὰ προετοιμασθέντα εἴδη τοῦ Ἐγκαινισμοῦ.

Καὶ τότε δὴ, τό,τε Κηρίον, καὶ τὰ τῆς κηρομαστίχης εἴδη ταῦτα, Μαστίχην, Σμύρναν, Ἀλόην, Θυμίαμα, Ῥετζίνην, καὶ Λάδανον, ἀνὰ εἴκοσι δραχμὰς ἕκαστον, τῇ χύτρᾳ ἐγχέαντες, ἐνδιδόασιν αὐτὴν τῷ πυρί. Καὶ μετὰ τὸ διαλυθῆναι αὐτὰ, πλησίον αὖθις τὴν χύτραν κατέχουσι τοῦ πυρὸς, τοῦ μὴ ἀποψυχρανθῆναι ὅλως τὰ ἐν αὐτῇ, διὰ τὴν ῥηθησομένην χρείαν· ὡσαύτως καὶ τὴν ἑτέραν χύτραν πληρώσαντες ὕδατος, παρατιθέασι τῷ πυρὶ, τοῦ γενέσθαι θερμὸν εἰς ἔκπλυσιν τῆς θείας Τραπέζης.

Εἶτα δὲ τὴν ἁγίαν καταβιβάσαντες Τράπεζαν, περιδεσμοῦσι τὰ χαρτία εἰς τὸ χεῖλος τοῦ Κίονος, ὥστε ἐξέχειν αὐτὰ ἐπάνω τοῦ χείλους δάκτυλον ἕνα.

Ἔπειτα εἰσφέροντες τὸ τετριμμένον μάρμαρον, ἀναγεμίζουσιν ἔσωθεν τὸν γῦρον τῶν χαρτίων, ἵνα μὴ ῥεύσῃ ἡ Κηρομαστίχη.

Τὸ δὲ Σάβανον τοῦ Ἀρχιερέως, καὶ τὸ Κατασάρκιον τῆς Τραπέζης, καὶ τὰ τέσσαρα Ὑφάσματα, καὶ τὰ Ἀντιμίνσια, τό,τε ἅγιον Μύρον, καὶ ἡ θήκη τῶν ἁγίων Λειψάνων, ἔν τινι ταῦτα πάντα τοῦ Βήματος ἀποτίθενται τόπῳ· καὶ ἕκαστον, ἐν καιρῷ τῷ ἀνήκοντι λαμβανόμενον, τίθεται ὅπου ἂν ᾖ χρεία.

Εἶτα λαμβάνει καιρὸν ὁ Ἱερεὺς, καὶ ποιεῖ Προσκομιδήν. Ὁ δὲ Ἀρχιερεὺς ἀπέρχεται εἰς τὸν Ναὸν, ἐν ᾧ τὰ ἅγια ἐτέθησαν Λείψανα· κἀκεῖ τοίνυν, τὴν ἅπασαν Ἀρχιερατικὴν ϛολὴν ἀμπεχόμενος, ποιεῖ Εὐλογητόν. Καὶ εὐθὺς ἄρχονται τοῦ Ψαλμοῦ· Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου· Εἶτα γίνεται μικρὰ Συναπτὴ, καὶ λέγει ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ δὲ Ἀρχιερεὺς ἐκφωνεῖ·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἀρχιερεὺς τὴν Εὐχήν·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν τοῖς λόγοις σου, καὶ ἀψευδὴς ἐν ταῖς ἐπαγγελίαις σου· ὁ χαρισάμενος τοῖς ἁγίοις σου Μάρτυσι τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, καὶ τὸν δρόμον τῆς εὐσεβείας τελέσαι, καὶ τὴν πίστιν τῆς ἀληθοῦς ὁμολογίας φυλάξαι· αὐτὸς, Δέσποτα πανάγιε, ταῖς αὐτῶν ἱκεσίαις παρακλήθητι, καὶ χάρισαι ἡμῖν τοῖς ἀναξίοις δούλοις σου μέρος καὶ κλῆρον ἔχειν μετ' αὐτῶν· ἵνα, μιμηταὶ αὐτῶν γενόμενοι, καταξιωθῶμεν τῶν ἀποκειμένων αὐτοῖς ἀγαθῶν. Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ.

Καὶ ὁ Ἀρχιερεὺς τὴν Εὐχὴν ταύτην μυστικῶς·

Κύριε, ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς ἁγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου, τὰ ἔργα τῶν χειρῶν ἡμῶν τῶν ἀναξίων δούλων σου κατεύθυνον, καὶ ἐν πᾶσιν εὐαρεστεῖν ἡμᾶς τῇ σῇ ἀγαθότητι καταξίωσον.

Ἐκφώνησις·

Εἴη τὸ κράτος τῆς Βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὴν Ἐκφώνησιν, ἐπιτάττει ὁ Ἀρχιερεὺς, ἵνα θεία γένηται Λειτουργία καὶ ἐν τῷ Ναῷ ἐκείνῳ, ἐν ᾧ τὰ ἱερὰ ἐτέθησαν Λείψανα. Εἶτα αἴρει αὐτὰ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ μετὰ τοῦ ἁγίου Δίσκου· καὶ προπορευομένων τῶν Ἱερέων καὶ Κληρικῶν μετὰ τῶν ἁγίων Εὐαγγελίων σὺν τῷ Λαῷ μετὰ λαμπάδων φαεινῶν, παραγίνονται μετὰ λιτῆς ἐν τῷ μέλλοντι ἐγκαινίζεσθαι Ναῷ, ψάλλοντες τὰ παρόντα Τροπάρια·



Ἦχος βαρύς.

Ἅγιοι Μάρτυρες, οἱ καλῶς ἀθλήσαντες καὶ στεφανωθέντες, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα σοι Χριστὲ ὁ Θεὸς, Ἀποστόλων καύχημα, Μαρτύρων ἀγαλλίαμα, ὧν τὸ κήρυγμα, Τριὰς ἡ ὁμοούσιος.

Καὶ φθάσαντες, ἔρχονται γύρωθεν τοῦ Ναοῦ, ψάλλοντες τὰ Ἰδιόμελα, Ἦχος α'.

Ἐγκαινίζου ἐγκαινίζου ἡ νέα Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. Τοῦτον τὸν Οἶκον ὁ Πατὴρ ᾠκοδόμησε· τοῦτον τὸν Οἶκον ὁ Υἱὸς ἐστερέωσε· τοῦτον τὸν Οἶκον τὸ Πνεῦμα τὸ Ἅγιον ἀνεκαίνισε, τὸ φωτίζον, καὶ στηρίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Πάλαι μὲν ἐγκαινίζων τὸν ναὸν ὁ Σολομὼν, ἀλόγων ζώων θυσίας, καὶ ὁλοκαυτώματα προσέφερε Κύριε· ὅτε δὲ ηὐδόκησας Σωτὴρ, τοὺς τύπους μὲν ἀργῆσαι, γνωσθῆναι δὲ τὴν ἀλήθειαν, ἀναιμάκτους θυσίας, τὰ πέρατα τὰ κόσμου προσφέρει τῇ δόξῃ σου· πάντων γὰρ δεσπόζων, τὰ πάντα ἁγιάζεις, τῷ Ἁγίῳ σου Πνεύματι.

Ἦχος πλ. β'.

Ἐγκαίνια τιμᾶσθαι, παλαιὸς νόμος καὶ καλῶς ἔχων· μᾶλλον δὲ τὰ νέα τιμᾶσθαι δι' Ἐγκαινίων· ἐγκαινίζονται γὰρ νῆσοι πρὸς Θεὸν, ὥς φησιν Ἡσαΐας· ἃς τινας ὑποληπτέον τὰς ἐξ ἐθνῶν Ἐκκλησίας, ἄρτι καθισταμένας, καὶ πῆξιν λαμβανούσας βάσιμον τῷ Θεῷ· διὸ καὶ ἡμεῖς, τὰ παρόντα Ἐγκαίνια, πνευματικῶς πανηγυρίσωμεν.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α'.

Ὁ ἐπὶ τῶν κόλπων τῶν Πατρικῶν.

Ὅρα ὄπισθεν, σελ. 296.

Ὅταν πάλιν φθάσωσιν ἔμπροσθεν τῶν πυλῶν τοῦ Ναοῦ, τίθενται τὰ ἱερὰ Λείψανα ἐπὶ τετραπόδου.

Καὶ εὐθὺς τὸ Προκείμενον τοῦ Ἀποστόλου.

Κύριος φωτισμός μου καὶ σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. β'. 11.

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διαπαντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ Λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Καὶ ψάλλομεν τὸ, Ἀλληλούϊα.

**Στίχ.** Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα.

Εἶτα ὁ Ἀρχιερεὺς τὸ Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγέλιου.

Κεφ. ιϛ'. 13.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς Μαθητὰς αὐτοῦ, λέγων· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι· τὸν Υἱὸν τοῦ ἀνθρώπου; Οἱ δὲ εἶπον· Οἱ μὲν, Ἰωάννην τὸν Βαπτιστήν· ἄλλοι δὲ, Ἡλίαν· ἕτεροι δὲ, Ἱερεμίαν, ἢ ἕνα τῶν Προφητῶν. Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος, εἶπε· Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ πύλαι Ἅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ δώσω σοι τὰς κλεῖς τῆς Βασιλείας τῶν οὐρα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

νῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.

Καὶ πάλιν ἔρχονται γύρωθεν τοῦ Ναοῦ μετὰ τῶν ἁγίων Λειψάνων, ψάλλοντες τὴν γ΄. Ὠδὴν τοῦ Κανόνος· καὶ ὅταν φθάσωσιν ἔμπροσθεν τῶν πυλῶν τοῦ Ναοῦ, λέγουσι τὸ

Προκείμενον τοῦ Ἀποστόλου.

Ἀπενεχθήσονται τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς.

Στίχ. Αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.

Πρὸς Ἑβραίους Ἐπιστολῆς. Κεφ. θ΄. 1.

Ἀδελφοί, εἶχε μὲν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό,τε ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνή, ἡ λεγομένη Ἅγια Ἁγίων· χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν Κιβωτὸν τῆς Διαθήκης, περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς Διαθήκης. Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ Ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες· εἰς δὲ τὴν δευτέραν, ἅπαξ τοῦ ἐνιαυτοῦ, μόνος ὁ Ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ Λαοῦ ἀγνοημάτων.

Ἀλληλούϊα, Ἦχος γ΄.

Στίχ. Ἄκουσον, θύγατερ, καὶ ἴδε.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. ι΄. 38.

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά· γυνὴ δέ τις, ὀνόματι Μάρθα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ. Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δέ, εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ται. Ἀποκριθεὶς δὲ, εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δέ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ, οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε· Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

Καὶ πάλιν πορεύονται γύρωθεν τοῦ Ναοῦ, ψάλλοντες τὴν ϛ'. Ὠδὴν τοῦ Κανόνος. Ἐρχόμενοι δὲ πρὸ τῶν πυλῶν τοῦ Ναοῦ, ἐκφωνεῖ ὁ Ἀρχιερεύς·

**Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.** Ἀμήν.

Εἶτα ψάλλουσι τὸ παρὸν Τροπάριον, Ἦχος γ'.

Ὁ ἐν τῇ πέτρᾳ τῆς πίστεως οἰκοδομήσας, τὴν Ἐκκλησίαν σου Χριστὲ ὁ Θεὸς, ἐν αὐτῇ κατεύθυνον τὰς ἱκεσίας ἡμῶν, καὶ πρόσδεξαι λαὸν, ἐν πίστει βοῶντά σοι· Σῶσον ἡμᾶς ὁ Θεὸς ἡμῶν.

Ἐν δὲ τῷ ψάλλεσθαι τὸ εἰρημένον Τροπάριον, ἀποτίθεται ὁ Ἀρχιερεὺς τὰ ἅγια Λείψανα ἐν τῷ ἑτοιμασθέντι τετραποδίῳ, ἔμπροσθεν τῶν πυλῶν τοῦ Ναοῦ· καὶ οὕτως ἐπεύχεται τὴν Εὐχὴν ταύτην·

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ Ἀρχιερεύς·

Ὁ Θεὸς, καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας· ὁ διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ ἐγκαινίσας ἡμῖν τῆς τῶν προπατόρων Ἐκκλησίας, τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων, τὴν εἴσοδον, ἔνθα ἦχος ἑορταζόντων καὶ φωνὴ ἀγαλλιάσεως· αὐτὸς, φιλάνθρωπε Δέσποτα, ἐπίβλεψον ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, τοὺς τὸν Ἐγκαινισμὸν ἐπιτελοῦντας τοῦ σεβασμίου Ναοῦ (τοῦ δεῖνος), εἰς σύμβολον τῆς ἁγιωτάτης σου Ἐκκλησίας, τουτέστιν, αὐτοῦ τοῦ σκήνους ἡμῶν, ὅπερ καὶ Ναόν σου καὶ μέλη Χριστοῦ σου, διὰ τοῦ πανευφήμου Ἀποστόλου Παύλου, ὀνομάσαι κατηξίωσας· καὶ τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀσάλευτον καὶ δεδο-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ξασμένον ἐν σοί· καὶ ἀξίωσον ἡμᾶς ἐν αὐτῷ αἰνέσεις καὶ δοξολογίας ἀκαταγνώστους προσάγειν τῇ δόξῃ σου, καὶ τῷ μονογενεῖ σου Υἱῷ, τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριςῷ, καὶ τῷ Ἁγίῳ σȣ Πνεύματι, ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει· καὶ προσκυνοῦντάς σε ἐν φόβῳ σου τῶν θείων δειχθῆναι ἀξίους οἰκτιρμῶν, εὐπροσδέκτους τε τῇ σῇ ἀγαθότητι γενέσθαι τὰς δεήσεις ταύτας, ἃς ὑπὲρ ἡμῶν καὶ παντὸς τοῦ Λαοῦ σου τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ προσάγομεν· πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Ὅτι Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν Ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐθὺς ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ Ἀρχιερεὺς λέγει τὴν Εὐχὴν τῆς Εἰσόδου μυστικῶς.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης· ποίησον, σὺν τῇ Εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Ἀρχιερεὺς καὶ οἱ Ψάλται μετὰ τῶν Κληρικῶν, τῶν πυλῶν κεκλεισμένων, ψάλλουσι τὸ παρόν·

Ἦχος πλ. β'.

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Ἑτέρων δὲ ἀντιφωνούντων ἔσωθεν τοῦ Ναοῦ·

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Ἡμεῖς πάλιν ἔξωθεν ἀντιφωνοῦμεν·

Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ, Κύριος τῶν δυνάμεων, αὐτός ἐςιν ὁ Βασιλεὺς τῆς δόξης.

Ταῦτα δὲ ψάλλονται ἐκ γ'. Καὶ εὐθὺς ὁ Ἀρχιερεὺς αἴρει τὰ ἅγια Λείψανα μετὰ τοῦ Δίσκȣ, καὶ τίθησιν ἐπὶ τῆς κεφαλῆς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

αὐτοῦ, καὶ σφραγίζει τρὶς τὰς πύλας μετ' αὐτῶν τῶν Λειψάνων· καὶ τῶν πυλῶν ἀνοιγομένων, καὶ πάντων εἰσερχομένων, ψάλλεται τὸ παρὸν Τροπάριον Ἦχος δ'.

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ ἁγίου Σκηνώματος τῆς δόξης σου Κύριε, κραταίωσον αὐτὸν εἰς αἰῶνα αἰῶνος· καὶ πρόσδεξαι ἡμῶν τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις, διὰ τῆς Θεοτόκου, ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Καὶ εἰσερχομένων τοῦ τε Ἀρχιερέως καὶ τῶν Ἱερέων ἐν τῷ ἁγίῳ Βήματι, ἀποτίθενται τὰ ἅγια Λείψανα εἰς τὴν ἡτοιμασμένην αὐτοῖς θήκην· καὶ τούτοις ἐπιχέεται ἅγιον Μύρον, καὶ ἀσφαλίζουσι ταῦτα μετὰ πάσης ἀσφαλείας καὶ προσοχῆς μεγάλης, καὶ λέγουσιν ἐκ γ'. τό,

Αἰωνία ἡ μνήμη τῶν Κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης (ἢ τοῦ ἁγίου Οἴκου τούτου).

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἀρχιερεὺς τὴν Εὐχήν·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν τοῖς ὑπὲρ σοῦ ἀθλήσασιν ἁγίοις Μάρτυσι δωρησάμενος, τὸ σπείρεσθαι ἐν πάσῃ τῇ γῇ τὰ Λείψανα αὐτῶν ἐν τοῖς ἁγίοις Οἴκοις σου καὶ καρποὺς ἰαμάτων βλαστάνειν· αὐτός, Δέσποτα, ὁ πάντων τῶν ἀγαθῶν χορηγὸς ὑπάρχων, πρεσβείαις τῶν Ἁγίων, ὧν εὐδόκησας τὴν ἀπόθεσιν τῶν Λειψάνων ἐν τῷ σεπτῷ Οἴκῳ σου γενέσθαι, ἀξίωσον ἡμᾶς ἀκατακρίτως τὴν ἀναίμακτόν σοι προσενεγκεῖν ἐν αὐτῷ θυσίαν· καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, ἀντάμειψιν παρέχων καὶ ἐν τούτῳ τοῖς ἀθλήσασιν ὑπὲρ τοῦ ἁγίου ὀνόματός σου, τὸ θαυματουργεῖν δι' αὐτῶν πρὸς ἡμετέραν σωτηρίαν. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἀρχιερεὺς τὴν Εὐχήν·

Κύριε, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ πάντα ποιῶν καὶ πραγματευόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, πρόσ-



δεξαι ἡμῶν τῶν ἀναξίων δούλων σου τὰς δεήσεις, καὶ ἱκάνωσον ἡμᾶς ἐπὶ τῆς παρούσης ὥρας εἰς τὸ ἀκατακρίτως τὸν Ἐγκαινισμὸν ἐπιτελέσαι τοῦ Ναοῦ τούτου, τοῦ πρὸς σωτηρίαν ἡμῶν, καὶ τὴν σὴν δοξολογίαν, οἰκοδομηθέντος ἐπ' ὀνόματι τοῦ Ἁγίου (δεῖνος), καὶ τὴν ἔφοδον τῆς ἐν αὐτῷ ποιῆσαι Τραπέζης. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τό, Ἀμήν, εἰσφέρουσι καὶ ἐκχέουσι τὴν Κηρομαστίχην ἐν μέσῳ τοῦ φυτοῦ, καὶ συνεφαρμόζουσι τὰ χαρτία, καὶ ἐπιλαμβάνονται τῆς Τραπέζης, καὶ τιθέασι ταύτην ἐπὶ τοῦ Κίονος.

Εἶτα ψάλλουσι τὸν ρμδ'. Ψαλμόν, (ἐκ γ'.)

Ὑψώσω σε, ὁ Θεός μου, ὁ Βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι. Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος. Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι. Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάν-



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Χίου

τας τοὺς κατεῤῥαγμένους. Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτȣ. Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ ξεομένης τῆς ἀποῤῥευσάσης Κηρομαστίχης, καθαιρομένου τε τοῦ τόπου, ἐφ' οὗ ἔῤῥευσε, λέγουσι τὸν κβ'. Ψαλμόν.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν. Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν. Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ. Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. Ἡτοίμασας ἐνώπιόν μȣ τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με. Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου· καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον. Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, εἰς μακρότητα ἡμερῶν.

Εἶτα ἐκφωνεῖ ὁ Ἀρχιερεὺς, λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ εὐθὺς φέρουσι τὸ σάβανον, καὶ περιτιθέασιν αὐτὸ ἐπὶ τὸν Ἀρχιερέα ἐπάνω τῶν ἀρχιερατικῶν Ἀμφίων, ἔμπροσθεν μὲν ἀπὸ τȣ στήθȣς ἕως ποδῶν, ὄπισθεν δὲ ἀπὸ τῶν μασχάλων πρὸς τὴν ῥάχιν, δι' ἀμφοτέρων τῶν ἄκρων φερόμενον, καὶ δεσμούμενον μετὰ ζώνης, τοῦ μὴ φαίνεσθαι τὰ ἱερατικὰ Ἄμφια· ἐν δὲ τοῖς βραχίοσι περιτυλίσσονται τὰ δύω καινὰ μανδήλια, δεσμούμενα καὶ αὐτὰ μετὰ ζώνης· καὶ οὕτω στολισα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μένου τοῦ Ἀρχιερέως, τίθεται πεύκιον καὶ προσκεφάλαιον ἔμπροσθεν τῶν ἁγίων Θυρῶν.

Καὶ τοῦ Διακόνου εἰπόντος·

Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἀρχιερεὺς, γόνυ κλίνας, εὔχεται·

Ὁ Θεὸς, ὁ ἄναρχος καὶ ἀΐδιος, ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών· ὁ φῶς οἰκῶν ἀπρόσιτον, καὶ θρόνον ἔχων τὸν οὐρανὸν, τὴν δὲ γῆν ὑποπόδιον· ὁ τῷ Μωϋσῇ πρόσταγμα δοὺς καὶ ὑπογραμμὸν, τῷ δὲ Βεσελεὴλ πνεῦμα σοφίας ἐνθεὶς, καὶ ἱκανώσας αὐτοὺς πρὸς ἀπαρτισμὸν τῆς τοῦ μαρτυρίου Σκηνῆς, ἐν ᾗ λατρείας δικαιώματα ἦν, τῆς ἀληθείας εἰκόνες καὶ προχαράγματα· ὁ τῷ Σολομῶντι πλάτος καὶ χῦμα καρδίας δωρησάμενος, καὶ δι' αὐτȣ̃ τὸν πάλαι Ναὸν ἀναστήσας· τοῖς ἁγίοις δὲ καὶ πανευφήμοις σου Ἀποστόλοις τὴν ἐν Πνεύματι λατρείαν, καὶ τῆς Σκηνῆς τῆς ἀληθινῆς ἐγκαινίσας τὴν χάριν, καὶ δι' αὐτῶν τὰς ἁγίας σου Ἐκκλησίας καὶ τὰ Θυσιαςήριά σου, Κύριε τῶν Δυνάμεων, ἐν πάσῃ τῇ γῇ καταφυτεύσας, εἰς τὸ προσάγεσθαί σοι τὰς ἱερὰς καὶ ἀναιμάκτους Θυσίας· ὁ καὶ τοῦτον τὸν Ναὸν νῦν εὐδοκήσας ἐπ' ὀνόματι οἰκοδομηθῆναι τοῦ Ἁγίου (τοῦ δεῖνος), πρὸς δόξαν σὴν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· αὐτὸς, ἀθάνατε, μεγαλόδωρε Βασιλεῦ, μνήσθητι τῶν οἰκτιρμῶν σου, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσι· καὶ μὴ βδελύξῃς ἡμᾶς πλήθει μεμολυσμένους ἁμαρτιῶν, καὶ μὴ βεληλώσῃς τὴν διαθήκην σου διὰ τὴν ἡμετέραν ἀκαθαρσίαν· ἀλλὰ πάριδε καὶ νῦν τὰ παραπτώματα ἡμῶν, καὶ ἐνίσχυσον ἡμᾶς, καὶ ἱκάνωσον, τῇ χάριτι καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου σου καὶ ζωοποιοῦ Πνεύματος, ἐκτελέσαι ἀκατακρίτως τὸν Ἐγκαινισμὸν τοῦ Ναοῦ τούτου, καὶ τοῦ ἐν αὐτῷ Θυσιαστηρίου ποιήσασθαι τὴν καθιέρωσιν· ἵνα, καὶ ἐν τȣ́τῳ εὐλογοῦντές σε ψαλμοῖς καὶ ὕμνοις καὶ μυστικαῖς λειτουργίαις, τὴν σὴν εὐσπλαγχνίαν διαπαντὸς μεγαλύνωμεν. Ναὶ, Δέσποτα Κύριε, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ κατάπεμψον τὸ πανάγιόν σου Πνεῦμα, τὸ προσκυνητὸν καὶ παντοδύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ναμον, καὶ ἁγίασον τὸν Οἶκον τοῦτον· πλήρωσον αὐτὸν φωτὸς ἀϊδίου· αἱρέτισον αὐτὸν εἰς κατοικίαν σήν· ποίησον αὐτὸν σκήνωμα δόξης σου· κατακόσμησον αὐτὸν τοῖς θείοις σου καὶ ὑπερκοσμίοις χαρίσμασι· κατάστησον αὐτὸν λιμένα χειμαζομένων, ἰατρεῖον παθῶν, καταφυγὴν ἀσθενῶν, δαιμόνων φυγαδευτήριον, ἐν τῷ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους ἐπ' αὐτὸν ἡμέρας καὶ νυκτός, καὶ τὰ ὦτά σου προσέχοντα εἰς τὴν δέησιν τῶν ἐν φόβῳ σου καὶ εὐλαβείᾳ ἐν αὐτῷ εἰσιόντων, καὶ ἐπικαλουμένων τὸ πάντιμον καὶ προσκυνητὸν ὄνομά σου· ὅσα ἂν αἰτήσωνταί σε, καὶ σὺ ἀκούσεις ἐν τῷ οὐρανῷ ἄνω, καὶ ποιήσεις ἔλεος, καὶ ἵλεως ἔσῃ αὐτοῖς. Φύλαξον αὐτὸν ἕως τῆς συντελείας τοῦ αἰῶνος ἀσάλευτον, καὶ τὸ ἐν αὐτῷ Θυσιαςήριον, Ἅγιον Ἁγίων ἀνάδειξον, τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ Ἁγίου σου Πνεύματος· δέξασον αὐτὸν ὑπὲρ τὸ κατὰ νόμον ἱλαστήριον, ὥστε τὰς ἐν αὐτῷ τελουμένας ἱερουργίας εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου Θυσιαστήριον καταντᾷν, καὶ τὴν χάριν ἡμῖν κομίζειν τῆς σῆς ἀχράντου ἐπισκιάσεως· θαῤῥοῦμεν γὰρ οὐκ εἰς τὴν τῶν ἡμετέρων ἀναξίων χειρῶν ὑπουργίαν, ἀλλ' εἰς τὴν σὴν ἄφατον ἀγαθότητα.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάςησον, καὶ διαφύλαξον ἡμᾶς.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων Βασιλέων ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἔργου τῶν χειρῶν ἡμῶν, καὶ τῶν συνόντων ἀδελφῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Υ'πὲρ τοῦ ἁγιασθῆναι τὸν Οἶκον τοῦτον, καὶ τὸ ἐν αὐτῷ Θυσιαστήριον, τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ ἐνεργείᾳ τοῦ Α'γίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.
Υ'πὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.
Υ'πὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.
Υ'πὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς.
Α'ντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, κ.τ.λ.

Ἐκφώνησις·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις, τοῖς ὑπὲρ σοῦ ἀθλήσασι τιμίοις Μάρτυσιν ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα ἐρχόμενος ὁ Ἀρχιερεὺς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ λαβὼν τὰ Νίτρα, σφραγίζει ταῦτα ἐξ ἀμφοτέρων τῶν μερῶν τῷ τύπῳ τοῦ τιμίου Σταυροῦ, καὶ ῥίπτει αὐτὰ εἰς τὴν ἁγίαν Τράπεζαν σταυροειδῶς· καὶ φέρουσι τὰ Σίτλα, ἤγουν τὰ ἀγγεῖα τοῦ ἁγίου Βαπτίσματος, πεπληρωμένα ὕδατος χλιαροῦ, καὶ τοῦ Διακόνου εἰπόντος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἀρχιερεὺς, κλίνας τὴν κεφαλὴν, ἐπεύχεται τὸ ὕδωρ·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἁγιάσας τὰ ῥεῖθρα τοῦ Ἰορδάνου διὰ τῆς σωτηριώδους σου ἐπιφανείας, αὐτὸς καὶ νῦν κατάπεμψον τὴν χάριν τοῦ παναγίου σου Πνεύματος ἐπὶ τὸ παρὸν σου Θυσιαστήριον, καὶ εὐλόγησον ἡμᾶς καὶ τὸ ὕδωρ τοῦτο, πρὸς ἁγιασμὸν καὶ τελείωσιν τοῦ ἁγίου σου Θυσιαστηρίου.

Ἐκφώνως·

Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἐπιχέει τὸ ὕδωρ τρὶς ἐπὶ τῆς Τραπέζης, λέγων·

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ διὰ τοῦ ἐκχυθέντος ὕδατος, μετὰ τῶν ἐπιτεθέντων Νίτρων, ἀποσμήχει τὴν Τράπεζαν· εἶτα ἐκμάσσει αὐτὴν μετὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τοῦ καινοῦ σπόγγου· τὸν δὲ Κίονα, ἅτε μὴ δυνάμενος ταῖς χερσὶν ἀποσμῆξαι, ἐκπλύνει τε καὶ ἐκμάσσει μετὰ τοῦ σπόγγου.

Ἐν δὲ τῷ γίνεσθαι ταῦτα, λέγεται ὁ πγ'. Ψαλμός.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ, καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Μακάριος ἀνὴρ, ᾧ ἔστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ. Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο. Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν ὀφθήσεται· ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών. Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ Θεὸς Ἰακώβ. Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεὸς, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. Ἐξελεξάμην παραρρίπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος· ὁ Θεὸς χάριν καὶ δόξαν δώσει. Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Ψάλλουσι δὲ τοῦτον πάντες, ἕως οὗ τελείως ἀποσμήξῃ αὐτὴν καὶ ἀποπλύνῃ.

Καὶ τότε ὁ Ἀρχιερεὺς δοξάζει τὸν Θεὸν, λέγων·

Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας.

Τῶν δὲ Ἱερέων πλησίον τοῦ Ἀρχιερέως ἱσταμένων, καὶ τὰ Ἀντιμίνσια ταῖς τέσσαρσι γωνίαις τῆς Τραπέζης ἐπιτιθέντων, λαμβάνει ὁ Ἀρχιερεὺς Βικίον Οἰνάνθης, ἢ Ῥοδοστάμυ, ἢ Οἴνυ πλῆρες, καὶ ἐπιχέων, πλύνει τὴν ἁγίαν Τράπεζαν, καὶ ἐκμάσσει αὐτὴν μετὰ τῶν Ἀντιμινσίων, λέγων·

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Δήμου

ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν, καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Λέγεται δὲ τοῦτο ἐκ γ'. Εἶθ' οὕτω καὶ τὸ λοιπὸν τοῦ Ψαλμοῦ.

Εἶτα δοξάζει ὁ Ἀρχιερεὺς τὸν Θεόν, λέγων·

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Εἶτα λαμβάνει ἀγγεῖον, Μύρου καθαροῦ πεπληρωμένον, ἢ μετὰ Ἐλαίου διὰ σπάνιν μεμιγμένου, καὶ τοῦ Διακόνου λέγοντος· **Πρόσχωμεν·** ὁ Ἀρχιερεύς, ἐπιχέων τῇ ἁγίᾳ Τραπέζῃ, λέγει τρὶς τό, **Ἀλληλούϊα,** ὥσπερ καὶ ἐπὶ τοῦ Βαπτίσματος, καὶ δι' αὐτοῦ ποιεῖ Σταυροὺς τρεῖς, μέσον ἕνα, καὶ δύω ἑκατέρωθεν. Καὶ ἀποδιδοὺς τὸ ἀγγεῖον τοῦ Μύρου, ἀλείφει τῇ χειρὶ διὰ τῶν τριῶν ἐκείνων Σταυρῶν πᾶσαν τὴν ἁγίαν Τράπεζαν· ποιεῖ δὲ καὶ Σταυροὺς εἰς τὸν Κίονα τῆς Τραπέζης δι' αὐτοῦ, λέγων τὸν ρλβ'. Ψαλμόν.

**Ἰδοὺ δή, τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τὸν Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ. Ὡς δρόσος Ἀερμών, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών· ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.**

Εἶτα λέγει· **Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δόξα σοι, ἁγία Τριάς, ὁ Θεὸς ἡμῶν, δόξα σοι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Ἐκμασσομένης δὲ τῆς Τραπέζης μετὰ τῶν Ἀντιμινσίων, ταῦτα παρὰ τῶν Ἱερέων αὖθις μετατίθενται. Εἶτα δὴ ταῖς τέσσαρσι τῆς Τραπέζης γωνίαις τὰ τέσσαρα ὑφάσματα ἐπιτιθέασιν, ἢ ἀντ' αὐτῶν τὰ Χαρτία, προσκολλῶντες ταῦτα μετὰ τῆς Κηρομαστίχης. Ὁ δὲ Ἀρχιερεὺς λαμβάνει τὸ λεγόμενον Κατασάρκιον, οὗ τῇ Τραπέζῃ ἐφαπλουμένου, δεσμοῦνται οἱ σχοῖνοι σταυροειδῶς ὑποκάτωθεν τῆς ἁγίας Τραπέζης εἰς τὸν Κίονα· ἐν ὅσῳ δὲ ταῦτα γίνεται, λέγεται ὁ ρλα'. Ψαλμός.

**Μνήσθητι, Κύριε, τοῦ Δαυῒδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. Εἰ εἰσε-**

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

λεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου· ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσώμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. Οἱ Ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται· Ἕνεκεν Δαυῒδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς· καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος· ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν. Τὴν θύραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων. Τοὺς Ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυῒδ· ἡτοίμασα λύχνον τῷ χριστῷ μου. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

Καὶ τούτου πληρουμένου, λέγει ὁ Ἀρχιερεύς·

Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

Μετὰ δὲ ταῦτα νιπτόμενος τὰς χεῖρας ἔν τινι ἀγγείῳ καινῷ, ἢ ἐν τῷ χωνευτηρίῳ, ὥστε μηδόλως ἐκχυθῆναι ἔξωθεν οὐδὲ ῥανίδα μίαν, μετὰ μεγάλης εὐλαβείας καὶ προσοχῆς, μανδηλίῳ τε καινῷ ταύτας ἐκμάσσων, λαμβάνει τὸν Ἐπενδύτην, ἤτοι τὸ ἅπλωμα τῆς ἁγίας Τραπέζης· ἧς παρ' αὐτοῦ ἐφαπλουμένης, λέγεται ὁ ϟβʹ. Ψαλμός.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἕτοιμος ὁ θρόνος σου

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἀπὸ τότε· ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Ἐπῆραν οἱ ποταμοὶ, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Καὶ οὕτω δοξάζει ὁ Ἀρχιερεὺς, λέγων·

Δόξα σοι, ἁγία Τριὰς, ὁ Θεὸς ἡμῶν, δόξα σοι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὸ, Ἀμὴν, ἐφαπλοῖ ὁ Ἀρχιερεὺς τῇ Τραπέζῃ τὰ Ἀντιμίνσια θάτερον θατέρῳ ἐπιτιθέμενος. Εἶτα ἐφαπλοῖ καὶ τούτοις τὸ τῆς Ἐκκλησίας, Ἀντιμίνσιον, καὶ ἐπ' αὐτῷ τίθησι τὸ ἱερὸν Εὐαγγέλιον, καὶ γίνεται ἀσπασμός.

Εἶτα θυμιᾷ τὴν ἁγίαν Τράπεζαν, καὶ τὸ Ἱερατεῖον, καὶ ὅλον τὸν λαόν. Λέγεται δὲ ὁ ἐφεξῆς Ψαλμὸς ἅπαξ, ἕως οὗ ἀποθυμιάσῃ ὁ Ἀρχιερεύς.

Ψαλμὸς κέ.

Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω. Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με· πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου. Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μου ἐστὶ, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου. Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε. Τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν Οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. Ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν Ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Μετὰ δὲ τὸ θυμιάσαι τὸν Ἀρχιερέα, εἷς τῶν Ἱερέων, ἢ καὶ Ἀρχιερέων, ὄπισθεν ἐπακολουθεῖ, βαστάζων τὸ τοῦ Μύρου ἀγ-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

γεῖον, καὶ ποιεῖ Σταυροὺς ἐκ τοῦ Μύρου εἰς ἕνα ἕκαστον κίονα καὶ πηνσὸν τοῦ Ναοῦ. Συμπληρωμένης δὲ τῆς θυμιάσεως, καὶ τοῦ Ψαλμοῦ, δοξάζουσιν οὕτω·

Δόξα τῇ ἁγίᾳ, καὶ παντοδυνάμῳ, καὶ ζωοποιῷ Τριάδι, πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ γίνεται μικρὰ Συναπτὴ παρὰ τοῦ Διακόνου.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου.

Ὁ δὲ Ἀρχιερεὺς ἐκφωνεῖ·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Ἀρχιερεύς·

Κύριε, ὁ Θεὸς ἡμῶν, τοῦ οὐρανοῦ καὶ τῆς γῆς ποιητής, ὁ τὴν ἁγίαν σου Ἐκκλησίαν ἀρρήτῳ σοφίᾳ θεμελιώσας, καί, ἀντίτυπον τῆς Ἀγγελικῆς ἐν οὐρανῷ λειτουργίας, τὴν τῆς Ἱερωσύνης τάξιν ἐπὶ τῆς γῆς συστησάμενος· σύ, Δέσποτα μεγαλόδωρε, πρόσδεξαι καὶ νῦν δεομένους ἡμᾶς, οὐχ ὡς ἀξίους ὄντας περὶ τηλικούτων αἰτεῖν, ἀλλ᾽ ἵνα τὸ ὑπερβάλλον δειχθῇ τῆς σῆς ἀγαθότητος. Οὐ γὰρ ἐπαύσω τὸ ἀνθρώπινον γένος πολυτρόπως εὐεργετῶν· κεφάλαιον δὲ ἐδωρήσω τῶν σῶν εὐεργεσιῶν, τὴν ἐν σαρκὶ τοῦ μονογενοῦς σου Υἱοῦ παρουσίαν· ὅς, ἐπὶ γῆς ὀφθείς, καὶ λάμψας τοῖς ἐν σκότει φῶς σωτηρίας, ἀνήνεγκεν ἑαυτὸν ὑπὲρ ἡμῶν θυσίαν, καὶ γέγονε τοῦ κόσμου παντὸς ἱλαστήριον, κοινωνοὺς ἡμᾶς τῆς ἰδίας Ἀναστάσεως ποιησάμενος· καὶ ἀναληφθεὶς εἰς οὐρανούς, ἐνέδυσε τοὺς ἑαυτοῦ Μαθητὰς καὶ Ἀποστόλους, καθὼς ἐπηγγείλατο, δύναμιν ἐξ ὕψους, ἥτις ἐστὶ τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ προσκυνητόν, καὶ παντοδύναμον, τὸ ἐκ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον· δι᾽ οὗ, γενόμενοι δυνατοὶ ἐν ἔργῳ καὶ λόγῳ, Βάπτισμα παρέδωκαν υἱοθεσίας, Ἐκκλησίας ἀνέστησαν, ἵδρυσαν Θυσιαστήρια, ἱερωσύνης ἔθεντο κανόνας καὶ νόμους. Ὧν ἡμεῖς οἱ ἁμαρτωλοὶ κατέχοντες τὴν παράδοσιν, προσπίπτομέν σοι τῷ αἰωνίῳ Θεῷ, καὶ δεόμεθά σου, εὔσπλαγχνε· Τὸν πρὸς τὴν σὴν



ὑμνῳδίαν οἰκοδομηθέντα τοῦτον Ναὸν τῆς θείας σου πλήρωσον δόξης, καὶ τὸ παρὸν Θυσιαστήριον, Ἅγιον Ἁγίων ἀνάδειξον· ὥστε ἡμᾶς, παρεστῶτας αὐτῷ ὡς τῷ φρικτῷ τῆς βασιλείας σου θρόνῳ, ἀκατακρίτως λατρεύειν σοι, δεήσεις ὑπὲρ ἡμῶν καὶ παντὸς τοῦ Λαοῦ σου ἀναπέμποντας, καὶ τὴν ἀναίμακτον Θυσίαν τῇ σῇ προσφέροντας ἀγαθότητι, εἰς ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων συγχώρησιν, εἰς κυβέρνησιν βίου, εἰς ἀγαθῆς πολιτείας κατόρθωσιν, εἰς ἐκπλήρωσιν πάσης δικαιοσύνης. Ὅτι ηὐλόγηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Καὶ ὁ Ἀρχιερεὺς εὔχεται·

Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεὸς ἡμῶν, ὅτι, ἣν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου Ἀποστόλους καὶ ἐπὶ τοὺς ὁσίους, ἡμῶν Πατέρας, ἠξίωσας, διὰ τὴν πολλήν σου φιλανθρωπίαν, καὶ μέχρις ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐκτεῖναι. Διὸ δεόμεθά σου, Δέσποτα πολυέλεε· Πλήρωσον δόξης καὶ ἁγιασμοῦ καὶ χάριτος τὸ Θυσιαστήριον τοῦτο, ὥστε μεταποιεῖσθαι τὰς ἐν αὐτῷ προσφερομένας σοι ἀναιμάκτους θυσίας εἰς τὸ ἄχραντον Σῶμα καὶ τὸ τίμιον Αἷμα τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πρὸς σωτηρίαν παντὸς τοῦ Λαοῦ σου, καὶ τῆς ἡμῶν ἀναξιότητος. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν εἰρήνῃ προέλθωμεν.

Προκείμενον τοῦ Ἀποστόλου.

Τῷ Οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. γ΄. 1.

Ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν Ἀπόστολον, καὶ Ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, Χρι-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

στὸν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν· πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος· ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ί. 22.

Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο τὰ Ἐγκαίνια ἐν Ἱεροσολύμοις, καὶ χειμὼν ἦν. Καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ Ἱερῷ, ἐν τῇ στοᾷ τοῦ Σολομῶντος. Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ· Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε· τὰ ἔργα, ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ. Ἀλλ' ὑμεῖς οὐ πιστεύετε· οὐ γάρ ἐστε ἐκ τῶν προβάτων τῶν ἐμῶν, καθὼς εἶπον ὑμῖν. Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι· κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου. Ὁ Πατήρ μου, ὃς δέδωκέ μοι, μείζων πάντων ἐστί· καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Πατρός μου. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.

Εἶτα κομίζεται τῷ Ἀρχιερεῖ Κανδήλα καινὴ, καὶ Θρυαλλὶς, καὶ Ἔλαιον· καὶ αὐτὸς, ταῖς ἰδίαις χερσὶ πληρῶν ἐλαίου τὴν Κανδήλαν, ἀνάπτει τὴν Θρυαλλίδα, καὶ ἀποτίθησι τῷ ἁγίῳ Θυσιαστηρίῳ. Καὶ λοιπὸν ἀποτιθέμενος τότε Σάβανον, καὶ τὰ Μανδήλια, καὶ τὴν Ζώνην, ἐπιτρέπει ἐκκλησιαστικοῖς ὑπηρέταις εἰσάγειν Κανδήλας καὶ Κηρούς· καὶ οὕτως ἐγκοσμίζεται ὁ Ναός.

Τούτων δὲ γενομένων, ψάλλεται. Δόξα, τὸ Ἰδιόμ. τοῦ Ἁγίου.

Καὶ νῦν, τῶν Ἐγκαινίων,

Ἦχος πλ. β'.

Τὴν μνήμην τῶν Ἐγκαινίων ἐπιτελοῦντες Κύριε, σὲ τὸν ἁγιασμοῦ δοτῆρα δοξάζομεν· δεόμενοι ἁγιασθῆναι ἡμῶν τὰ αἰσθητήρια τῶν ψυχῶν, τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀθλοφόρων, ἀγαθὲ παντοδύναμε.



Εἶτα τὸ Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ· Τὸ, Τροπάριον τοῦ Ἁγίου τῆς Μονῆς, καὶ τῶν Ἐγκαινίων.

Ἦχος δ'.

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν. Ὅρα σελ. 304.

Εἶτα Ἐκτενὴς παρὰ τοῦ Διακόνου·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν Κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης· καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Καὶ λέγεται τὸ, Κύριε ἐλέησον, ἐκ γ'. Εἶτα ὁ Ἀρχιερεύς·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὰ Τυπικὰ, καὶ ἐν τοῖς Μακαρισμοῖς, ἐκ τοῦ Κανόνος τῶν Ἐγκαινίων, καὶ τοῦ Ἁγίου τῆς Μονῆς· ὁμοίως καὶ Ἀπόστολον καὶ Εὐαγγέλιον.

Κοινωνικόν. Κύριε, ἠγάπησα εὐπρέπειαν Οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.

### ΕΙΔΗΣΙΣ.

Δεῖ εἰδέναι, ὅτι ἡ συνήθης Λειτουργία τελεῖται δι' ἡμερῶν ἑπτὰ καθ' ἑκάστην ἐν τῷ αὐτῷ Ναῷ. Τὰ δὲ Ἀντιμίνσια, ἐπικείμενα ἐπὶ τῷ τῆς ἁγίας Τραπέζης ἁπλώματι, μετὰ τὴν ἑβδόμην ἡμέραν αἴρονται· καὶ λοιπὸν εἰς αὐτὰ οὐδεμία τις ἄλλη καθιέρωσις γίνεται, διὰ τὸ εἶναι ἡγιασμένα, ἀλλὰ μόνον ἐπιγράφονται οὕτω·

Θυσιαστήριον θεῖον, καὶ ἱερουργηθὲν, τοῦ τελεῖσθαι δι' αὐτοῦ τὰς θείας, Ἱερουργίας· καθιερωθὲν, παρὰ τοῦ Πανιερωτάτου Μητροπολίτου (δεῖνος), Κυρίου (δεῖνος), ἐν ἔτει σωτηρίῳ (δεῖνι), μηνὶ (δεῖνι), Ἰνδικτιῶνος (δεῖνος)· καὶ δίδοται ὅπου ἂν ἡ χρεία.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΚΑΘΙΕΡΩΣΕΙ ΑΝΤΙΜΙΝΣΙΩΝ.

Τῶν Ἱερέων ἐπιθέντων τῇ Τραπέζῃ τὰ Ἀντιμίνσια, τούτοις ἐκ τῆς Οἰνάνθης τὸ ἀρκοῦν τρὶς ὁ Ἀρχιερεὺς ἐπιχέει, λεγομένου τοῦ ἐκ τοῦ Ψαλμοῦ, **Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.** Τοῦτο δὲ τρίτον εἰπών, ἐπισυνάπτει καὶ τὰ ἑξῆς τοῦ Ψαλμοῦ· καὶ δοξάζων, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνων τὸ ἀγγεῖον τοῦ μεγάλου Μύρου, καὶ τοῦ Διακόνου εἰπόντος, **Πρόσχωμεν,** ποιεῖ δι' αὐτοῦ Σταυροὺς τρεῖς, μέσον ἕνα, καὶ ἑκατέρωθεν δύο, λεγομένου Ψαλμοῦ, τοῦ, **Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν; ἕως τέλους.** Καὶ δοξάζων, λέγει ὁ Ἀρχιερεύς·

Δόξα σοι, ἁγία Τριάς, ὁ Θεὸς ἡμῶν, δόξα σοι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα δίδοται τῷ Ἀρχιερεῖ Θυμιατήριον, καὶ θυμιῶν, λέγει·

**Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην.**

Καὶ τοῦ Διακόνου εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν, εὔχεται ὁ Ἀρχιερεὺς οὕτω· (*)

Κύριε, ὁ Θεὸς ἡμῶν, τοῦ οὐρανοῦ καὶ τῆς γῆς Ποιητής, ὁ τὴν ἁγίαν σου Ἐκκλησίαν ἀρρήτῳ σοφίᾳ θεμελιώσας, καὶ, ἀντίτυπον τῆς Ἀγγελικῆς ἐν οὐρανῷ λειτουργίας, τὴν τῆς Ἱερωσύνης τάξιν ἐπὶ τῆς γῆς συστησάμενος· σύ, Δέσποτα μεγαλόδωρε, πρόσδεξαι καὶ νῦν δεομένους ἡμᾶς, οὐχ ὡς ἀξίους ὄντας περὶ τηλικούτων αἰτεῖν, ἀλλ' ἵνα τὸ ὑπερβάλλον δειχθῇ τῆς σῆς ἀγαθότητος. Οὐ γὰρ ἐπαύσω τὸ ἀνθρώπινον γένος πολυτρόπως εὐεργετῶν· κεφάλαιον δὲ ἐδωρήσω τῶν σῶν εὐεργεσιῶν, τὴν ἐν σαρκὶ τοῦ μονογενοῦς σου Υἱοῦ παρουσίαν· ὃς, ἐπὶ γῆς ὀφθείς, καὶ λάμψας τοῖς ἐν σκότει φῶς σωτηρίας, ἀνήνεγκεν

(*) Ἡ παροῦσα Εὐχὴ ἀνεπληρώθη τὰ ἐλλείποντα, οὖσα ἡ αὐτὴ τῇ ἐν σελ. 314.



ἑαυτὸν ὑπὲρ ἡμῶν θυσίαν, καὶ γέγονε τοῦ κόσμου παντὸς ἱλαστήριον, κοινωνοὺς ἡμᾶς τῆς ἰδίας Ἀναστάσεως ποιησάμενος· καὶ ἀναληφθεὶς εἰς οὐρανούς, ἐνέδυσε τοὺς ἑαυτοῦ Μαθητὰς καὶ Ἀποστόλους, καθὼς ἐπηγγείλατο, δύναμιν ἐξ ὕψους, ἥτις ἐστὶ τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ προσκυνητόν, καὶ παντοδύναμον, τὸ ἐκ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον· δι' οὗ, γενόμενοι δυνατοὶ ἐν ἔργῳ καὶ λόγῳ, Βάπτισμα παρέδωκαν υἱοθεσίας, Ἐκκλησίας ἀνέστησαν, ἵδρυσαν Θυσιαστήρια, Ἱερωσύνης ἔθεντο κανόνας καὶ νόμους. Ὧν ἡμεῖς οἱ ἁμαρτωλοὶ κατέχοντες τὴν παράδοσιν, προσπιπτομένοι σοι τῷ αἰωνίῳ Θεῷ, καὶ δεόμεθά σου, εὔσπλαγχνε· Τὸν πρὸς τὴν σὴν ὑμνῳδίαν οἰκοδομηθέντα τοῦτον Ναὸν τῆς θείας σου πλήρωσον δόξης, καὶ τὸ παρὸν Θυσιαστήριον, Ἅγιον Ἁγίων ἀνάδειξον· ὥστε ἡμᾶς, παρεστῶτας αὐτῷ, ὡς τῷ φρικτῷ τῆς Βασιλείας σου θρόνῳ, ἀκατακρίτως λατρεύειν σοι, δεήσεις ὑπὲρ ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου ἀναπέμποντας, καὶ τὴν ἀναίμακτον Θυσίαν τῇ σῇ προσφέροντας ἀγαθότητι, εἰς ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων συγχώρησιν, εἰς κυβέρνησιν βίου, εἰς ἀγαθῆς πολιτείας κατόρθωσιν, εἰς ἐκπλήρωσιν πάσης δικαιοσύνης. Ὅτι ηὐλόγηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Καὶ ὁ Ἀρχιερεὺς λέγει τὴν Εὐχήν·

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι, ἣν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου Ἀποστόλους καὶ ἐπὶ τοὺς ὁσίους ἡμῶν Πατέρας, ἠξίωσας, διὰ τὴν πολλήν σου φιλανθρωπίαν, καὶ μέχρις ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐκτεῖναι. Διὸ δεόμεθά σου, Δέσποτα πολυέλεε· Πλήρωσον δόξης καὶ ἁγιασμοῦ καὶ χάριτος τὸ Θυσιαστήριον τοῦτο, ὥστε μεταποιεῖσθαι τὰς ἐν αὐτῷ προσφερομένας σοι ἀναιμάκτους θυσίας, εἰς τὸ ἄχραντον Σῶμα καὶ τὸ τίμιον Αἷμα τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πρὸς σωτηρίαν παντὸς τοῦ Λαοῦ σου καὶ τῆς ἡμῶν ἀ-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ναξιότητος. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα, προσαγομένων τῶν Λειψάνων, καὶ ἐμβαλλομένων τῇ Κηρομαστίχῃ, ἐπιχέει τούτοις ὁ Ἀρχιερεὺς Μύρον· καὶ ἐνθέμενος αὐτὰ ὄπισθεν τοῦ Ἀντιμινσίου, ἐν τῇ ἑτοιμασθείσῃ θήκῃ, καὶ ἀσφαλισάμενος καλῶς, εὔχεται τὴν Εὐχὴν ταύτην·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν τοῖς ὑπὲρ σοῦ ἀθλήσασιν ἁγίοις Μάρτυσι δωρησάμενος, τὸ σπείρεσθαι ἐν πάσῃ τῇ γῇ τὰ Λείψανα αὐτῶν ἐν τοῖς ἁγίοις Οἴκοις σου, καὶ καρποὺς ἰαμάτων βλαστάνειν· αὐτὸς, Δέσποτα, ὁ πάντων τῶν ἀγαθῶν χορηγὸς ὑπάρχων, πρεσβείαις τῶν Ἁγίων, ὧν εὐδόκησας τὴν ἀπόθεσιν τῶν Λειψάνων ἐν τούτῳ τῷ σεπτῷ Θυσιαστηρίῳ σου γενέσθαι, ἀξίωσον ἡμᾶς ἀκατακρίτως τὴν ἀναίμακτόν σοι προσενεγκεῖν ἐν αὐτῷ Θυσίαν· καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, ἀντάμειψιν παρέχων καὶ ἐν τούτῳ τοῖς ἀθλήσασιν ὑπὲρ τοῦ ἁγίου ὀνόματός σου, τὸ θαυματουργεῖν δι' αὐτῶν πρὸς ἡμετέραν σωτηρίαν. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐθὺς τελεῖται ἡ θεία Λειτουργία.

---

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΣΑΛΕΥΘΕΙΣΗΣ ΑΓΙΑΣ ΤΡΑΠΕΖΗΣ.

Ὅταν μέλλῃ ἡ σαλευθεῖσα ἁγία Τράπεζα καθιδρυνθῆναι, πρὸ τῆς Λειτουργίας εὐτρεπίζεται, παρὰ τῶν ἐπιτηδείως ἐχόντων εἰς τοῦτο, Κηρομάστιχος μετὰ τετριμμένου μαρμάρου, ἐν χύτρᾳ καινῇ, διὰ τὸ εἶναι τὴν παλαιὰν Κηρομάστιχον τῆς σαλευθείσης ἁγίας Τραπέζης ξηρὰν, καὶ μὴ δύνασθαι πάλιν αὐτὴν ἐν αὐτῇ κατασχεθῆναι. Καὶ τῆς ἁγίας Τραπέζης αἰρομένης, καὶ κατατιθεμένης, εἰ μὲν φυλάττονται τὰ τοῦ Ἐνθρονισμοῦ χαρτία ἐν τοῖς Κίοσι σῶα καὶ ὑγιῆ, μένουσιν οὕτως· εἰ δὲ διεφθάρησαν, ἐναλλάττονται. Λαμβάνουσι γὰρ οἱ εἰς ταῦτα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τεταγμένοι χαρτία ἀπὸ πιττακίου, καὶ διπλοῦσιν αὐτὰ εἰς δύω, καθὰ καὶ ἐν τῷ Ἐνθρονισμῷ, οὐκ ἐπίσης, ἀλλὰ τὸ μὲν ἔσωθεν μέρος, ὀλίγον, τὸ δὲ ἔξωθεν, πλεῖον, ὥστε ὑπερέχειν ἑκάστου Κίονος ἕνα δάκτυλον· καὶ δεσμοῦσιν αὐτὰ μετὰ σφικώματος, ἄνω τρίτον, καὶ κάτω τρίτον· καὶ οὕτως ἀντιφέροντες, μιγνύουσι τὰ δύω ἄκρα τοῦ σφικώματος, καὶ συνδέουσιν, ὥστε ἔμπροσθεν ἀποτελεῖσθαι Σταυρὸν ἐν μέσῳ τῶν δύω. Εἶτα κατασφαλίζονται, ὡς ἂν ἵνα μὴ ἡ Κηρομάστιχος ἐκρυῇ κάτω διά τινος ὀπῆς. Καὶ οὕτω, τῆς Λειτουργίας ἀρχομένης, καὶ τῆς Εἰσόδου μετὰ τοῦ Ἀρχιερέως γινομένης, κομίζεται ἡ Κηρομάστιχος ζέουσα, καὶ ἐπιχεῖται τοῖς Κίοσιν, ἕως οὗ πληρωθῆναι τὴν χείλωσιν. Μικρὸν δὲ αὐτῆς ψυχρανθείσης, ἐπιλαμβάνονται τῆς ἁγίας Τραπέζης ὅ, τε Ἀρχιερεὺς, καὶ οἱ συμπαρόντες αὐτῷ Ἱερεῖς, καὶ ἕτεροι τινὲς τοῦ Κλήρου, εἴπερ εἴη μεγάλη, καὶ τιθέασιν αὐτὴν ἐπὶ τὸν κίονα, ψάλλοντες τό, **Ὑψώσω σε, ὁ Θεός μου, ὁ Βασιλεύς μου.**

Εἶτα δοξάζουσιν, ἐν τῷ ξέεσθαι τὴν Κηρομάστιχον· καὶ σπογγίζουσι τὴν Τράπεζαν, ψάλλοντες τό, **Κύριος ποιμαίνει με.** Καὶ μετὰ τὴν πλήρωσιν τούτου, δοξάζουσι

καὶ λέγει ὁ Ἀρχιερεύς·

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Καὶ πιέζουσι ταῖς χερσὶ τὴν Τράπεζαν, ὥστε συναρμοσθῆναι ταύτην καλῶς. Εἶτα λαβὼν ὁ Ἀρχιερεὺς τὸν Θυμιατὸν, θυμιᾷ κύκλωθεν αὐτήν· καὶ οὕτως ἔμπροσθεν αὐτῆς ἱσταμένου, λέγεται

παρὰ τοῦ Διακόνου ἡ Συναπτή.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου.
Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦδε), καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, καὶ τῶν συμπαρόντων Ἱερέων τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸν Οἶκον τοῦτον, καὶ τὴν ἐν αὐτῷ θείαν Τράπεζαν καθιδρυνθῆναι τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.


Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὑπὲρ τῆς Πόλεως ταύτης, πάσης πόλεως, χώρας.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

Ἐν ὅσῳ δὲ λέγει ὁ Διάκονος τὴν Συναπτὴν, λέγει ὁ Ἀρχιερεὺς τὴν Εὐχὴν ταύτην μυστικῶς·

Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεὸς ἡμῶν, ὅτι, ἣν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου Ἀποστόλους, καὶ ἐπὶ τοὺς ὁσίους ἡμῶν Πατέρας, ἠξίωσας, διὰ τὴν πολλήν σου φιλανθρωπίαν, καὶ μέχρις ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐκτεῖναι. Διὸ δεόμεθά σου, Δέσποτα πολυέλεε· Πλήρωσον δόξης καὶ ἁγιασμοῦ καὶ χάριτος τὸ Θυσιαστήριον τοῦτο, ὥστε μεταποιεῖσθαι τὰς ἐν αὐτῷ προσφερομένας σοι ἀναιμάκτους Θυσίας εἰς τὸ ἄχραντον Σῶμα καὶ τὸ τίμιον Αἷμα τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πρὸς σωτηρίαν παντὸς τοῦ Λαοῦ σου, καὶ τῆς ἡμῶν ἀναξιότητος. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὸ, Ἀμὴν, ἄρχονται οἱ Ψάλται τοῦ Τρισαγίου, καὶ τελεῖται ἡ Ἀκολουθία τῆς Λειτουργίας, ὡς σύνηθες.

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΘΕΜΕΛΙΩ ΕΚΚΛΗΣΙΑΣ.

Τῶν θεμελίων εὐτρεπισθέντων τοῦ μέλλοντος ἀνεγείρεσθαι Ναοῦ, παραγίνεται ἐκεῖσε ὁ Ἀρχιερεὺς· καὶ βαλὼν Ἐπιτραχήλιον καὶ τὸ Ὠμοφόριον αὐτοῦ, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστι. Καὶ ὁ μὲν Ἀρχιερεὺς θυμιᾷ τοὺς θεμελίους κύκλῳ· οἱ δὲ Ψάλται λέγουσι τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, εἰς οὗ τὸ ὄνομα ὁ Ναὸς μέλλει ἀνεγείρεσθαι· καὶ ἕτερα Τροπάρια, οἷα βούλεται ὁ Προεστώς.



Εἶτα, στὰς ὁ Ἀρχιερεὺς ἐν τῷ τόπῳ, ἐν ᾧ τὸ ἅγιον πήγνυσθαι μέλλει Θυσιαστήριον, λέγει τὴν Εὐχὴν ταύτην·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι Ἐκκλησίαν· αὐτὸς, Δέσποτα, τοὺς τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσκομίζοντας ἔπιδε, καὶ τοῦ πρὸς τὴν σὴν δοξολογίαν ἀνοικοδομουμένου, (ἢ κτιζομένου) Οἴκου, ἐν πλήθει τῶν σῶν ἐπουρανίων ἀγαθῶν ἀντάμειψαι (*), καὶ τοὺς ὑπουργοῦντας ἐνίσχυσον, ἀβλαβεῖς διαφυλάττων. Τὰ θεμέλια αὐτοῦ ἄρραγῆ καὶ ἀσάλευτα διατήρησον, καὶ τέλειον ἀνάδειξον Οἶκόν σου, ὅπως ἂν καὶ ἐν αὐτῷ πανευφήμοις ᾠδαῖς καὶ δοξολογίαις ἀνυμνῶμεν σὲ τὸν ἀληθινὸν Θεὸν ἡμῶν. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν Εὐχὴν, ποιεῖ Ἀπόλυσιν.

Εἶτα, λαβὼν ἕνα τῶν λίθων, καὶ χαράξας δι' αὐτοῦ Σταυρὸν, αὐτὸς ταῖς ἰδίαις χερσὶ τίθησιν αὐτὸν ἐν τῷ θεμελίῳ, λέγων·

Ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος· ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ.

Καὶ οὕτως οἱ τεχνῖται τῆς οἰκοδομῆς ἄρχονται.

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ, ΕΝ ΤΗ ΕΚΠΛΥΣΕΙ ΤΗΣ ΑΓΙΑΣ ΤΡΑΠΕΖΗΣ.

Μετὰ τὸ ψάλλειν τὴν Τριθέκτην, κατέρχεται ὁ ἁγιώτατος Πατριάρχης ἐν τῷ Μεσατωρίῳ, ἤγουν τῷ Διακονικῷ, καὶ εἰσέρχεται εἰς τὸ ἅγιον Θυσιαστήριον ἐκ τοῦ μέρους τοῦ δεξιοῦ· καὶ γίνεται ἡ ἔκπλυσις τῆς ἁγίας Τραπέζης, οὕτως· Ἱσταμέ-

(*) Τὸ Χειρόγραφον ὀρθῶς ἔχει· «αὐτὸς, Δέσποτα, τοὺς τὰ σὰ ἐκ τῶν »σῶν σοὶ προσκομίζοντας ἐπὶ ἀνοικοδομήσει τοῦ πρὸς τὴν σὴν »δοξολογίαν κτιζομένου Οἴκου, ἐν τῷ πλήθει τῶν σῶν ἐπουρανίων δωρεῶν ἀντάμειψαι».

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

νου τοῦ Πατριάρχου ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, ἐξέρχεται ὁ Χαρτοφύλαξ ἅμα τῷ Ὑπομνηματογράφῳ, καὶ τῷ Ἱερομνήμονι, προοδοποιούντων αὐτοῖς τῶν Νοταρίων, καὶ καλοῦσι τοὺς Μητροπολίτας, καὶ Ἀρχιεπισκόπους· καὶ εἰσέρχονται εἰς τὸ ἅγιον Θυσιαστήριον μετὰ Φελονίων· καὶ προσκυνοῦντες τὸν Πατριάρχην, ἵστανται κύκλῳ τῆς ἁγίας Τραπέζης· σὺν αὐτοῖς δὲ καὶ οἱ Πρεσβύτεροι, καὶ Διάκονοι. Θυμιᾷ δὲ πρῶτον ὁ Πατριάρχης τὴν ἁγίαν Τράπεζαν, καὶ σφραγίζει.

Εἶθ' οὕτω λέγει καθ' ἑαυτὸν τὴν Εὐχὴν ταύτην τῆς Ἀπαμφιάσεως.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῷ ζωοποιῷ σου θανάτῳ τὸν θάνατον νεκρώσας, καὶ ἡμᾶς τῶν παθῶν τῆς ἁμαρτίας ἀναστήσας· αὐτὸς καὶ νῦν κυκλοῦντας ἡμᾶς τοῦ σωτηρίου τάφου τὸν τύπον, καὶ διὰ τῆς ὀφειλομένης ἱερᾶς ὑπηρεσίας τὸν πόθον ἀφοσιουμένους, πρόσδεξαι, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τοῦ μυστικοῦ Δείπνου κοινωνοὺς λαβεῖν καταξίωσον, καὶ μετόχους γενέσθαι τῆς ἐπουρανίου σου Βασιλείας, καὶ τῆς τῶν ἀγαθῶν ἀπολαύσεως, καὶ τῆς ἀθανάτου δόξης. Ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὸ, Ἀμὴν, ἀπαμφιάζει τὴν ἁγίαν Τράπεζαν, συλλαμβανομένων αὐτῷ καὶ τῶν Μητροπολιτῶν καὶ Ἀρχιεπισκόπων, Πρεσβυτέρων τε καὶ Διακόνων, ψαλλόντων ἐν συντριβῇ καὶ ἀνετῶς τὸν Ν΄. ἤγουν τὸ, Ἐλέησόν με, ὁ Θεός. Εἶτα λέγουσι τὸν κε΄. Ψαλμὸν, Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην· εἶτα τὸν πγ΄. Ψαλμὸν, Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε. Ὧν δὴ Ψαλμῶν λεγομένων, κομίζει ὁ Σκευοφύλαξ Μούσας τε καὶ Δισκάρια, τὰ κοινῶς λεγόμενα Τέστα, ὃ λέγεται Λεκάνη, καὶ ἀποσπογγίζεται ἡ ἁγία Τράπεζα.

Ἔπειτα φέρει ὁ Χαρτουλάριος Ὀσκιώλιον, τὸ κοινῶς λεγόμενον Θερμάριον, καὶ λέγει· Εὐλόγησον, Δέσποτα· καὶ ἐπιχέει τοῦτο τῇ ἁγίᾳ Τραπέζῃ.

Ἐπιδίδοται δὲ παρὰ τοῦ Πατριάρχου τοῖς Μητροπολίταις,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη

καὶ Ἀρχιεπισκόποις, καὶ Πρεσβυτέροις, ἐγχείρια λινὰ, καὶ μετὰ τούτων τρίβουσι τὴν ἁγίαν Τράπεζαν. Εἶτα διανέμει τοὺς σπόγγους, ἐπιχέων τῇ ἁγίᾳ Τραπέζῃ ῥοδόσταγμα· καὶ μετὰ τῶν σπόγγων ἐκμάσσουσιν αὐτήν. Εἶτα τίθεται τὰ Κατασάρκα.

Καὶ μετὰ ταῦτα οἱ ἐνδυταὶ ἐνδύουσι, λέγοντος τοῦ Πατριάρχου τὴν Εὐχὴν ταύτην·

Ὁ ἐλεήμων καὶ οἰκτίρμων Θεὸς, ὁ δι' ἄφατον ἀγαθότητα, πρὸς λειτουργίαν τοῦ παναγίου καὶ ἀχράντου σου Θυσιαστηρίου, τὴν ἡμῶν ἀχρειότητα προσλαβόμενος· αὐτὸς καὶ νῦν ἐπίβλεψον ἐφ' ἡμᾶς, ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου, καὶ καταξίωσον δεκτὴν γενέσθαι τὴν διακονίαν ἡμῶν τῶν ἀχρείων, ἣν ἐπὶ τῇ ἁγίᾳ σου Τραπέζῃ ἐπιτελοῦμεν σήμερον, μετὰ φόβου καὶ τρόμου παρεστῶτες αὐτῇ· καὶ κάθαρον ἡμᾶς, διὰ τῆς ἐπιτελεσθείσης ἐν αὐτῇ ἀχράντου πλύσεως, ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἀνακαθαίρων ἡμῶν πάσας τὰς αἰσθήσεις τῆς ῥυπώδους ἁμαρτίας, καὶ παρίστων ἡμᾶς ἀμώμους καὶ ἀσπίλους τῇ φρικτῇ καὶ θείᾳ ἱερουργίᾳ τοῦ ζωοποιοῦ Αἵματος καὶ τοῦ Σώματος σοῦ τοῦ ὑπὲρ τῆς ἡμῶν ἀφθαρσίας ἐν τάφῳ κατατεθέντος, καὶ μετὰ δόξης ἀναστάντος τῇ τρίτῃ ἡμέρᾳ, καὶ πηγὴν ἀκένωτον ζωῆς καὶ ἀφθαρσίας τὸν πανάγιον τάφον ἡμῖν ἀποτελέσαντος· ἐν αὐτῷ γὰρ, τοῦ θανάτου καταπατηθέντος, καὶ τοῦ κέντρου αὐτοῦ τῆς ἁμαρτίας ἐξαφανισθέντος ὑπὸ τῆς σῆς θεϊκῆς ἐξουσίας καὶ δυνάμεως, συνεζωοποιήθημεν καὶ συνανέστημέν σοι, δοξάζοντες σὲ τὴν ἀπαρχὴν τῆς ἡμῶν ἀναστάσεως, τὸν ὑπὲρ ἡμῶν σταυρωθέντα, καὶ ταφέντα, καὶ ἀναστάντα. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἡ ἀνάστασις, καὶ ἡ σωτηρία, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἔπειτα θυμιᾷ κύκλῳ τὴν ἁγίαν Τράπεζαν, καὶ σφραγίζει μετὰ πηνίων· καὶ οὕτω μεθίσταται, καὶ διανέμει τοὺς σπόγγους τῷ Λαῷ.

Ἐξελθὼν δὲ πάλιν ἐκ τοῦ δεξιοῦ μέρους, κατέρχεται διὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τοῦ δεξιοῦ ἐμβόλου εἰς τὸν Νάρθηκα· καὶ τῶν βασιλικῶν πυλῶν κεκλεισμένων οὐσῶν, ἵσταται ἔμπροσθεν τῶν μεγάλων πυλῶν Τετραπόδιον μετὰ ἐνδυτῆς· ἄνωθεν δὲ τοῦ Τετραποδίου, τὸ ἅγιον Εὐαγγέλιον· ἔνθεν δὲ κἀκεῖθεν, Μανουάλια· εἶτα θυμιᾷ, καὶ σφραγίζει ὁ Πατριάρχης μετὰ πηνίων· τὰ αὐτὰ δὲ πηνία πήγνυνται εἰς τὰ ῥηθέντα Μανουάλια. Μετὰ δὲ τοῦτο, λέγει ὁ Ἀρχιδιάκονος·

**Εὐλόγησον, Δέσποτα.**

Καὶ ὁ Πατριάρχης·

**Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Καὶ ἄρχεται τοῦ Ἑσπερινοῦ, καὶ τῆς Ἀκολουθίας τοῦ Νιπτῆρος.

---

## ΤΑΞΙΣ ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΤΡΑΠΕΖΗΣ, ΗΣ ΤΑ ΑΜΦΙΑ ΔΙΕΦΘΑΡΗΣΑΝ.

Περὶ δὲ τῆς ἁγίας Τραπέζης, ἧς τὰ Ἄμφια διεφθάρησαν παλαιωθέντα, ἀπέρχεται ὁ Ἀρχιερεὺς, καὶ ἐνδύεται πᾶσαν τὴν στολὴν αὐτοῦ, συνόντων αὐτῷ καὶ τῶν τοῦ Κλήρου Πρεσβυτέρων καὶ Διακόνων. Καὶ πρῶτον θυμιᾷ σταυροειδῶς· εἶτα περισυνάγει, συνεργούντων αὐτῷ καὶ τῶν ὑπηρετῶν, τὰ ἐπικείμενα τῇ ἁγίᾳ Τραπέζῃ, εἴτε παλαιὰ Ἄμφια, εἴτε κονιορτὸν γενόμενα, καὶ βάλλουσι ταῦτα ἐν ἀγγείοις καινοῖς. Καὶ λοιπὸν γίνεται ἡ ἔκπλυσις καὶ ἡ ἀμφίασις, κατὰ τὸν τύπον τὸν γινόμενον κατὰ τὴν μεγάλην Πέμπτην ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ παρὰ τοῦ Πατριάρχου, ὡς καὶ ἀνωτέρω ἐγράφη, λεγομένων καὶ τῶν Εὐχῶν καὶ τῶν Ψαλμῶν, ὡς ἐκεῖ διείληπται.

Γίνεται δὲ Λειτουργία κατ' αὐτὴν τὴν ἡμέραν παρὰ τοῦ Ἀρχιερέως.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΙΣ ΨΥΧΗΝ ΚΡΙΝΟΜΕΝΗΝ

Δέσποτα Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ ὁ πάντας ἀνθρώπȣς θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιςρέψαι καὶ ζῆν αὐτὸν, δεόμεθα καὶ παρακαλοῦμέν σε· Τὴν ψυχὴν τοῦ δούλου σου (τοῦδε) παντὸς δεσμοῦ λῦσον, πάσης κατάρας ἐλευθέρωσον· ὅτι σὺ εἶ ὁ λύων τοὺς πεπεδημένους, ὁ ἀνορθῶν τοὺς κατεῤῥαγμένους, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων. Κρίσει τῇ παρὰ τοῦ ἐλεήσας, κέλευσον, Δέσποτα φιλάνθρωπε, ἀπολυθῆναι ἐν εἰρήνῃ τὸ πνεῦμα τοῦ δούλου σου, καὶ καταπαῦσαι εἰς τὰς αἰωνίȣς σου μονὰς μετὰ τῶν Ἁγίων σου. Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ, τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΗ ΕΤΕΡΑ

## ΕΙΣ ΨΥΧΟΡΡΑΓΟΥΝΤΑ.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ ἀῤῥήτῳ σοφίᾳ δημιουργήσας τὸν ἄνθρωπον ἐκ τοῦ χοὸς, καὶ τοῦτον ἀναμορφώσας εἰς εἶδος καὶ κάλλος, καὶ ἐξωραΐσας, ὡς τίμιον καὶ οὐράνιον κτῆμα, εἰς δοξολογίαν καὶ εὐπρέπειαν τῆς σῆς δόξης καὶ βασιλείας, διὰ τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τοῦτον παραγαγεῖν· ἐπεὶ δὲ τὴν ἐντολὴν παρέβη τοῦ σοῦ προστάγματος,

(*) Τὴν παροῦσαν Εὐχὴν, ἥτις καὶ ἐν τῷ Χειρογράφῳ καὶ ἐν τοῖς τετυπωμένοις Εὐχολογίοις τοῦ αχιθ'. καὶ αχγά ἀναγινώσκεται μετὰ τὸν εἰς Ψυχοῤῥαγοῦντα Κανόνα, ἐν ὀλίγοις ἐλλιπῆ οὖσαν, ἐκ τοῦ αὐτοῦ Χειρογράφου ἀνεπληρώσαμεν. Ἡ δ' ἐφεξῆς ἑτέρα εἰς Ψυχοῤῥαγοῦντα οὐχ ἀπαντᾶται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μεταλαβὼν τῆς εἰκόνος καὶ μὴ φυλάξας, διὰ τοῦτο, ἵνα μὴ τὸ κακὸν ἀθάνατον γένηται, φιλανθρώπως ἐκέλευσας τὴν διάλυσιν ταύτην, καὶ τὸν ἄῤῥηκτον τοῦτον δεσμὸν, ὡς Θεὸς τῶν πνευμάτων, τῷ σῷ θείῳ βουλήματι ἀποτέμνεσθαι, καὶ τὸ μὲν σῶμα εἰς τὰ, ἐξ ὧν συνετέθη, ἀναλύεσθαι, τὴν δὲ ψυχὴν ἐκεῖσε χωρεῖν, ἔνθα καὶ τὸ εἶναι προσελάβετο μέχρι τῆς κοινῆς ἀναστάσεως. Διὰ τοῦτο δεόμεθα σοῦ τοῦ ἀνάρχου καὶ ἀθανάτου Πατρὸς, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ παναγίου σου Πνεύματος, ἵνα τὴν ἀπὸ τοῦ σώματος διάλυσιν τῆς ψυχῆς τοῦ δούλου σου (τοῦ δεῖνος) ἐν ἀναπαύσει ποιήσῃς. Καὶ εἴτι ἐν γνώσει, ἢ ἐν ἀγνοίᾳ προσέκρουσε τὴν σὴν ἀγαθότητα, ἢ ὑπὸ κατάραν γέγονεν Ἱερέως, ἢ τοὺς ἰδίους γονεῖς παρεπίκρανεν, ἢ ὅρκον παρέβη, ἢ φαντασίαις δαιμόνων καὶ γοητείαις αἰσχραῖς περιέπεσε, φθόνῳ τοῦ πονηροῦ δαίμονος, συγχώρησον, ὑπὸ τῆς σῆς ἀφάτου δυσωπούμενος ἀγαθότητος. Ναὶ, Δέσποτα Κύριε ὁ Θεὸς, ἐπάκουσον ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ λῦσον τὸν δοῦλόν σου (τὸν δεῖνα) τῆς ἀφορήτου ταύτης ὀδύνης καὶ τῆς συνεχούσης αὐτὸν πικρᾶς ἀσθενείας, καὶ ἀνάπαυσον αὐτὸν, ἔνθα τῶν Δικαίων τὰ πνεύματα. Ὅτι σὺ εἶ ἡ ἀνάπαυσις τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΠΕΡΙ ΣΤΑΥΡΟΠΗΓΙΟΥ.

Τὸ Σταυροπήγιον γίνεται οὕτως· Ἀναφέρεται τῷ Πατριάρχῃ περὶ τῆς οἰκοδομῆς Ναοῦ, καὶ γίνεται γράμμα προτρεπτικὸν πρὸς τὸν Ἔξαρχον αὐτοῦ, ἢ πρός τινα τῶν Ἀρχιερέων, ἐπὶ τῷ θεμελιωθῆναι καὶ καθιερωθῆναι, καὶ τὸν Ναὸν τελεσθῆναι ἐπὶ Σταυροπηγίῳ Πατριαρχικῷ. Κελεύει δὲ γενέσθαι καὶ Σταυρὸν ξύλινον, ἐν ᾧ γράφουσιν οἱ Πατριαρχικοὶ Γραμματικοί·

Ἐν μὲν τῷ ἑνὶ μέρει, οὕτω·

Σταυροπήγιον Πατριαρχικὸν, ἁγιασθὲν ἐπ' ὀνόματι τοῦ Ἁγίου (τινος), ἐν τῇ θεοσώστῳ Πόλει (τινος), ἐν τῇ Ἐπαρχίᾳ (τινος),

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη

ἐν τῷ ἰδίῳ θελήματι, παρὰ (τοῦδε) τοῦ ἁγιωτάτου καὶ Οἰκουμενικοῦ Πατριάρχου.

Ἐν δὲ τῷ ἑτέρῳ, οὕτως·

Ἐπὶ τῆς Βασιλείας τῶν εὐσεβεστάτων Βασιλέων ἡμῶν (τῶνδε), κατὰ μῆνα (τόνδε), ἐν ἔτει (τῷδε).

Καὶ πέμπεται ὁ Σταυρὸς, ἐν ᾧ ὁ Ναὸς μέλλει οἰκοδομηθῆναι. Εἶτα, ὁ προσδεξάμενος ποιεῖ τὴν ἄνωθεν Ἀκολουθίαν ἐπὶ τῷ θεμελίῳ (σελ. 322).

Ὅταν δὲ ποιήσῃ τὴν καθιέρωσιν, πήγνυσι καὶ τὸν Σταυρὸν ὄπισθεν τῆς ἁγίας Τραπέζης, εὐτρεπισθέντος τινὸς ἀνωφεροῦς οἰκοδομήματος, λάκκον ἔχοντος, ἢ διὰ λίθων, ἢ διὰ σιδήρου, ἢ διὰ χαλκοῦ, ὡς ὁρᾶται ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ.

Εὐχὴ ἐπὶ Σταυροπηγίου.

Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ προτυπώσας τὴν ῥάβδον τοῦ Μωϋσέως εἰς τὸν τίμιον καὶ ζωοποιὸν Σταυρὸν τοῦ ἀγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ· αὐτὸς εὐλόγησον καὶ ἁγίασον τὸν τόπον τοῦτον, τῇ δυνάμει καὶ ἐνεργείᾳ τȣ͂ τιμίου καὶ ζωοποιοῦ καὶ ἀχράντου ξύλου τοῦ Σταυροῦ, εἰς ἀποτροπὴν δαιμόνων καὶ παντὸς ἐναντίου, φυλάττων καὶ τὸν τόπον, καὶ τὸν Οἶκον τοῦτον, καὶ τὰς ἐνοικούσας ψυχὰς τῶν ἐνταῦθα κατοικούντων· πρεσβείαις τῆς ὑπερενδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας. Ὅτι ηὐλόγηται καὶ δεδόξασταί σου ἡ Βασιλεία, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

## ΜΙΚΡΟΥ ΑΓΙΑΣΜΟΥ

**Εὐλογήσαντος τοῦ Ἱερέως, λέγομεν τὸν ρμβ'. Ψαλμόν,** Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου. **Εἶτα τό,** Θεὸς Κύριος, **καὶ τὰ παρόντα.**

**Τροπάρια, Ἦχος δ'.**

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον ἐφ' ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Δόξα, **τὸ αὐτό.** Καὶ νῦν, **τὸ ἑξῆς.**

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Καὶ τὸν Ν. Εἶτα ψάλλομεν τὰ Τροπάρια ταῦτα·**

**Ἦχος πλ. β'. Ὁ Εἱρμός.**

» Ἡ τὸ χαῖρε δι' Ἀγγέλου δεξαμένη, καὶ τεκοῦσα τὸν Κτί-
» στην τὸν ἴδιον, Παρθένε σῶζε, τοὺς σὲ μεγαλύνον-
» τας. **Δίς.**

Ἀνυμνοῦμεν τὸν Υἱόν σου Θεοτόκε, καὶ βοῶμεν Πανάχραντε Δέσποινα· Τοὺς σοὺς οἰκέτας, περίσωζε πάντοτε.

(*) Τὸ Χειρόγραφον ἔχει μετὰ τὸν Εὐλογητὸν τό, « Τρισάγιον· τό, Παναγία »Τριάς· τό, Πάτερ ἡμῶν· Ὅτι σοῦ. Εἶτα· Ἐλέησον ἡμᾶς· Δόξα· »Κύριε ἐλέησον ἡμᾶς· Καὶ νῦν· Τῆς εὐσπλαγχνίας· Ὁ Ν. καὶ τὰ »Τροπάρια· Ἡ τὸ χαῖρε κ.τ.λ. ».



Βασιλέων, Προφητῶν, καὶ Ἀποστόλων, καὶ Μαρτύρων ὑπάρχεις τὸ καύχημα, καὶ προστασία τοῦ κόσμου Πανάμωμε.

Γένος πάντων ἀνυμνεῖ σε Θεοτόκε, τῶν ἀνθρώπων, καὶ πίστει δοξάζει σε, καὶ μεγαλύνει τὸν τόκον σου πάντοτε.

Δὸς Χριστέ μου καὶ ἐμοὶ τῷ ἀναξίῳ, ὀφλημάτων τὴν ἄφεσιν δέομαι, τῆς σὲ τεκούσης πρεσβείαις ὡς εὔσπλαγχνος.

Ἐπὶ σὲ μοῦ τὰς ἐλπίδας ἀνεθέμην, Θεοτόκε σῶσον ταῖς πρεσβείαις σου, καὶ δώρησαί μοι πταισμάτων τὴν ἄφεσιν.

Ζώωσόν με ἡ τεκοῦσα τὸν Σωτῆρα, καὶ Δεσπότην Μαρία Θεόνυμφε· καὶ σῶσον πάντας τοὺς πόθῳ ὑμνοῦντάς σε.

Ἡ τὸν Κτίστην τῶν ἁπάντων ἐν γαστρί σου, συλλαβοῦσα Παρθένε καὶ τέξασα, ταῖς σαῖς πρεσβείαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Θεοτόκε ἡ τεκοῦσα διὰ λόγου, ὑπὲρ λόγον τὸν Λόγον Πανύμνητε, αὐτὸν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἵλεων μοι τὸν Κριτήν τε καὶ Υἱόν σου, ἐπταικότι ὑπὲρ πάντα ἄνθρωπον, ταῖς σαῖς πρεσβείαις ἀπέργασαι Δέσποινα.

Καταχρέος ἐκβοῶμέν σοι τό, Χαῖρε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε, ἐκδυσωποῦντες πρεσβείαις σου σώζεσθαι.

Λύτρωσαί με τοῦ πυρὸς τοῦ αἰωνίου, καὶ βασάνων τῶν ἀποκειμένων μοι, Θεογεννῆτορ, ὅπως μακαρίζω σε.

Μὴ παρίδῃς τὰς δεήσεις τῶν σῶν δούλων, δυσωποῦμεν Πανύμνητε Δέσποινα, ἵνα ῥυσθῶμεν πάσης περιστάσεως.

Νοσημάτων καὶ παντοίων ἀλγηδόνων, καὶ κινδύνων ἡμᾶς ἐλευθέρωσον, τῇ ἱερᾷ σου σκέπῃ καταφεύγοντας.

Ξένον θαῦμα τὸ ἐν σοὶ Θεοκυῆτορ· δι' ἡμᾶς γὰρ καθ' ἡμᾶς γεγένηται, ὁ πάντων κτίστης ἐκ σοῦ καὶ Θεὸς ἡμῶν.

Ὁ Ναός σου Θεοτόκε ἀνεδείχθη, ἰατρεῖον νοσημάτων ἄμισθον, καὶ θλιβομένων ψυχῶν παραμύθιον.

Παναγία Θεοτόκε ἡ τεκοῦσα, τὸν Σωτῆρα, κινδύνων διάσωσον, καὶ πάσης ἄλλης ἀνάγκης τοὺς δούλους σου.

Ῥῦσαι πάσης ἀπειλῆς ἐπερχομένης, τοὺς σοὺς δούλους Πανάχραντε Δέσποινα, καὶ πάσης βλάβης ψυχῆς τε καὶ σώματος.

Σῶσον πάντας ταῖς πρεσβείαις σου Παρθένε, τοὺς εἰς σὲ Θεο-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τόκε προστρέχοντας, καὶ ῥῦσαι πάσης ἀνάγκης καὶ θλίψεως.

Τίς προστρέχων τῷ Ναῷ σου, Θεοτόκε, οὐ λαμβάνει ταχέως τὴν ἴασιν, ψυχῆς ὁμοῦ τε καὶ σώματος ἄχραντε;

Ὑπὸ πάντων δυσωπούμενος Οἰκτίρμον, τῶν Ἁγίων καὶ τῶν ἄνω Τάξεων, ἱλάσθητί μοι διὰ τῆς Τεκούσης σε.

Φεῖσαι Σῶτερ τῶν ψυχῶν τῶν τεθνεώτων, ἐπ' ἐλπίδι ζωῆς ἀδελφῶν ἡμῶν, καὶ ἄνες αὐτοῖς τὰ ἐγκλήματα.

Χαῖρε κόσμου ἱλαστήριον, Παρθένε, χαῖρε στάμνε, καὶ λυχνία πάγχρυσε, τοῦ Θείου Μάννα καὶ Φωτὸς Θεόνυμφε.

Ψαλλομένσοι τῷ Θεῷ τῷ ἐν Τριάδι, ἐκβοῶντες φωνὴν τὴν τρισάγιον, ἐκδυσωποῦντες σωτηρίας τεύξασθαι.

Ὦ Παρθένε ἡ τεκοῦσα τὸν Σωτῆρα, καὶ Δεσπότην τοῦ κόσμου καὶ Κύριον, αὐτὸν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Χαῖρε, ὄρος, χαῖρε βάτε, χαῖρε πύλη, χαῖρε κλίμαξ, χαῖρε θεία τράπεζα, ἡ πάντων χαῖρε βοήθεια Δέσποινα.

Ταῖς πρεσβείαις Ἐλεῆμον τῆς Μητρός σου, τῆς ἀχράντου καὶ πάντων Ἁγίων σου, τὰ σὰ ἐλέη τῷ λαῷ σου δώρησαι.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀρχαγγέλων, καὶ Ἀγγέλων καὶ τῶν ἄνω Τάξεων, σοὺς δούλους Σῶτερ καλῶς διαφύλαξον.

Τῇ πρεσβείᾳ τοῦ τιμίου καὶ ἐνδόξου, Βαπτιστοῦ σου Προφήτου Προδρόμου τε, Χριστέ μου Σῶτερ τοὺς δούλους σου φύλαξον.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀποστόλων, καὶ Μαρτύρων καὶ πάντων Ἁγίων σου, τὰ σὰ ἐλέη τῷ λαῷ σου δώρησαι.

Τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀναργύρων, Θεοτόκε τοὺς δούλους σου φύλαττε, ὡς προστασίᾳ τοῦ κόσμου καὶ στήριγμα.

Δόξα.

Τὸν Πατέρα, καὶ Υἱὸν δοξολογοῦμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον λέγοντες· Τριὰς ἁγία, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν.

Ἡ ἀῤῥήτως ἐπ' ἐσχάτων συλλαβοῦσα, καὶ τεκοῦσα τὸν Κτίστην τὸν ἴδιον, Παρθένε σῶζε τοὺς σὲ μεγαλύνοντας.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ



τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν (*).

Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι Ἅγιος εἶ, ὁ Θεός.

Εἶτα τὰ παρόντα Ἰδιόμελα, Ἦχος πλ. δ'.

Νῦν ἐπέστη ὁ καιρὸς ὁ πάντα ἁγιάζων, καὶ ὁ δίκαιος ἡμᾶς ἀναμένει Κριτής· ἀλλ' ἐπίστρεψον ψυχὴ πρὸς μετάνοιαν, ὡς ἡ Πόρνη κράζουσα σὺν δάκρυσι· Κύριε ἐλέησόν με.

Νάμασιν ἐπομβρίσας Χριστὲ, πηγὴν τῶν ἰάσεων, ἐν τῷ πανσέπτῳ Ναῷ τῆς Παρθένου σήμερον, τῷ τῆς σῆς εὐλογίας ῥαντισμῷ, φυγαδεύεις τὰς νόσους τῶν ἀσθενούντων, ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Παρθένος ἔτεκες ἀπειρόγαμε, καὶ Παρθένος ἔμεινας Μήτηρ ἀνύμφευτε· Θεοτόκε Μαρία, Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκέτευε, σωθῆναι ἡμᾶς.

Παναγία Θεοτόκε Παρθένε, τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον, καὶ συγχώρησιν τῶν πταισμάτων ἡμῶν αἴτησαι, ἐν τῷ ψάλλειν ἡμᾶς τῶν Ἀγγέλων τὸν ὕμνον· Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Καὶ μετὰ τὸ Τρισάγιον,

Προκείμενον, Ἦχος γ'.

Κύριος φωτισμός μου καὶ σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. β'. 11.

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅμοι ἔδωκεν ὁ Θεός. Ἐπὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν

(*) Τὸ Τροπάριον τοῦτο οὐκ ἔστιν ἐν τῷ Χειρογράφῳ, ἀλλ' ἀμέσως τὰ ἐφεξῆς Ἰδιόμελα.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

αὐτῶν, ἵνα διὰ τοῦ θανάτȣ καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διαπαντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τȣ̃ Λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Ἀλληλούϊα. **Ἦχος πλ. β'.**

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

**Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. έ. 1.**

Τῷ καιρῷ ἐκείνῳ, ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ, κολυμβήθρα, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδὰ, πέντε στοὰς ἔχουσα. Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧδήποτε κατείχετο νοσήματι.

**Εἶτα ὁ Διάκονος τὰ Εἰρηνικά.**

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. **Ὁ Χορός**· Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου.

Ὑπὲρ τῶν εὐσεβεστάτων.

Ὑπὲρ τῆς Πόλεως ταύτης.

Ὑπὲρ εὐκρασίας ἀέρων.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ ἐνεργείᾳ τȣ̃ Ἁγίου Πνεύματος, τȣ̃ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταφοιτῆσαι τῷ ὕδατι τούτῳ τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι, τὸ ὕδωρ τοῦτο, ἰαματικὸν ψυχῶν καὶ σω-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μάτων, καὶ πάσης ἀντικειμένης δυνάμεως ἀποτρεπτικόν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πάντων τῶν χρῃζόντων τῆς παρὰ τοῦ Θεοῦ βοηθείας καὶ ἀντιλήψεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως, διὰ τῆς ὁμουσίου Τριάδος, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν ἀναδείξῃ ἡμᾶς υἱοὺς καὶ κληρονόμους τῆς Βασιλείας αὐτοῦ, διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

**Ὁ Ἱερεὺς ἐκφώνως·**

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις. **κ.τ.λ.**

**Εἶτα λέγει τὴν Εὐχὴν ταύτην** (*). Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ, καὶ θαυμαστὸς τοῖς ἔργοις, ὁ πάσης ὁρατῆς τε καὶ ἀοράτου κτίσεως δημιουργός· ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε καὶ τηροῦσι τὰ σὰ προστάγματα· ὁ πάντων τῶν ἐν ἀνάγκαις ἐλεεινὰ προσδεχόμενος δάκρυα· διὰ γὰρ τοῦτο παραγέγονας ἐν δούλου μορφῇ, οὐ φάσμασιν ἡμᾶς ἐκδειματούμενος, ἀλλ' ὑγείαν τῷ σώματι ἀληθῆ ὀρέγων, καὶ λέγων· Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε· ἀλλὰ καὶ ἐκ πηλοῦ ζῶντας ὀφθαλμοὺς εἰργάσω, καὶ, νίψασθαι κελεύσας, τὸ φῶς οἰκῆσαι παρεσκεύασας λόγῳ· ὁ τὰς τῶν ἐναντίων παθῶν σπιλάδας ταράττων, καὶ τὴν τοῦ βίου τούτου ἁλμυρὰν θάλασσαν καταστείλας, καὶ τὰ ἀχθηφόρα τῶν ἡδονῶν κατευνάσας κύματα· αὐτὸς οὖν, φιλάνθρωπε Βασιλεῦ, ὁ δοὺς ἡμῖν χιονοφεγγόφωτον φορέσαι στολὴν ἐξ ὕδατος καὶ πνεύματος, διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ τὴν σὴν εὐλογίαν ἡμῖν κατάπεμψον, τὸν ῥύπον τῶν παθῶν ἀποσμήχουσαν. Ναὶ, Δέσποτα, δεόμεθα·

(*) Ἡ παροῦσα Εὐχὴ ἐν πολλαῖς διαφέρει τῆς ἐν τῷ Χειρογράφῳ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐπίσκεψαι ἡμῶν, Ἀγαθὲ, τὴν ἀσθένειαν, καὶ ἴασαι ἡμῶν τὰς νόσους ψυχῆς τε καὶ σώματος, τῷ ἐλέει σου· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννȣ· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ οἰκȣμενικῶν Διδασκάλων, Βασιλείου τȣ̃ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν Ἀθανασίου καὶ Κυρίλλȣ, Πατριαρχῶν Ἀλεξανδρείας· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Σπυρίδωνος Τριμυθοῦντος, τοῦ Θαυματουργοῦ· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, Ἐπισκόπου Μύρων τῆς Λυκίας, τοῦ Θαυματουργȣ̃· τοῦ ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου· τȣ̃ ἁγίȣ καὶ ἐνδόξȣ Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου· τῶν ἁγίων καὶ καλλινίκων Μαρτύρων· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τῶν ἁγίων, ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Μωκίου καὶ Ἀνικήτȣ, Θαλλελαίου καὶ Τρύφωνος· τοῦ Ἁγίου (τοῦδε), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων. Καὶ φύλαττε, Κύριε, τοὺς δȣ́λους σου τοὺς πιϛοὺς Βασιλεῖς ἡμῶν (ἐκ γ΄.)· χάρισαι αὐτοῖς ψυχῆς καὶ σώματος τὴν ὑγείαν, καὶ τῇ δουλικῇ σου ταύτῃ τῶν Χριϛιανῶν πολιτείᾳ ποίησον κατὰ πάντα ἐπιεικεῖς. Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς Ὀρθοδόξων τῶν ὀρθοτομȣ́ντων τὸν λόγον τῆς σῆς ἀληθείας, καὶ παντὸς Ἱερατικοῦ καὶ Μοναχικοῦ τάγματος, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς· τῶν διακονȣ́ντων ἀδελφῶν ἡμῶν τῶν περιεϛώτων· τῶν δι' εὐλόγȣς αἰτίας ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν· τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Μνήσθητι, Κύριε, τῶν ἐν αἰχμαλωσίᾳ καὶ θλίψεσιν ἀδελφῶν ἡμῶν, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ μέγα σȣ ἔλεος, πάσης ἀνάγκης

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ρυόμενος. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ... ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ.

Καὶ λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην μυστικῶς·

Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν. Ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος, καὶ ἁγιάσας τὰ ὕδατα, εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τῶν ἑαυτῶν αὐχένων σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου, διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ· καὶ γενέσθω ἡμῖν, Κύριε, εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος.

Ἐκφώνως·

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα, λαβὼν τὸν τίμιον Σταυρόν, εὐλογεῖ τὰ ὕδατα ἐκ τρίτου, κατάγων καὶ ἀνάγων αὐτὸν ὄρθιον, καὶ ψάλλων τό, **Σῶσον Κύριε τὸν Λαόν σου.** (Ἐκ γ'.)

Εἶτα ῥαντίζων σταυροειδῶς, λέγει τὸ παρὸν

Τροπάριον. Ἦχος β'.

Τῶν σῶν δωρεῶν, ἀξίους ἡμᾶς ποίησον Θεοτόκε Παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα, τοῖς ἐν πίστει λαμβάνουσι, τὴν εὐλογίαν σου Ἄχραντε.

Εἶτα ἀσπάζεται ὁ Ἱερεὺς τὸν τίμιον Σταυρόν· ὡσαύτως καὶ πᾶς ὁ λαός. Εἶθ' οὕτω ῥαντίζει πάντα τὸν λαόν, καὶ τὴν Μονὴν μετὰ τοῦ Ἁγιάσματος.

Ὁ δὲ Χορὸς ψάλλει τὸ παρὸν Τροπάριον, ὅπερ καὶ πολλάκις λέγεται, μέχρι τῆς ἀποῤῥαντίσεως, δηλονότι. Ἦχος δ'.

Πηγὴν ἰαμάτων ἔχοντες, ἅγιοι Ἀνάργυροι, τὰς ἰάσεις παρέχετε πᾶσι τοῖς δεομένοις, ὡς μεγίστων δωρεῶν ἀξιω-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

θέντες, παρὰ τῆς ἀενάου πηγῆς τοῦ Σωτῆρος Χριστοῦ. Φησὶ γὰρ πρὸς ὑμᾶς ὁ Κύριος, ὡς ὁμοζήλους τῶν Ἀποςόλων· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν, κατὰ πνευμάτων ἀκαθάρτων, ὥςε αὐτὰ ἐκβάλλειν, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Διὸ τοῖς προστάγμασιν αὐτοῦ καλῶς πολιτευσάμενοι, δωρεὰν ἐλάβετε, δωρεὰν παρέχετε, ἰατρεύοντες τὰ πάθη τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προςασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι. Σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Καὶ τό, Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου.

Ὁ Διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεός.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας.

Ὁ Ἱερεύς· Ἐπάκουσον ἡμῶν, ὁ Θεός.

Καὶ ποιεῖ Ἀπόλυσιν.

---

## ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ ΕΙΣ ΤΟ ΓΕΝΕΣΘΑΙ ΑΡΧΙΔΙΑΚΟΝΟΝ, Η ΜΕΓΑΝ ΟΙΚΟΝΟΜΟΝ, Η ΠΡΩΤΟΠΡΕΣΒΥΤΕΡΟΝ.

Αὗται αἱ Χειροτονίαι, αἱ ἔξω τοῦ Βήματος, γίνονται οὕτω· Προσφέρεται ὁ χειροτονούμενος, κελεύοντες αὐτὸν, καὶ λέγοντες τό· Κέλευσον, κελεύσατε· κέλευσον, Δέσποτα ἅγιε, τὸν σοὶ προσφερόμενον.

Ὁ δὲ Πατριάρχης, φορῶν Ἐπιτραχήλιον καὶ Ὠμοφόριον, λέγει·

Ἡ Μετριότης ἡμῶν, διὰ τῆς χάριτος τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος, προχειρίζεταί σε Ἀρχιδιάκονον (ἢ Μέγαν Οἰκονόμον, ἢ ἄλλο τι) τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.



Καὶ εὐλογεῖ αὐτὸν, λεγόντων τῶν παρόντων τό, Εἰς πολλὰ ἔτη, Δέσποτα.

Εἰδὲ Μητροπολίτης ἐστὶν ὁ χειροτονῶν, λέγει·

Ἡ Ταπεινότης ἡμῶν, διὰ τῆς χάριτος τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος, προχειρίζεταί σε Ἀρχιδιάκονον τῆς καθ' ἡμᾶς Μητροπόλεως, (ἢ Οἰκονόμον, ἢ ἄλλο τι).

Καὶ εὐλογεῖ αὐτὸν ἐπὶ κεφαλῆς, καὶ οὐδέν τι πλέον.

Εἰ βούλοιτο δὲ ὁ Ἀρχιερεὺς, λεγέτω καὶ τὰς ἑξῆς Εὐχὰς, μόνον ἐπιθεὶς αὐτῷ τὴν χεῖρα.

Καὶ ἐπὶ μὲν τοῦ Ἀρχιδιακόνου, λεγέτω τὴν Εὐχὴν ταύτην μεγαλοφώνως.

Δέσποτα, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν Ἀρχιδιακονίαν τῷ γένει ἡμῶν, τῇ ἀφάτῳ σου προμηθείᾳ δωρησάμενος, τοὺς αὐτὴν ἐνδυσαμένους διατάττειν, καὶ διακονεῖν ἐν τοῖς ὑποβεβηκόσιν ὑπουργοῖς τῶν Θείων σου Μυστηρίων· αὐτὸς ἔνδυσον τὴν χάριν ταύτην τῆς Ἀρχιδιακονίας τὸν παρόντα δοῦλόν σου, τὸν Ἀδελφὸν ἡμῶν (τὸν δεῖνα)· καὶ κατακόσμησον αὐτὸν τῇ σεμνότητί σου, ἐν ἀρχῇ ἵστασθαι τῶν Διακόνων τοῦ λαοῦ σου, καὶ ὑπόδειγμα καλὸν αὐτὸν γενέσθαι τοῖς μετέπειτα· καὶ ποίησον ἐν γήρει πίονι φθάσαι, καὶ δοξάζειν τὸ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐπὶ δὲ Μεγάλου Οἰκονόμου λεγέτω τὴν Εὐχὴν ταύτην, ὁμοίως.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ πάντα σοφῶς οἰκονομῶν, καὶ τῇ κατὰ σάρκα σου οἰκονομίᾳ τὴν σωτηρίαν ἡμῶν ἐργασάμενος· ὁ τὸν φρόνιμον οἰκονόμον καλῶς οἰκονομήσαντα, ὡς Οἰκοδεσπότης, ἐπαινέσας· εὐλόγησον καὶ τὸν παρόντα δοῦλόν σου (τὸν δεῖνα) εἰς Οἰκονόμον· καὶ ἐνδυνάμωσον αὐτὸν καὶ ἐνίσχυσον, πρὸς τὸ πιστῶς, καὶ φρονίμως, καὶ εὐαρέστως σοι οἰκονομεῖν τὰ τῆς Ἐκκλησίας πράγματά τε καὶ χρήματα, ὅπως, οὕτω ποιήσας καὶ οὕτω διακονήσας, ἀξιωθῇ τῆς χαρᾶς τῶν τὰ τάλαντα καλῶς διακονησάντων· ἀποφύγῃ δὲ τῆς φευκτῆς ἐντροπῆς τε καὶ κατακρίσεως τοῦ τὸ τάλαντον ὀλιγώρως καταχώσαντος δούλου πονηροῦ· εὐχαῖς καὶ πρεσβείαις τῆς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Χίου

ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου· τοῦ ἁγίου καὶ πανευφήμου Ἀποστόλου καὶ γενναίου Μάρτυρος Βαρνάβα, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομα σοῦ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐπὶ δὲ Πρωτοπρεσβυτέρου λεγέτω ταύτην·

Δέσποτα, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ τὴν Ἱερωσύνην χαρισάμενος τῷ γένει ἡμῶν, καὶ τῆς τοιαύτης δωρεᾶς καὶ τιμῆς τὴν χάριν ἡμᾶς ἐνδυσάμενος, καὶ αὐτοὺς ἱκανοὺς εὐλαβεῖς καθιστάμενος, τοῦ ἱερατικῶς διατάττειν, καὶ διακονεῖν τοὺς ὑποβεβηκότας λειτουργοὺς τῶν Μυστηρίων σου· αὐτὸς ἔνδυσον τὸν Ἀδελφὸν ἡμῶν (τὸν δεῖνα), καὶ τῇ σεμνότητι κατακόσμησον αὐτὸν, τοῦ ἐν ἀρχῇ ἵστασθαι τῶν Πρεσβυτέρων τοῦ λαοῦ σου· καὶ καλὸν ὑπόδειγμα τοῖς μετ' αὐτὸν γενέσθαι καταξίωσον, καὶ μετ' εὐλαβείας καὶ αἰδοῦς ἐν γήρει καλῷ τελέσαι τὸν βίον εὐδόκησον, καὶ πάντας ἡμᾶς, ὡς ἀγαθὸς Θεὸς, ἐλέησον. Ὅτι σὺ εἶ ὁ δοτὴρ τῆς σοφίας, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

## ΜΕΓΑΛΟΥ ΑΓΙΑΣΜΟΥ

### ΤΩΝ ΑΓΙΩΝ ΘΕΟΦΑΝΕΙΩΝ.

Μετὰ τὸ εἰπεῖν τὸν Ἱερέα τὴν Ὀπισθάμβωνον Εὐχὴν, ἐξερχόμεθα ἐν τῇ Κολυμβήθρᾳ, προπορευομένου τοῦ Ἱερέως μετὰ λαμπάδων καὶ τοῦ θυμιατοῦ· καὶ ἡμεῖς ψάλλομεν τὰ παρόντα Ἰδιόμελα.

Ἦχος πλ. δ'.

Σωφρονίου Πατριάρχου Ἱεροσολύμων.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ λέγουσα· Δεῦτε λάβετε πάντες, Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως, Πνεῦμα φόβου Θεοῦ, τοῦ ἐπιφανέντος Χριστοῦ.

Σήμερον τῶν ὑδάτων, ἁγιάζεται ἡ φύσις· καὶ ῥήγνυται ὁ Ἰορδάνης, καὶ τῶν ἰδίων ναμάτων ἐπέχει τὸ ῥεῦμα, Δεσπότην ὁρῶν ῥυπτόμενον.

Ὡς ἄνθρωπος ἐν Ποταμῷ, ἦλθες Χριστὲ Βασιλεῦ· καὶ δουλικὸν Βάπτισμα λαβεῖν, σπεύδεις ἀγαθὲ, ὑπὸ τῶν τοῦ Προδρόμου χειρῶν, διὰ τὰς ἁμαρτίας ἡμῶν φιλάνθρωπε.

Δόξα, καὶ νῦν· ὁ αὐτός.

Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου, ἦλθες Κύριε, μορφὴν δούλου λαβὼν, Βάπτισμα αἰτῶν, ὁ μὴ γνοὺς ἁμαρτίαν. Εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν· σύντρομος γέγονεν ὁ Πρόδρομος, καὶ ἐβόησε λέγων· Πῶς φωτίσει ὁ λύχνος τὸ φῶς; πῶς χειροθετήσει ὁ δοῦλος τὸν Δεσπότην; Ἁγίασον ἐμὲ καὶ τὰ ὕδατα Σωτὴρ, ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν.

Καὶ εὐθὺς τὰ Ἀναγνώσματα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. λέ. 1.

Τάδε λέγει Κύριος· Εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον. Καὶ ἐξανθήσει, καὶ ὑλοχαρήσει, καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου· καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου· καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου, καὶ τὸ ὕψος τοῦ Θεοῦ. Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα. Παρακαλέσατε, καὶ εἴπατε τοῖς ὀλιγοψύχοις τῇ διανοίᾳ· Ἰσχύσατε, καὶ μὴ φοβεῖσθε· ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος, καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων, ὅτι ἐῤῥάγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ. Καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται· ἐκεῖ ἔσται εὐφροσύνη ὀρνέων, ἐπαύλεις σειρήνων, καὶ καλάμη, καὶ ἕλη. Καὶ ἔσται ἐκεῖ ὁδὸς καθαρά, καὶ ὁδὸς ἁγία κληθήσεται· οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος, οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος· οἱ δὲ διεσπαρμένοι πορεύσονται ἐπ᾽ αὐτῆς, καὶ οὐ μὴ πλανηθῶσι. Καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν πονηρῶν θηρίων οὐ μὴ ἀναβῇ εἰς αὐτήν, οὐδὲ μὴ εὑρεθῇ ἐκεῖ· ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι, καὶ συνηγμένοι ὑπὸ Κυρίου. Καὶ ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ᾽ εὐφροσύνης καὶ ἀγαλλιάσεως, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν· ἐπὶ γὰρ τῆς κεφαλῆς αὐτῶν αἴνεσις καὶ ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλήψεται αὐτούς· ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. νέ. 1.

Τάδε λέγει Κύριος· Οἱ διψῶντες, πορεύεσθε ἐφ᾽ ὕδωρ· καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε· καὶ φάγεσθε, καὶ πίεσθε, ἄνευ ἀργυρίου καὶ τιμῆς, οἶνον, καὶ στέαρ. Ἵνα τί τιμᾶσθε ἀργυρίου ἐν οὐκ ἄρτοις, καὶ ὁ μόχθος ὑμῶν οὐκ εἰς πλησμονήν; Ἀκούσατέ μου, καὶ φάγεσθε ἀγαθά, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. Προσέχετε τοῖς ὠσὶν ὑ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μῶν, καὶ ἐπακολουθεῖτε ταῖς ὁδοῖς μου· εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν· καὶ διαθήσομαι ὑμῖν Διαθήκην αἰώνιον, τὰ ὅσια Δαυῒδ τὰ πιστά. Ἰδοὺ μαρτύριον ἐν ἔθνεσιν ἔδωκα αὐτὸν ἄρχοντα καὶ προστάσσοντα ἐν ἔθνεσιν. Ἰδοὺ ἔθνη, ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε· καὶ λαοὶ οἳ οὐκ ἐπίστανταί σε, ἐπὶ σὲ καταφεύξονται, ἕνεκεν Κυρίου τοῦ Θεοῦ σου, καὶ τοῦ Ἁγίου Ἰσραὴλ, ὅτι ἐδόξασέ σε. Ζητήσατε τὸν Κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν, ἐπικαλέσασθε· ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ· καὶ ἐπιστράφητε πρὸς Κύριον, καὶ ἐλεηθήσεσθε, καὶ κράξεσθε, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. Οὐ γάρ εἰσιν αἱ βουλαί μου, ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδ' ὥσπερ αἱ ὁδοὶ ὑμῶν, αἱ ὁδοί μου, λέγει Κύριος. Ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. Ὡς γὰρ ἂν καταβῇ ὑετὸς, ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ, καὶ οὐ μὴ ἀποστραφῇ, ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ, καὶ ἐκβλαστήσῃ, καὶ δῷ σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν· οὕτως ἔσται τὸ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ πρός με κενὸν, ἕως ἂν τελεσθῇ ὅσα ἂν ἠθέλησα, καὶ εὐοδώσω τὰς ὁδούς μου, καὶ τὰ ἐντάλματά μου. Ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε, καὶ ἐν χαρᾷ διδαχθήσεσθε· τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται, προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις. Καὶ ἀντὶ τῆς στοιβῆς, ἀναβήσεται κυπάρισσος, ἀντὶ δὲ τῆς κονίζης, ἀναβήσεται μυρσίνη· καὶ ἔσται Κυρίῳ εἰς ὄνομα, καὶ εἰς σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. ιβ'. 3.

Τάδε λέγει Κύριος· Ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ὑμνεῖτε τὸν Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ, μιμνήσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ὑμνήσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σεν· ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. Ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε, οἱ κατοικοῦντες Σιών· ὅτι ὑψώθη ὁ Ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς.

Εἶτα, Προκείμενον. Ἦχος γ΄.

Κύριος φωτισμός μου καὶ σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους α΄. Ἐπιστολῆς Παύλου.

Κεφ. ί. 1.

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ Πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον. Καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ. Καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον. Καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

Ἀλληλούϊα. Ἦχος δ΄.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

Στίχ. Ὁ Θεὸς τῆς δόξης ἐβρόντησεν ἐπὶ ὑδάτων.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. α΄. 9.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς οὐρανούς, καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ᾽ αὐτόν. Καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν· Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.

Καὶ εὐθὺς ὁ Διάκονος τὰ Εἰρηνικά.

Ἐν ὅσῳ δὲ λέγονται ταῦτα ὑπὸ τοῦ Διακόνου, ὁ Ἱερεὺς λέγει μυστικῶς τὴν ἑξῆς Εὐχήν· Κύριε, Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Υἱός, κ.τ.λ. σελ. 346.

Εἰρηνικά.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.



Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως καὶ εὐσεβείας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενηθῆναι τὸ ὕδωρ τοῦτο, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, εἰς ἴασιν ψυχῆς καὶ σώματος, καὶ πρὸς πᾶσαν ὠφέλειαν ἐπιτήδειον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ, ὕδωρ ἀλλόμενον εἰς ζωὴν αἰώνιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸ ἀποτρόπαιον πάσης ἐπιβουλῆς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἀντλούντων καὶ ἀρυομένων εἰς ἁγιασμὸν οἴκων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων πᾶσι τοῖς ἀρυομένοις πίστει, καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς ἐμπλησθῆναι ἁγιασμοῦ διὰ τῆς τῶν ὑδάτων τούτων μεταλήψεως, τῇ ἀοράτῳ ἐπιφανείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς τὴν Εὐχὴν μυστικῶς·

Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὁ ἀληθινὸς Θεός, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ φῶς τὸ ἐκ τοῦ φωτός, ὁ ἐλθὼν εἰς τὸν κόσμον τοῦ φωτίσαι αὐτόν, καταύγασον ἡμῶν τὴν διάνοιαν τῷ Ἁγίῳ σου Πνεύματι, καὶ πρόσδεξαι ἡμᾶς, μεγαλωσύνην καὶ εὐχαριστίαν σοι προσάγοντας, ἐπὶ τοῖς ἀπ' αἰῶνος θαυμαστοῖς σου μεγαλουργήμασι, καὶ τῇ ἐπ' ἐσχάτων τῶν αἰώνων σωτηρίῳ σου οἰκονομίᾳ. Ἐν ᾗ τὸ ἀσθενὲς ἡμῶν καὶ πτωχὸν περιβαλλόμενος φύραμα, καὶ τοῖς τῆς δουλείας μέτροις συγκατιών, ὁ τῶν ἁπάντων Βασιλεύς, ἔτι καὶ δουλικῇ χειρὶ ἐν τῷ Ἰορδάνῃ βαπτισθῆναι κατεδέξω, ἵνα τὴν τῶν ὑδάτων φύσιν ἁγιάσας, ὁ ἀναμάρτητος, ὁδοποιήσῃς ἡμῖν τὴν δι' ὕδατος καὶ Πνεύματος ἀναγέννησιν, καὶ πρὸς τὴν πρώτην ἡμᾶς ἀποκαταστήσῃς ἐλευθερίαν. Οὗ τινος θείου Μυστηρίου τὴν ἀνάμνησιν ἑορτάζοντες, δεόμεθά σου, Δέσποτα φιλάνθρωπε· Ῥᾶνον καὶ ἐφ' ἡμᾶς τοὺς ἀναξίους δούλους σου, κατὰ τὴν θείαν σου ἐπαγγελίαν, ὕδωρ καθάρσιον, τῆς σῆς εὐσπλαγχνίας τὴν δωρεάν, εἰς τὸ τὴν ἐπὶ τῷ ὕδατι τούτῳ αἴτησιν ἡμῶν τῶν ἁμαρτωλῶν εὐπρόσδεκτον γενέσθαι τῇ σῇ ἀγαθότητι, καὶ τὴν εὐλογίαν σου δι' αὐτοῦ ἡμῖν τε καὶ παντὶ τῷ πιστῷ σου χαρισθῆναι. Δαῷ εἰς δόξαν



τοῦ ἁγίου καὶ προσκυνητοῦ σου Ὀνόματος. Σοὶ γὰρ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ εἰπὼν καθ' ἑαυτὸν τό, Ἀμήν, τοῦ Διακόνου ἤδη πεπληρωκότος τὴν Συναπτήν, ἄρχεται ὁ Ἱερεὺς μεγαλοφώνως τῆς Εὐχῆς ταύτης (*).

Ποίημα Σωφρονίου Πατριάρχου Ἱεροσολύμων.

Τριὰς ὑπερούσιε, ὑπεράγαθε, ὑπέρθεε, παντοδύναμε, πανεπίσκοπε, ἀόρατε, ἀκατάληπτε, δημιουργὲ τῶν νοερῶν οὐσιῶν καὶ τῶν λογικῶν φύσεων, ἡ ἔμφυτος ἀγαθότης, τὸ φῶς τὸ ἀπρόσιτον, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, λάμψον κἀμοὶ τῷ ἀναξίῳ δούλῳ σου· φώτισόν μου τῆς διανοίας τὰ ὄμματα, ὅπως ἀνυμνῆσαι τολμήσω τὴν ἄμετρον εὐεργεσίαν καὶ δύναμιν. Εὐπρόσδεκτος γενέσθω ἡ παρ' ἐμοῦ δέησις, διὰ τὸν παρεστῶτα λαόν, ὅπως τὰ πλημμελήματά μου μὴ κωλύσωσιν ἐνθάδε παραγενέσθαι τὸ Ἅγιόν σου Πνεῦμα· ἀλλὰ συγχώρησόν μοι ἀκατακρίτως βοᾷν σοι, καὶ λέγειν καὶ νῦν, Ὑπεράγαθε· Δοξάζομέν σε, Δέσποτα φιλάνθρωπε, παντοκράτορ, προαιώνιε Βασιλεῦ. Δοξάζομέν σε τὸν κτίστην καὶ δημιουργὸν τοῦ παντός. Δοξάζομέν σε, Υἱὲ τοῦ Θεοῦ μονογενές, τὸν ἀπάτορα ἐκ Μητρός, καὶ ἀμήτορα ἐκ Πατρός· ἐν γὰρ τῇ προλαβούσῃ Ἑορτῇ νήπιόν σε εἴδομεν· ἐν δὲ τῇ παρούσῃ, τέλειόν σε ὁρῶμεν, τὸν ἐκ τελείου τέλειον ἐπιφανέντα Θεὸν ἡμῶν. Σήμερον γὰρ ὁ τῆς Ἑορτῆς ἡμῖν ἐπέστη καιρός, καὶ χορὸς Ἁγίων ἐκκλησιάζει ἡμῖν, καὶ Ἄγγελοι μετὰ ἀνθρώπων συνεορτάζουσι. Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ἐν εἴδει περιστερᾶς, τοῖς ὕδασιν ἐπεφοίτησε. Σήμερον ὁ ἄδυτος Ἥλιος ἀνέτειλε, καὶ ὁ κόσμος τῷ φωτὶ Κυρίου καταυγάζεται. Σήμερον ἡ σελήνη λαμπραῖς ταῖς ἀκτῖσι τῷ κόσμῳ συνεκλαμπρύνεται. Σήμερον οἱ φωτοειδεῖς ἀστέρες τῇ

(*) Ἡ παροῦσα Εὐχὴ ἀναγινώσκεται μὲν παρά τισιν· ἐν δὲ τῇ μεγάλῃ Ἐκκλησίᾳ καὶ τῷ ἁγίῳ Ὄρει οὐ λέγεται. Σὺ δέ, εἰ οὐ βούλῃ, μετάβηθι εὐθὺς μετὰ τὴν Ἐκφώνησιν εἰς τό, Μέγας εἶ, Κύριε.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

φαιδρότητι τῆς λάμψεως τὴν οἰκουμένην καλλωπίζουσι. Σήμερον αἱ νεφέλαι ὑετὸν δικαιοσύνης τῇ ἀνθρωπότητι οὐρανόθεν δροσίζουσι. Σήμερον ὁ ἄκτιστος ὑπὸ τοῦ ἰδίου πλάσματος βουλῇ χειροθετεῖται. Σήμερον ὁ Προφήτης καὶ Πρόδρομος τῷ Δεσπότῃ προσέρχεται, ἀλλὰ τρόμῳ παρίσταται, ὁρῶν Θεοῦ πρὸς ἡμᾶς συγκατάβασιν. Σήμερον τὰ τοῦ Ἰορδάνου νάματα, εἰς ἰάματα μεταποιεῖται, τῇ τοῦ Κυρίου παρουσίᾳ. Σήμερον ῥείθροις μυστικοῖς πᾶσα ἡ κτίσις ἀρδεύεται. Σήμερον τὰ τῶν ἀνθρώπων πταίσματα τοῖς ὕδασι τοῦ Ἰορδάνου ἀπαλείφονται. Σήμερον ὁ Παράδεισος ἠνέῳκται τοῖς ἀνθρώποις, καὶ ὁ τῆς δικαιοσύνης Ἥλιος καταυγάζει ἡμῖν. Σήμερον τὸ πικρὸν ὕδωρ, τὸ ἐπὶ Μωϋσέως, τῷ λαῷ εἰς γλυκύτητα μεταποιεῖται, τῇ τοῦ Κυρίου παρουσίᾳ. Σήμερον τοῦ παλαιοῦ θρήνου ἀπηλλάγημεν, καὶ ὡς νέος Ἰσραὴλ διεσώθημεν. Σήμερον τοῦ σκότους ἐλυτρώθημεν, καὶ τῷ φωτὶ τῆς θεογνωσίας καταυγαζόμεθα. Σήμερον ἡ ἀχλὺς τοῦ κόσμου καθαίρεται, τῇ ἐπιφανείᾳ τοῦ Θεοῦ ἡμῶν. Σήμερον λαμπαδοφεγγεῖ πᾶσα ἡ κτίσις ἄνωθεν. Σήμερον ἡ πλάνη κατήργηται, καὶ ὁδὸν ἡμῖν σωτηρίας ἐργάζεται ἡ τοῦ Δεσπότου ἐπέλευσις. Σήμερον τὰ ἄνω τοῖς κάτω συνεορτάζει, καὶ τὰ κάτω τοῖς ἄνω συνομιλεῖ. Σήμερον ἡ ἱερὰ καὶ μεγαλόφωνος τῶν Ὀρθοδόξων πανήγυρις ἀγάλλεται. Σήμερον ὁ Δεσπότης πρὸς τὸ Βάπτισμα ἐπείγεται, ἵνα ἀναβιβάσῃ πρὸς ὕψος τὸ ἀνθρώπινον. Σήμερον ὁ ἀκλινὴς τῷ ἰδίῳ οἰκέτῃ ὑποκλίνεται, ἵνα ἡμᾶς ἐκ τῆς δουλείας ἐλευθερώσῃ. Σήμερον Βασιλείαν οὐρανῶν ὠνησάμεθα· τῆς γὰρ Βασιλείας τοῦ Κυρίου οὐκ ἔσται τέλος. Σήμερον γῆ καὶ θάλασσα τὴν τοῦ κόσμου χαρὰν ἐμερίσαντο, καὶ ὁ κόσμος εὐφροσύνης πεπλήρωται. Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν. Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, θεασάμενος τὸ πῦρ τῆς Θεότητος, σωματικῶς κατερχόμενον, καὶ εἰσερχόμενον ἐπ' αὐτόν. Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, θεωρῶν τὸ Πνεῦμα τὸ Ἅγιον ἐν εἴδει περιστερᾶς κατερχόμενον, καὶ περιϊπτάμενόν σοι. Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, ὁρῶν τὸν ἀόρατον ὁραθέντα, τὸν Κτίστην σαρκωθέντα, τὸν Δεσπότην ἐν δούλου μορφῇ. Ὁ Ἰορδάνης ἐστράφη

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

εἰς τὰ ὀπίσω, καὶ τὰ ὄρη ἐσκίρτησαν, Θεὸν ἐν σαρκὶ καθορῶντα· καὶ νεφέλαι φωνὴν ἔδωκαν, θαυμάζουσι τὸν παραγενόμενον, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· αὐτὸν δὲ τὸν τῆς παρακοῆς θάνατον, καὶ τὸ τῆς πλάνης κέντρον, καὶ τὸν τοῦ Ἅδου σύνδεσμον ἐν τῷ Ἰορδάνῃ βυθίσαντα, καὶ Βάπτισμα σωτηρίας τῷ κόσμῳ δωρησάμενον. Ὅθεν κἀγὼ ὁ ἁμαρτωλὸς καὶ ἀνάξιος δοῦλός σου, τὰ μεγαλεῖα τῶν θαυμάτων σου διηγούμενος, συνεχόμενος φόβῳ, ἐν κατανύξει βοῶ σοι.

Μετὰ δὲ τὴν συμπλήρωσιν, λέγει γεγονωτέρᾳ φωνῇ·

Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου. (ἐκ γ΄.) Σὺ γὰρ βουλήσει ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, τῷ σῷ κράτει συνέχεις τὴν κτίσιν, καὶ τῇ σῇ προνοίᾳ διοικεῖς τὸν κόσμον. Σὺ ἐκ τεσσάρων στοιχείων τὴν κτίσιν συναρμόσας, τέτταρσι καιροῖς τὸν κύκλον τοῦ ἐνιαυτοῦ ἐστεφάνωσας. Σὲ τρέμουσιν αἱ νοεραὶ πᾶσαι Δυνάμεις· σὲ ὑμνεῖ ἥλιος· σὲ δοξάζει σελήνη· σοὶ ἐντυγχάνει τὰ ἄστρα· σοὶ ὑπακούει τὸ φῶς· σὲ φρίττουσιν ἄβυσσοι· σοὶ δουλεύουσιν αἱ πηγαί. Σὺ ἐξέτεινας τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν· σὺ ἐστερέωσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων· σὺ περιετείχισας τὴν θάλασσαν ψάμμῳ· σὺ πρὸς ἀναπνοὰς τὸν ἀέρα ἐξέχεας. Ἀγγελικαὶ Δυνάμεις σοὶ λειτουργοῦσιν· οἱ τῶν Ἀρχαγγέλων χοροὶ σὲ προσκυνοῦσι· τὰ πολυόμματα Χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ, κύκλῳ ἑστῶτα καὶ περιϊπτάμενα, φόβῳ τῆς ἀπροσίτου σου δόξης, κατακαλύπτεται. Σὺ γὰρ, Θεὸς ὢν ἀπερίγραπτος, ἄναρχός τε καὶ ἀνέκφραστος, ἦλθες ἐπὶ τῆς γῆς, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· οὐ γὰρ ἔφερες, Δέσποτα, διὰ σπλάγχνα ἐλέους σου, θεᾶσθαι ὑπὸ τοῦ διαβόλου τυραννούμενον τὸ γένος τῶν ἀνθρώπων, ἀλλ᾿ ἦλθες, καὶ ἔσωσας ἡμᾶς. Ὁμολογοῦμεν τὴν χάριν, κηρύττομεν τὸν ἔλεον, οὐ κρύπτομεν τὴν εὐεργεσίαν· τὰς τῆς φύσεως ἡμῶν γονὰς ἠλευθέρωσας· παρθενικὴν ἡγίασας μήτραν τῷ τόκῳ σου· πᾶσα ἡ κτίσις ὕμνησέ σε ἐπιφανέντα. Σὺ γὰρ, ὁ Θεὸς ἡμῶν, ἐπὶ τῆς γῆς ὤφθης, καὶ τοῖς ἀνθρώποις συνανεστράφης. Σὺ καὶ τὰ Ἰορδάνεια ῥεῖθρα ἡγίασας, οὐρανόθεν καταπέμψας

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τὸ πανάγιόν σου Πνεῦμα, καὶ τὰς κεφαλὰς τῶν ἐκεῖσε ἐμφωλευόντων συνέτριψας δρακόντων. Αὐτὸς οὖν, φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν, διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σου Πνεύματος, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο (ἐκ γ΄.)· καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου. Ποίησον αὐτὸ ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξιτήριον, δαίμοσιν ὀλέθριον, ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον, ἀγγελικῆς ἰσχύος πεπληρωμένον. Ἵνα πάντες οἱ ἀρυόμενοι καὶ μεταλαμβάνοντες ἔχοιεν αὐτὸ πρὸς καθαρισμὸν ψυχῶν τε καὶ σωμάτων, πρὸς ἰατρείαν παθῶν, πρὸς ἁγιασμὸν οἴκων, πρὸς πᾶσαν ὠφέλειαν ἐπιτήδειον. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ δι' ὕδατος καὶ Πνεύματος ἀνακαινίσας τὴν παλαιωθεῖσαν φύσιν ὑπὸ τῆς ἁμαρτίας. Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ δι' ὕδατος κατακλύσας ἐπὶ τοῦ Νῶε τὴν ἁμαρτίαν. Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ διὰ θαλάσσης ἐλευθερώσας ἐκ τῆς δουλείας Φαραώ, διὰ Μωϋσέως, τὸ γένος τῶν Ἑβραίων. Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ διαῤῥήξας πέτραν ἐν ἐρήμῳ, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν, καὶ διψῶντα τὸν Λαόν σου κορέσας. Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ δι' ὕδατος καὶ πυρὸς, διὰ τοῦ Ἠλιού, ἀπαλλάξας τὸν Ἰσραὴλ ἐκ τῆς πλάνης τοῦ Βάαλ. Αὐτὸς καὶ νῦν, Δέσποτα, ἁγίασον τὸ ὕδωρ τοῦτο, τῷ Πνεύματί σου τῷ Ἁγίῳ. (ἐκ γ΄.) Δὸς πᾶσι τοῖς τε ἁπτομένοις, τοῖς τε χριομένοις (*), τοῖς τε μεταλαμβάνουσι τὸν ἁγιασμόν, τὴν εὐλογίαν, τὴν κάθαρσιν, τὴν ὑγείαν. Καὶ σῶσον, Κύριε, τοὺς δούλους σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν. (ἐκ γ΄.) Καὶ φύλαξον αὐτοὺς ὑπὸ τὴν σκέπην σου ἐν εἰρήνῃ· ὑπόταξον ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον· χάρισαι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον. Μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), καὶ παντὸς τοῦ Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς Ἱερατικοῦ τάγματος, καὶ τοῦ περιεστῶτος Λαοῦ, καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων ἀδελφῶν ἡμῶν, καὶ

(*) Τὸ Χειρόγραφον ἐν μὲν τῇ Εὐχῇ, κεχρημένοις· ἐν δὲ τοῖς Εἰρηνικοῖς, χρωμένοις.



ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ μέγα σου ἔλεος. Ἵνα καὶ διὰ στοιχείων, καὶ διὰ Ἀγγέλων, καὶ διὰ ἀνθρώπων, καὶ διὰ ὁρωμένων, καὶ διὰ ἀοράτων δοξάζηταί σου τὸ πανάγιον ὄνομα, σὺν τῷ Πατρί, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν.

Καὶ ἡ Εὐχὴ παρὰ τοῦ Ἱερέως μυστικῶς·

Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν· Ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος, καὶ ἁγιάσας τὰ ὕδατα, εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τῶν ἑαυτῶν αὐχένων σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου, διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ· καὶ γενέσθω ἡμῖν, Κύριε, εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος.

Ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐθύς, εὐλογῶν τὰ ὕδατα σταυροειδῶς, βαπτίζει τὸν τίμιον Σταυρόν, ὄρθιον αὐτὸν κατάγων ἐν τῷ ὕδατι καὶ ἀνάγων, ψάλλων καὶ τὸ παρὸν

Τροπάριον. Ἦχος α΄.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας, δόξα σοι.

(Ἐκ τρίτου.)

Καὶ ῥαντίζει πάντα τὸν Λαόν, ἐκ τοῦ ὕδατος. Εἰσερχόμενοι δὲ ἐν τῷ Ναῷ, ψάλλομεν τὸ παρὸν Ἰδιόμελον, εἰς Ἦχον πλ. β΄.

Ἀνυμνήσωμεν οἱ πιστοί, τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ οἰκονομίας τὸ μέγεθος· ἐν γὰρ τῷ ἡμῶν παραπτώματι, γενόμενος ἄνθρωπος, τὴν ἡμῶν κάθαρσιν καθαίρεται ἐν τῷ Ἰορ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

δάνη, ὁ μόνος καθαρὸς καὶ ἀκήρατος, ἁγιάζων ἐμὲ καὶ τὰ ὕδατα, καὶ τὰς κεφαλὰς τῶν δρακόντων, συντρίβων ἐπὶ τοῦ ὕδατος. Ἀντλήσωμεν οὖν ὕδωρ, μετ' εὐφροσύνης ἀδελφοί· ἡ γὰρ χάρις τοῦ Πνεύματος, τοῖς πιστῶς ἀντλοῦσιν, ἀοράτως ἐπιδίδοται, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Εἶτα ὁ Ψαλμός, Εὐλογήσω τὸν Κύριον· καὶ δίδοται τὸ κατακλαστόν· καὶ γίνεται τελεία Ἀπόλυσις.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΘΕΙΟΥ ΚΑΙ ΙΕΡΟΥ ΝΙΠΤΗΡΟΣ.

Μετὰ τὴν Ὀπισθάμβωνον Εὐχήν, ἐξέρχεται ὁ Ἱερεύς, καθώς ἐστιν ἠλλαγμένος, μετὰ λαμπάδων καὶ θυμιατοῦ, ἔξω τῶν μεγάλων πυλῶν τοῦ Ναοῦ, τῆς λεκάνης τοῦ Νιπτῆρος εὐτρεπισθείσης παρὰ τοῦ Ἐκκλησιάρχου. Ταχθέντων δὲ Ἀδελφῶν ιβ'. τῶν μελλόντων νιφθῆναι παρὰ τῷ Προεστῶτος, ἐφ' ὧν ἐπάναγκες εἶναι τόν τε Πυλωρὸν καὶ τὸν Οἰκονόμον, συνεξερχόμεθα πάντες τῷ Ἱερεῖ, ψάλλοντες τὸν Ν'. Καὶ μετὰ τὴν τούτου συμπλήρωσιν, λέγομεν ἐκ τοῦ Κανόνος τῆς μεγάλης Πέμπτης τὴν ε'. Ὠδήν.

Ὠδὴ ε'. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

Τῷ συνδέσμῳ τῆς ἀγάπης, συνδεόμενοι οἱ Ἀπόστολοι, τῷ δεσπόζοντι τῶν ὅλων, ἑαυτοὺς Χριστῷ ἀναθέμενοι, ὡραίους πόδας ἐξαπενίζοντο, εὐαγγελιζόμενοι πᾶσιν εἰρήνην.

Τροπάριον.

Ἡ τὸ ἄσχετον κρατοῦσα, καὶ ὑπερῷον ἐν αἰθέρι ὕδωρ, ἡ ἀβύσσους χαλινοῦσα, καὶ θαλάσσας ἀναχαιτίζουσα, Θεοῦ σοφία, ὕδωρ Νιπτῆρι βάλλει, πόδας ἀποπλύνει δὲ δούλων Δεσπότης.

Μαθηταῖς ὑποδεικνύει, ταπεινώσεως ὁ Δεσπότης τύπον· ὁ νεφέλαις δὲ τὸν πόλον περιβάλλων, ζώννυται λέντιον, καὶ κάμπτει γόνυ, δούλων ἐκπλῦναι πόδας· οὗ ἐν τῇ χειρὶ πνοὴ πάντων τῶν ζώντων.



Εἶτα ψάλλομεν τὰ Στιχηρὰ Ἰδιόμελα τοῦ Νιπτῆρος, Ἦχος α'.

Ὁ λεντίῳ ζωσάμενος, καὶ νίψας τοὺς πόδας τῶν Μαθητῶν, Χριστὲ ὁ Θεός, ἀπόπλυνον ἡμῶν, τῆς ψυχῆς τὸν μολυσμόν, καὶ περίζωσον ἡμᾶς συνδέσμῳ πνευματικῷ, τοῦ ποιεῖν τὰς ἐντολάς σου, καὶ ὑμνεῖν τὴν σὴν ἀγαθότητα.

Ἦχος β'.

Μεγάλης εὐεργεσίας ἀπολαύειν, μέλλοντες οἱ πιστοί, εὐλαβῶς τῷ τιμίῳ Νιπτῆρι προσδράμωμεν, οὐ σαρκὸς ῥύπον ἀποπλύνοντες, τὰς ψυχὰς δὲ μυστικῶς ἁγιάζοντες· Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐφορῶν ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, κλίνει ἑαυτόν, καὶ ἴχνῶν ἅπτεται χοϊκῶν, πάσης ἐναντίας δυνάμεως, ἀσφαλῆ δωρούμενος τὴν ἐπίβασιν. Αὐτῷ εὐχαρίστως βοήσωμεν· Ὁ ἀρίστην ὑψώσεως ὁδόν, ὑποδείξας ἡμῖν τὴν ταπείνωσιν, σῶσον ἡμᾶς Ἀγαθέ, ὡς φιλάνθρωπος.

Ἦχος ὁ αὐτός.

Ὁ Πέτρος ηὐλαβεῖτο νίψασθαι, τοὺς πόδας ἐκ τῶν ἀχράντων χειρῶν, ὑφ' ὧν ἐπλαστουργήθη ὁ Ἀδάμ· ἀκούσας δέ· Εἰ μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ· τρόμῳ πολλῷ συνεχόμενος ἐβόα σοι, Κύριε· Μὴ μόνον τοὺς πόδας μου νίψῃς, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. Ὢ μεγίστων Δεσπότου δωρεῶν! κοινωνοὺς ποιεῖται τῆς χάριτος, τοὺς ἑαυτοῦ Μαθητάς, καὶ μέρος ἔχειν μετ' αὐτῶν ἐπαγγέλλεται, εἰς τὴν ἄρρητον δόξαν, ὡς καὶ ἐν τῷ μυστικῷ ποτηρίῳ ἔφησε, καινὸν αὐτὸ πίνει, μετ' αὐτῶν ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν. Ἧς καὶ ἡμᾶς ἀξίωσον, ὡς ἐλεήμων καὶ φιλάνθρωπος. Ἦχος πλ. δ'.

Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ, ἔργον δούλου ἀνέλαβε· λέντιον διεζώσατο, ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις· ὕδωρ ἔβαλεν εἰς Νιπτῆρα, ὁ τὴν θάλασσαν τὴν ἐρυθρὰν διατεμών· καὶ κάμψας ἐπὶ τὰ γόνατα, ἤρξατο νίπτειν τοὺς πόδας τῶν Μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ, ᾧ ἦν διεζωσμένος. Ὅτε οὖν ἔνιψε τοὺς πόδας τῶν Μαθητῶν, εἶπεν αὐτοῖς· Ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες· σημαίνων τὸν παραδιδόντα αὐτόν.

Εἶτα ἡ Συναπτὴ παρὰ τοῦ Διακόνου.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὁ Χορός· Κύριε ἐλέησον. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.
Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου.
Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου.
Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν Βασιλέων.
Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης.
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων.
Ὑπὲρ τοῦ εὐλογηθῆναι καὶ ἁγιασθῆναι τὸν Νιπτῆρα τοῦτον, τῇ ἐπιφοιτήσει, καὶ δυνάμει, καὶ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ γενέσθαι αὐτὸν εἰς ἔκπλυσιν τοῦ ῥύπου τῶν πταισμάτων ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σὺ εἶ ἡ κάθαρσις τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τό, Ἀμήν, ἐπεύχεται ὁ Ἱερεὺς μεγαλοφώνως·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, καὶ Θεὲ ὑπεράγαθε, ὁ ἀπρόσιτος τῇ θεότητι, ὁ ἐν δούλου μορφῇ, ὑπηρέτου σχῆμα ἀναλαβών, καὶ εἰς ὑποτύπωσιν ταπεινώσεως σωτηρίου τοὺς τῶν Μαθητῶν σου πόδας ἀχράντοις χερσὶν ἀπονίψας, καὶ λεντίῳ ἐκμάξας· ἔπιδε καὶ νῦν ἐφ' ἡμᾶς τοὺς ἀναξίους δούλους σου, τῆς τοιαύτης σου συγκαταβάσεως μιμουμένους τὸ ὑπερένδοξον· καὶ ἀξίωσον τοὺς τῆς σαρκὸς μολυσμοὺς ἀπονίψασθαι ἡμᾶς, καὶ τὸ τῆς ψυχῆς ῥυπῶδες, διὰ τῆς τοῦ ὕδατος τούτου προσψαύσεως. Χάρισαι ἡμῖν τὴν τοῦ παναγίου σου Πνεύματος ἀόρατον ἐπιφοίτησιν· ἀσφάλισαι ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ τοῦ τηροῦντος πτέρναν ὄφεως δολερῶ· ἵνα, καθαροὶ γενόμενοι, λατρεύωμεν εὐπροσδέκτως σοι, ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ διαβαίνοντες. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ.

Ὁ Ἱερεὺς ἐπεύχεται· Τοῦ Κυρίου δεηθῶμεν.



Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ὑποδείξας ἡμῖν μέτρα ταπεινώσεως ἐν τῇ οἰκείᾳ καὶ πανυψίστῳ σου συγκαταβάσει, καὶ τὸν ἔσχατον τῇ προθέσει, πρῶτον ἀναγορεύσας· χαρίτωσον ἡμᾶς ἐν τῇ πρὸς ἀλλήλους διακονίᾳ· ὕψωσον ἡμᾶς θείᾳ ταπεινώσει· διατήρησον ἀρρυπώτους, νιπτομένους ἀεὶ δάκρυσι, καὶ καθαιρομένους τῷ φωτισμῷ τῆς καθαρτικῆς σου χάριτος· ἵνα, εἰλικρινῶς σοι πάντοτε προσπίπτοντες, εὕρωμεν ἔλεος καὶ οἰκτιρμὸν ἐν τῷ φοβερῷ σου Βήματι. Ἐκφώνως·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, κ.τ.λ.

Καὶ μετὰ τὴν Ἐκφώνησιν, λέγοντος τοῦ Ἱερέως· **Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς**, κάθηνται οἱ μέλλοντες νιφθῆναι ἐν τοῖς προετοιμασθεῖσι σκάμνοις. Καὶ τοῦ Ἱερέως ἀρχομένου λέγειν τὸ Α'. Εὐαγγέλιον τοῦ Νιπτῆρος, ἵσταται ὁ Προεστὼς, ποιῶν, ὡς περιέχει τὸ Εὐαγγέλιον. Ὅτε οὖν λέγει· **Τίθησι τὰ ἱμάτια**, ἀποτίθησι καὶ αὐτὸς τὸν Μανδύαν. Ὅτε δὲ τό, **Λαβὼν λέντιον διεζώσατο**, λαβὼν τὸ Σάββανον, ζώννυσιν ἑαυτόν. Ὅτε δέ, **Εἶτα βάλλει ὕδωρ εἰς τὸν Νιπτῆρα**, βάλλει καὶ αὐτὸς ὕδωρ χλιαρόν. Καὶ αὖθις λεγομένου τοῦ, **Καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν Μαθητῶν**, ἄρχεται καὶ αὐτὸς νίπτειν ἀπὸ τοῦ Πυλωροῦ, μέχρι τοῦ Οἰκονόμου, καὶ τοῦ Ἐκκλησιάρχου, τοὺς δώδεκα, καὶ ἐκμάσσειν ἑνὸς ἑκάστου τῶν νιπτομένων τοὺς πόδας, καὶ ἀσπάζεσθαι αὐτούς. Ὅτε δὲ ἔλθῃ εἰς τὸν Οἰκονόμον, τότε ἀναγινώσκει ὁ Ἱερεὺς τὸ λοιπὸν τοῦ Εὐαγγελίου· **Ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον, καὶ λέγει αὐτῷ ἐκεῖνος**· καὶ καθεξῆς πληροῖ τοῦ τοιούτου Εὐαγγελίου τὸ ἑπόμενον, ἀρχόμενος, **Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι**, κτλ.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου.

Κεφ. ιγ'. 3.

**Τῷ καιρῷ ἐκείνῳ, εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα δέδωκεν αὐτῷ ὁ Πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν Θεὸν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ**

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ — Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη

τίθησι τὰ ἱμάτια· καὶ λαβὼν λέντιον, διέζωσεν ἑαυτόν. Εἶτα βάλλει ὕδωρ εἰς τὸν Νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν Μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ, ᾧ ἦν διεζωσμένος. Ἔρχεται οὖν πρὸ Σίμωνα Πέτρον, καὶ λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι· γνώσῃ δὲ μετὰ ταῦτα. Λέγει αὐτῷ Πέτρος· Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες. Ἤδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο εἶπεν· Οὐχὶ πάντες καθαροί ἐστε.

Καὶ μετὰ τὴν πλήρωσιν τοῦ Εὐαγγελίου, ἀποζώννυται ὁ Ἡγούμενος τὴν σινδόνα, καὶ περιβάλλεται τὸν Μανδύαν. Καὶ σταθέντος εἰς τὸν τόπον αὐτοῦ, ἐκφωνεῖ ὁ Ἱερεύς· **Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου**, καὶ λέγει τὸ δεύτερον Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου.

Κεφ. ιγ'. 12.

Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἔνιψεν ὁ Ἰησοῦς τοὺς πόδας τῶν Μαθητῶν, καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν πάλιν, εἶπεν αὐτοῖς· Γινώσκετε τί πεποίηκα ὑμῖν; Ὑμεῖς φωνεῖτέ με· Ὁ Διδάσκαλος, καὶ ὁ Κύριος· καὶ καλῶς λέγετε· εἰμὶ γάρ. Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ Κύριος καὶ ὁ Διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. Ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα, καθὼς ἐγὼ ἐποίησα ἡμῖν, καὶ ὑμεῖς ποιῆτε. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά.

Μετὰ δὲ τὸ Εὐαγγέλιον, ὁ Ἱερεὺς λέγει τὴν Εὐχήν·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὸ πολὺ ἔλεός σου κενώσας ἑαυτὸν, καὶ μορφὴν δούλου λαβών· ὁ κατὰ τὸν καιρὸν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημοτική Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τοῦ σωτηριώδους καὶ ζωοποιοῦ σου καὶ ἑκουσίου Πάθους συνδειπνῆσαι καταξιώσας τοῖς ἁγίοις σου Μαθηταῖς καὶ Ἀποστόλοις, καὶ μετὰ τοῦτο λεντίῳ περιζώσας σεαυτὸν, καὶ νίψας τοὺς πόδας τῶν ἁγίων σου Μαθητῶν, ὑπόδειγμα ταπεινοφροσύνης καὶ ἀγάπης τῆς εἰς ἀλλήλους διδοὺς αὐτοῖς, καὶ εἰπών· Καθὼς ἐποίησα ὑμῖν, οὕτω καὶ ὑμεῖς ποιεῖτε εἰς ἀλλήλους· αὐτὸς καὶ νῦν, Δέσποτα, ἐν μέσῳ τῶν σῶν ἀναξίων δούλων, τῶν τῷ σῷ ὑποδείγματι ἐξακολουθησάντων, γενόμενος, ἀπόσμηξον πάντα σπῖλον καὶ ῥυτίδα τῶν ψυχῶν ἡμῶν· ἵνα, ἀπονιψάμενοι τὸν κολληθέντα ἡμῖν ἐκ τῶν παραπτωμάτων κονιορτὸν, καὶ τῷ λεντίῳ τῆς ἀγάπης ἐκμάξαντες, δυνηθῶμεν εὐαρεστεῖν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, καὶ εὑρεῖν χάριν ἐνώπιόν σου.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ χρίονται πάντες τὰς χεῖρας καὶ τὰ πρόσωπα ἐκ τοῦ νίμματος. Εἶτα εἰσερχόμεθα εἰς τὸν Ναὸν, ψάλλοντες τὰ παρόντα

Τροπάρια. Ἦχος πλ. β'.

Ῥυφθέντες πόδας, καὶ προκαθαρθέντες, μυστηρίου μεθέξει, τοῦ θείου νῦν Χριστὲ, σοῦ οἱ ὑπηρέται ἐκ Σιὼν Ἐλαιῶνος, μέγα πρὸς ὄρος συνανῆλθον, ὑμνοῦντές σε φιλάνθρωπε.

Ὁρᾶτε ἔφης, φίλοι μὴ θροεῖσθε· νῦν γὰρ ἤγγικεν ὥρα ληφθῆναί με, κτανθῆναι χερσὶν ἀνόμων· πάντες δὲ σκορπισθήσεσθε, ἐμὲ λιπόντες· οὓς συνάξω κηρύξαι με φιλάνθρωπον.

Εἶτα δίδοται τὸ Κατακλασόν. Καὶ γίνεται Ἀπόλυσις. Εἰσερχόμενοι δὲ εἰς τὴν Τράπεζαν, ψάλλομεν τὸ, Ὑψώσω σε ὁ Θεός μου, καὶ μεταλαμβάνομεν οἴνου μόνου. Τὰ δὲ Ἀπόδειπνα ψάλλομεν ἐν τοῖς Κελλίοις.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΓΟΝΥΚΛΙΣΙΑΣ

## ΤΗ͂ ΚΥΡΙΑΚΗ͂

# ΤΗΣ ΑΓΙΑΣ ΠΕΝΤΗΚΟΣΤΗΣ

## ΕΣΠΕΡΑΣ.

Σημαίνει ταχύτερον διὰ τὴν τῆς γονυκλισίας Ἀκολουθίαν.

Μετὰ τὸν Προοιμιακὸν Ψαλμὸν, Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου, εἰ ἔστιν· εἰδὲ μὴ, ὑπὸ τοῦ Ἱερέως.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ.

Ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν κλινάντων τὰς καρδίας αὐτῶν ἐνώπιον Κυρίου καὶ τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἐνισχυθῆναι ἡμᾶς πρὸς τελείωσιν εὐαρεστήσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι πλούσια τὰ ἐλέη αὐτοῦ ἐφ' ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δεχθῆναι τὴν γονυκλισίαν ἡμῶν, ὡς θυμίαμα ἐνώπιον αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν χρηζόντων τῆς παρ' αὐτοῦ βοηθείας, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης.



Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ. ϛʹ. καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Ἰδιόμελα γʹ. δευτεροῦντες αὐτά.

Ἦχος δʹ.

Παράδοξα σήμερον, εἶδον τὰ ἔθνη πάντα ἐν πόλει Δαυῒδ, ὅτε τὸ Πνεῦμα κατῆλθε τὸ Ἅγιον, ἐν πυρίναις γλώσσαις, καθὼς ὁ θεηγόρος Λουκᾶς ἀπεφθέγξατο. Φησὶ γάρ· Συνηγμένων τῶν Μαθητῶν τοῦ Χριστοῦ, ἐγένετο ἦχος, καθάπερ φερομένης βιαίας πνοῆς, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ πάντες ἤρξαντο φθέγγεσθαι, ξένοις ῥήμασι, ξένοις δόγμασι, ξένοις διδάγμασι, τῆς ἁγίας Τριάδος. Δίς.

Τὸ Πνεῦμα τὸ Ἅγιον, ἦν μὲν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ' ἀεὶ Πατρὶ καὶ Υἱῷ συντεταγμένον, καὶ συναριθμούμενον· ζωὴ καὶ ζωοποιοῦν· φῶς, καὶ φωτὸς χορηγόν· αὐτάγαθον, καὶ πηγὴ ἀγαθότητος· δι' οὗ Πατὴρ γνωρίζεται, καὶ Υἱὸς δοξάζεται, καὶ παρὰ πάντων γινώσκεται, μία δύναμις, μία σύνταξις, μία προσκύνησις, τῆς ἁγίας Τριάδος. Δίς.

Τὸ Πνεῦμα τὸ Ἅγιον, φῶς, καὶ ζωὴ, καὶ ζῶσα πηγὴ νοερά· Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως, ἀγαθὸν, εὐθὲς, νοερὸν, ἡγεμονεῦον, καθαῖρον τὰ πταίσματα. Θεὸς καὶ θεοποιοῦν· πῦρ, ἐκ πυρὸς, προϊὸν, λαλοῦν, ἐνεργοῦν, διαιροῦν τὰ χαρίσματα· δι' οὗ Προφῆται ἅπαντες, καὶ Θεοῦ Ἀπόστολοι, μετὰ Μαρτύρων ἐστέφθησαν. Ξένον ἄκουσμα, ξένον θέαμα, πῦρ διαιρούμενον, εἰς νομὰς χαρισμάτων. Δίς.

Δόξα, καὶ νῦν, Ἦχος πλ. βʹ.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός· ἐλθὲ, καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἴσοδος· τὸ, Φῶς ἱλαρόν· καὶ τὸ Προκείμενον, Ἦχος βαρύς.
Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς, ὁ ποιῶν θαυμάσια μόνος.

Στίχ. α΄. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.

Τίς Θεὸς μέγας.

Στίχ. β΄. Καὶ εἶπα· Νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Τίς Θεὸς μέγας.

Στίχ. γ΄. Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου.

Τίς Θεὸς μέγας.

Εἶτα λέγει ὁ Διάκονος·

Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ἡμῶν κλινάντων τὰ γόνατα ἐπὶ γῆς, καὶ ἀσκεπῶν ὄντων, ἀναγινώσκει ὁ Ἱερεὺς τὰς Εὐχὰς ἀπὸ τοῦ Βήματος μεγαλοφώνως, εἰς ἐπήκοον πάντων.

Ἄχραντε, ἀμίαντε, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀνεξιχνίαστε, ἀναλλοίωτε, ἀνυπέρβλητε, ἀμέτρητε, ἀνεξίκακε Κύριε· ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ ποιήσας τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ δημιουργηθέντα ἐν αὐτοῖς· ὁ πρὸ τοῦ αἰτεῖσθαι τοῖς πᾶσι τὰς αἰτήσεις παρέχων· σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, Δέσποτα φιλάνθρωπε, τὸν Πατέρα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντος ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντος ἐκ Πνεύματος Ἁγίου, καὶ Μαρίας τῆς ἀειπαρθένου καὶ ἐνδόξου Θεοτόκου· ὃς, πρότερον μὲν λόγοις διδάσκων, ὕστερον δὲ καὶ ἔργοις ὑποδεικνὺς, ἡνίκα τὸ σωτήριον ὑφίστατο πάθος, παρέσχεν ἡμῖν ὑπογραμμὸν τοῖς ταπεινοῖς καὶ ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου, δεήσεις προσφέρειν, ἐν αὐχένος καὶ γονάτων κλίσεσιν, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· αὐτὸς οὖν, πολυέλεε καὶ φιλάνθρωπε, ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε· ἐξαιρέτως δὲ, ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς Πεντηκοστῆς, ἐν ᾗ, μετὰ τὸ ἀνα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ληφθῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τοὺς οὐρανούς, καὶ καθεσθῆναι ἐν δεξιᾷ σοῦ τοῦ Θεοῦ καὶ Πατρός, κατέπεμψε τὸ Ἅγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους· ὃ καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες τῆς ἀκενώτου χάριτος αὐτοῦ, καὶ ἐλάλησαν ἑτέραις γλώσσαις τὰ μεγαλεῖά σου, καὶ προεφήτευσαν. Νῦν οὖν δεομένων ἐπάκουσον ἡμῶν, καὶ μνήσθητι ἡμῶν τῶν ταπεινῶν καὶ κατακρίτων, καὶ ἐπίστρεψον τὴν αἰχμαλωσίαν τῶν ψυχῶν ἡμῶν, τὴν οἰκείαν συμπάθειαν ἔχων ὑπὲρ ἡμῶν πρεσβεύουσαν. Δέξαι ἡμᾶς προσπίπτοντάς σοι καὶ βοῶντας τό, Ἡμάρτομεν. Ἐπὶ σὲ ἐπεῤῥίφημεν ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρὸς ἡμῶν· Θεὸς ἡμῶν σὺ εἶ· ἀλλ' ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν, γεγυμνώμεθα τῆς σῆς βοηθείας, ἐστερήμεθα ἀπὸ πάσης ἀπολογίας. Ἀλλὰ θαῤῥοῦντες τοῖς οἰκτιρμοῖς σου, κράζομεν· Ἁμαρτίας νεότητος ἡμῶν καὶ ἀγνοίας μὴ μνησθῇς· ἐκ τῶν κρυφίων ἡμῶν καθάρισον ἡμᾶς· μὴ ἀποῤῥίψῃς ἡμᾶς εἰς καιρὸν γήρως· ἐν τῷ ἐκλείπειν τὴν ἰσχὺν ἡμῶν, μὴ ἐγκαταλίπῃς ἡμᾶς· πρὶν ἡμᾶς εἰς τὴν γῆν ἀποστρέψαι, ἀξίωσον ἡμᾶς πρὸς σὲ ἐπιστρέψαι, καὶ πρόσχες ἡμῖν ἐν εὐμενείᾳ καὶ χάριτι. Ἐπιμέτρησον ταῖς ἀνομίαις ἡμῶν τοὺς οἰκτιρμούς σου· ἀντίθες τὴν ἄβυσσον τῶν οἰκτιρμῶν σου τῷ πλήθει τῶν πλημμελημάτων ἡμῶν. Ἐπίβλεψον ἐξ ὕψους ἁγίου σου, Κύριε, ἐπὶ τὸν λαόν σου τὸν περιεστῶτα, καὶ ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου· ῥῦσαι ἡμᾶς ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου· ἀσφάλισαι τὴν ζωὴν ἡμῶν τοῖς ἁγίοις καὶ ἱεροῖς νόμοις σου. Ἀγγέλῳ πιστῷ φύλακι παρακατάθου τὸν λαόν σου· πάντας ἡμᾶς συνάγαγε εἰς τὴν Βασιλείαν σου· δὸς συγγνώμην τοῖς ἐλπίζουσιν ἐπὶ σέ· ἄφες αὐτοῖς καὶ ἡμῖν τὰ ἁμαρτήματα· καθαρον ἡμᾶς τῇ ἐνεργείᾳ τοῦ Ἁγίου σου Πνεύματος· διάλυσον τὰς καθ' ἡμῶν μηχανὰς τοῦ ἐχθροῦ.

Ἐπισυνάπτει καὶ ταύτην τὴν Εὐχήν.

Εὐλογητὸς εἶ, Κύριε, Δέσποτα παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ, καὶ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός· ὁ τὸ μῆκος τῆς ἡμέρας διελθεῖν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἡμᾶς καταξιώσας, καὶ προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτός, ἐπάκουσον τῆς δεήσεως ἡμῶν καὶ παντὸς τοῦ λαοῦ σου· καὶ πᾶσιν ἡμῖν συγχωρήσας τὰ ἑκούσια, καὶ τὰ ἀκούσια ἁμαρτήματα, πρόσδεξαι τὰς ἑσπερινὰς ἡμῶν ἱκεσίας, καὶ κατάπεμψον τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου ἐπὶ τὴν κληρονομίαν σου. Τείχισον ἡμᾶς ἁγίοις Ἀγγέλοις σου· ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης σου· περιχαράκωσον ἡμᾶς τῇ ἀληθείᾳ σου· φρούρησον ἡμᾶς τῇ δυνάμει σου· ῥῦσαι ἡμᾶς ἐκ πάσης περιστάσεως, καὶ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Παράσχου δὲ ἡμῖν καὶ τὴν παροῦσαν ἑσπέραν, σὺν τῇ ἐπερχομένῃ νυκτὶ, τελείαν, ἁγίαν, εἰρηνικὴν, ἀναμάρτητον, ἀσκανδάλιστον, ἀφάνταστον, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, κ.τ.λ. Ὁ Ἱερεὺς ἐκφώνως·

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν κ.τ.λ.

Ὁ Διάκονος· Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ τὰ ἑξῆς.

Ὁ δὲ Ἱερεὺς τὴν Ἐκφώνησιν·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός.

Εἶτα ὁ Διάκονος·

Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Ἡμῶν δὲ ὁμοίως τὸ γόνυ κλινάντων, ὁ Ἱερεὺς ἐπεύχεται·

Κύριε, Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις, καὶ τὴν τοῦ παναγίου Πνεύματος δωρεὰν, ἔτι τῷ βίῳ καὶ ἡμῖν συμπαρὼν, εἰς κληρονομίαν ἀναφαίρετον τοῖς πιστοῖς ἀεὶ παρέχων· ἐμφανέστερον δὲ ταύτην τὴν χάριν τοῖς σοῖς Μαθηταῖς καὶ Ἀποστόλοις σήμερον καταπέμψας, καὶ τὰ τούτων χείλη πυρίναις στομώσας γλώσσαις, δι' ὧν πᾶν γένος ἀνθρώπων τὴν θεογνωσίαν, ἰδίᾳ διαλέκτῳ, εἰς ἀκοὴν ὠτίου δεξάμενοι, φωτὶ τοῦ Πνεύματος ἐφωτίσθημεν, καὶ τῆς πλάνης, ὡς ἐκ σκότους, ἀπηλλάγημεν, καὶ τῇ τῶν αἰσθητῶν

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ πυρίνων γλωσσῶν διανομῇ, ὑπερφυεῖ ἐνεργείᾳ, τὴν εἰς σὲ πίστιν ἐμαθητεύθημεν, καὶ σὲ Θεολογεῖν σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, ἐν μιᾷ Θεότητι καὶ δυνάμει καὶ ἐξουσίᾳ, κατηυγάσθημεν. Σὺ οὖν τὸ ἀπαύγασμα τοῦ Πατρὸς, ὁ τῆς οὐσίας καὶ τῆς φύσεως αὐτοῦ ἀπαράλλακτος καὶ ἀμετακίνητος χαρακτὴρ, ἡ πηγὴ τῆς σοφίας καὶ τῆς χάριτος, διάνοιξον κἀμοῦ τοῦ ἁμαρτωλοῦ τὰ χείλη, καὶ δίδαξόν με πῶς δεῖ, καὶ ὑπὲρ ὧν χρὴ, προσεύχεσθαι. Σὺ γὰρ εἶ ὁ γινώσκων τὸ πολὺ τῶν ἁμαρτιῶν σου πλῆθος, ἀλλ' ἡ σὴ εὐσπλαγχνία νικήσει τούτων τὸ ἄμετρον· ἰδοὺ γὰρ φόβῳ παρίσταμαί σοι, εἰς τὸ πέλαγος τοῦ ἐλέους σου τὴν ἀπόγνωσιν ἀποῤῥίψας τῆς ψυχῆς μου. Κυβέρνησόν με τὴν ζωὴν, ὁ πᾶσαν ῥήματι τὴν κτίσιν, ἀῤῥήτῳ σοφίας δυνάμει, κυβερνῶν, ὁ εὔδιος τῶν χειμαζομένων λιμὴν, καὶ γνώρισόν μοι ὁδὸν, ἐν ᾗ πορεύσομαι. Πνεῦμα σοφίας σου τοῖς ἐμοῖς παράσχου διαλογισμοῖς, Πνεῦμα συνέσεως τῇ ἀφροσύνῃ μου δωρούμενος· Πνεῦμα φόβου σου τοῖς ἐμοῖς ἐπισκίασον ἔργοις· καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· καὶ Πνεύματι ἡγεμονικῷ τὸ τῆς διανοίας μου στήριξον ὀλισθηρόν· ἵνα καθ' ἑκάστην ἡμέραν, τῷ Πνεύματί σου τῷ ἀγαθῷ, πρὸς τὸ συμφέρον ὁδηγούμενος, καταξιωθῶ ποιεῖν τὰς ἐντολάς σου, καὶ τῆς σῆς ἀεὶ μνημονεύειν ἐνδόξου καὶ ἐρευνητικῆς τῶν πεπραγμένων ἡμῖν παρουσίας· καὶ μὴ παρίδῃς με τοῖς φθειρομένοις τοῦ κόσμου τούτου συναπατᾶσθαι τερπνοῖς, ἀλλὰ τῶν μελλόντων ὀρέγεσθαι τῆς ἀπολαύσεως ἐνίσχυσον θησαυρῶν. Σὺ γὰρ εἶπας, Δέσποτα, ὅτι περ ὅσα ἄν τις αἰτήσηται ἐν τῷ ὀνόματί σου, ἀκωλύτως παρὰ τοῦ σοῦ λαμβάνει (*) συναϊδίου Θεοῦ καὶ Πατρός· διὸ κἀγὼ ὁ ἁμαρτωλὸς, ἐν τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου σου Πνεύματος, τὴν σὴν ἱκετεύω ἀγαθότητα· Ὅσα ηὐξάμην, ἀπόδος μοι εἰς σωτηρίαν. Ναὶ, Κύριε, ὁ πάσης εὐεργεσίας πλουσιοπάροχος δοτὴρ ἀγαθός· ὅτι σὺ εἶ ὁ διδοὺς ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα. Σὺ εἶ ὁ συμπαθὴς, ὁ ἐλεήμων, ὁ ἀναμαρτήτως γεγονὼς τῆς σαρκὸς ἡμῶν κοινωνὸς, καὶ τοῖς κάμπτουσι πρὸς σὲ γόνυ ἐπικαμπτόμενος

(*) Τὸ Χειρόγραφον, λήψεται.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

φιλευσπλάγχνως, ἱλασμός τε γενόμενος τῶν ἁμαρτιῶν ἡμῶν. Δὸς δή, Κύριε, τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου· ἐπάκουσον ἡμῶν ἐξ οὐρανοῦ ἁγίου σου· ἁγίασον αὐτοὺς τῇ δυνάμει τῆς σωτηρίου δεξιᾶς σου· σκέπασον αὐτοὺς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· μὴ παρίδῃς τὰ ἔργα τῶν χειρῶν σου. Σοὶ μόνῳ ἁμαρτάνομεν, (*) ἀλλὰ καὶ σοὶ μόνῳ λατρεύομεν· οὐκ οἴδαμεν προσκυνεῖν Θεῷ ἀλλοτρίῳ, οὐδὲ διαπετάζειν πρὸς ἕτερον Θεὸν τὰς ἑαυτῶν, Δέσποτα, χεῖρας. Ἄφες ἡμῖν τὰ παραπτώματα· καὶ προσδεχόμενος ἡμῶν τὰς γονυπετεῖς δεήσεις, ἔκτεινον πᾶσιν ἡμῖν χεῖρα βοηθείας· πρόσδεξαι τὴν εὐχὴν πάντων, ὡς θυμίαμα δεκτὸν, ἀναλαμβανόμενον ἐνώπιον τῆς σῆς ὑπεραγάθου βασιλείας.

Ἐπισυνάπτει καὶ ταύτην·

Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. Πρόσδεξαι θυσίαν ἑσπερινὴν, τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. Καταξίωσον δὲ ἡμᾶς, καὶ τὸ νυκτερινὸν ϛάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν· καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς καὶ δειλίας, τῆς ἐκ τοῦ διαβόλου ἡμῖν προσγινομένης. Χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν, καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν, τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει ἐξετάσεως. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς· ἵνα, καὶ ἐν τῇ καθ' ὕπνον ἡσυχίᾳ, ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. Ἀπόϛησον δὲ ἀφ' ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ, καὶ ἐπιθυμίαν βλαβεράν. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν τῇ πίστει, καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου κ.τ.λ.

(*) Ἁμαρτάνουσιν ἐν τῷ Χειρογράφῳ· οὕτω καὶ τὰ καθεξῆς, μέχρι τοῦ, βοηθείας, κατὰ τρίτον πρόσωπον.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ Ἱερεὺς ἐκφώνως·

Εὐδοκίᾳ καὶ χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα τὸ, Καταξίωσον, Κύριε.

Μετὰ δὲ τοῦτο, λέγει ὁ Διάκονος·

Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν·

Ἡ ἀεννάως βρύουσα ζωτικὴ καὶ φωτιστικὴ πηγὴ, ἡ συναΐδιος τοῦ Πατρὸς δημιουργικὴ δύναμις, ὁ πᾶσαν τὴν οἰκονομίαν, διὰ τὴν τῶν βροτῶν σωτηρίαν, ὑπερκάλλως πληρώσας, Χριστὲ ὁ Θεὸς ἡμῶν· ὁ θανάτου δεσμοὺς ἀλύτους, καὶ κλεῖθρα ᾅδου διαῤῥήξας, πονηρῶν δὲ πνευμάτων πλήθη καταπατήσας· ὁ προσαγαγὼν σεαυτὸν ἄμωμον ὑπὲρ ἡμῶν ἱερεῖον, τὸ σῶμα δοὺς τὸ ἄχραντον εἰς θυσίαν, τὸ πάσης ἁμαρτίας ἄψαυστόν τε καὶ ἄβατον, καὶ διὰ τῆς φρικτῆς ταύτης καὶ ἀνεκδιηγήτου ἱερουργίας, ζωὴν αἰώνιον ἡμῖν χαρισάμενος· ὁ εἰς ᾅδου καταβὰς, καὶ μοχλοὺς αἰωνίους συντρίψας, καὶ τοῖς κάτω καθημένοις ἄνοδον ὑποδείξας· τὸν δὲ ἀρχέκακον καὶ βύθιον δράκοντα, θεοσόφῳ δελεάσματι ἀγκιστρεύσας, καὶ σειραῖς ζόφου δεσμεύσας ἐν ταρτάρῳ, καὶ πυρὶ ἀσβέστῳ, καὶ σκότῳ ἐξωτέρῳ, διὰ τῆς ἀπειροδυνάμου σου κατασφαλισάμενος ἰσχύος· ἡ μεγαλώνυμος σοφία τοῦ Πατρός· ὁ τοῖς ἐπηρεαζομένοις μέγας ἐπίκουρος φανεὶς, καὶ φωτίσας τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους· Σὺ, δόξης ἀεννάου Κύριε, καὶ Πατρὸς ὑψίστου Υἱὲ ἀγαπητέ· ἀΐδιον φῶς, ἐξ ἀϊδίου φωτός· ἥλιε δικαιοσύνης, ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου, τῶν προκεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ λοιπῶν συγγενῶν κατὰ σάρκα, καὶ πάντων τῶν οἰκείων τῆς πίστεως, περὶ ὧν καὶ τὴν μνήμην ποιούμεθα νῦν· ὅτι ἐν σοὶ πάντων τὸ κράτος, καὶ ἐν τῇ χειρί σου κατέχεις πάντα τὰ πέρατα τῆς γῆς. Δέσποτα παντοκράτορ, Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, γένους θνητοῦ τε καὶ ἀθανάτου, καὶ πάσης φύσεως ἀνθρωπίνης δημιουργὲ, συνισταμένης τε καὶ πάλιν λυομένης,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ζωῆς τε καὶ τελευτῆς, τῆς ἐνταῦθα διαγωγῆς. καὶ τῆς ἐκεῖθεν μεταστάσεως· ὁ χρόνους μετρῶν τοῖς ζῶσι, καὶ καιροὺς θανάτου ἱστῶν, κατάγων εἰς ᾅδου καὶ ἀνάγων, δεσμεύων ἐν ἀσθενείᾳ, καὶ ἀπολύων ἐν δυναστείᾳ· ὁ τὰ παρόντα χρησίμως οἰκονομῶν, καὶ τὰ μέλλοντα λυσιτελῶς διοικῶν· ὁ τοὺς θανάτου κέντρῳ πληγέντας, ἀναστάσεως ἐλπίσι ζωογονῶν· Αὐτὸς, Δέσποτα τῶν ἁπάντων, ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακρὰν, ὁ καὶ ἐν ταύτῃ τῇ ἐσχάτῃ, καὶ μεγάλῃ, καὶ σωτηρίῳ ἡμέρᾳ τῆς Πεντηκοστῆς τὸ Μυστήριον τῆς ἁγίας, καὶ ὁμοουσίου, καὶ συναϊδίου, καὶ ἀδιαιρέτου, καὶ ἀσυγχύτου Τριάδος ὑποδείξας ἡμῖν, καὶ τὴν ἐπιφοίτησιν καὶ παρουσίαν τοῦ ἁγίȣ καὶ ζωοποιοῦ σου Πνεύματος, ἐν εἴδει πυρίνων γλωσσῶν, ἐπὶ τοὺς ἁγίους σου Ἀποστόλους ἐκχέας, καὶ Εὐαγγελιστὰς αὐτοὺς θέμενος τῆς εὐσεβοῦς ἡμῶν Πίςεως, καὶ ὁμολογητὰς καὶ κήρυκας τῆς ἀληθοῦς ἀναδείξας Θεολογίας· ὁ καὶ ἐν ταύτῃ τῇ παντελείῳ Ἑορτῇ καὶ σωτηριώδει, ἱλασμȣ̀ς μὲν ἱκεσίȣς, ὑπὲρ τῶν κατεχομένων ἐν ᾅδῃ, καταξιώσας δέχεσθαι, μεγάλας δὲ παρέχων ἡμῖν ἐλπίδας, ἄνεσιν τοῖς κατοιχομένοις τῶν κατεχόντων αὐτοὺς ἀνιαρῶν, καὶ παραψυχὴν παρὰ σοῦ καταπέμπεσθαι· Ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν καὶ οἰκτρῶν δεομένων σου· καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου, τῶν προκεκοιμημένων, ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη, καὶ στεναγμός· καὶ κατάταξον τὰ πνεύματα αὐτῶν ἐν σκηναῖς Δικαίων, καὶ εἰρήνης καὶ ἀνέσεως ἀξίωσον αὐτούς· ὅτι οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ οἱ ἐν ᾅδῃ ἐξομολόγησιν παῤῥησιάζονται προσφέρειν σοι, ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογοῦμέν σε καὶ ἱκετεύομεν, καὶ τὰς ἱλαστηρίους εὐχὰς καὶ θυσίας προσάγομέν σοι ὑπὲρ τῶν ψυχῶν αὐτῶν.

Ἐπισυνάπτει καὶ ταύτην τὴν Εὐχήν.

Ὁ Θεὸς, ὁ μέγας καὶ αἰώνιος, ὁ ἅγιος καὶ φιλάνθρωπος, ὁ καταξιώσας ἡμᾶς καὶ ἐν ταύτῃ τῇ ὥρᾳ ςῆναι κατενώπιον τῆς ἀπροσίτȣ σου δόξης, εἰς ὕμνον καὶ αἶνον τῶν θαυμασίων σου, ἱλάσθητι ἡμῖν τοῖς ἀναξίοις δούλοις σου· καὶ παράσχου

χάριν, τοῦ μετὰ συντετριμμένης καρδίας ἀμετεωρίςως προσενεγκεῖν σοι τὴν τρισάγιον δοξολογίαν, καὶ τὴν εὐχαριστίαν τῶν μεγάλων σου δωρεῶν, ὧν ἐποίησας, καὶ ποιεῖς πάντοτε εἰς ἡμᾶς. Μνήσθητι, Κύριε, τῆς ἀσθενείας ἡμῶν, καὶ μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλὰ ποίησον ἔλεος μετὰ τῆς ταπεινώσεως ἡμῶν· ἵνα, τὸ τῆς ἁμαρτίας σκότος διαφυγόντες, ἐν ἡμέρᾳ δικαιοσύνης περιπατήσωμεν· καὶ ἐνδυσάμενοι τὰ ὅπλα τοῦ φωτὸς, ἀνεπιβουλεύτως διατελέσωμεν ἀπὸ πάσης ἐπηρείας τοῦ πονηροῦ, καὶ μετὰ παῤῥησίας δοξάσωμεν ἐπὶ πᾶσι σὲ τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεόν. (*) Σὸν γὰρ ὡς ἀληθῶς, καὶ μέγα ὄντως μυστήριον, Δέσποτα τῶν ἁπάντων καὶ ποιητὰ, ἥ τε πρόσκαιρος λύσις τῶν σῶν κτισμάτων, καὶ ἡ μετὰ ταῦτα συνάφεια καὶ ἀνάπαυσις ἡ εἰς αἰῶνας. Σοὶ χάριν ἐπὶ πᾶσιν ὁμολογοῦμεν, ἐπὶ ταῖς εἰσόδοις ἡμῶν ταῖς εἰς τὸν κόσμον τοῦτον, καὶ ταῖς ἐξόδοις, αἳ τὰς ἐλπίδας ἡμῖν τῆς ἀναστάσεως καὶ τῆς ἀκηράτου ζωῆς, διὰ τῆς σῆς ἀψευδοῦς ἐπαγγελίας, προμνηστεύονται· ἧς ἀπολαύσαιμεν ἐν τῇ μελλούσῃ δευτέρᾳ παρουσίᾳ σου. Σὺ γὰρ εἶ καὶ τῆς ἀναστάσεως ἡμῶν ἀρχηγὸς, καὶ τῶν βεβιωμένων ἀδέκαστος καὶ φιλάνθρωπος κριτὴς, καὶ τῆς μισθαποδοσίας Δεσπότης καὶ Κύριος· ὁ καὶ κοινωνήσας ἡμῖν παραπλησίως σαρκὸς καὶ αἵματος, διὰ συγκατάβασιν ἄκραν, καὶ τῶν ἡμετέρων ἀδιαβλήτων παθῶν, ἐν τῷ ἑκουσίως εἰς πεῖραν καταστῆναι, προσλαβόμενος σπλάγχνα οἰκτιρμῶν, καὶ ἐν ᾧ πέπονθας πειρασθεὶς αὐτὸς, τοῖς πειραζομένοις ἡμῖν γενόμενος αὐτεπάγγελτος βοηθός· διὸ καὶ συνήγαγες ἡμᾶς εἰς τὴν σὴν ἀπάθειαν. Δέξαι οὖν, Δέσποτα, δεήσεις καὶ ἱκεσίας ἡ-

(*) Ἐνταῦθα μὲν συμπληροῦται ἡ Εὐχὴ ἐν τῷ Χειρογράφῳ· ἕπεται δὲ ἀμέσως· Εὐχὴ ἑτέρα· «Σὸν ὡς ἀληθῶς καὶ μέγα ὄντως μυστήριον, »Δέσποτα κ.τ.λ.»· ἐν ᾗ, μετὰ τὰς τελευταίας λέξεις «καὶ τῆς βασι»λείας σου ἀξίους ἡμᾶς ποίησον» ἀναγινώσκεται κατὰ συνέχειαν «Σὺ »γὰρ εἶ ἡ ἀνάπαυσις τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ »σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου καὶ συναϊδίῳ »Πατρὶ, καὶ τῷ ὁμοουσίῳ, καὶ παναγίῳ, καὶ ἀγαθῷ, καὶ παντο»αδυνάμῳ, κ ὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ κ.τ.λ.».

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μετέρας, καὶ ἀνάπαυσον πάντας τοὺς πατέρας ἑκάςου, καὶ μητέρας, καὶ τέκνα, καὶ ἀδελφοὺς, καὶ ἀδελφὰς, καὶ εἴτι ἄλλο ὁμογενὲς καὶ ὁμόφυλον, καὶ πάσας τὰς προαναπαυσαμένας ψυχὰς ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου· καὶ κατάταξον τὰ πνεύματα αὐτῶν καὶ τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς, ἐν κόλποις Ἀβραὰμ, Ἰσαὰκ, καὶ Ἰακὼβ, ἐν χώρᾳ ζώντων, εἰς βασιλείαν οὐρανῶν, ἐν Παραδείσῳ τρυφῆς, διὰ τῶν φωτεινῶν Ἀγγέλων σου εἰσάγων ἅπαντας εἰς τὰς ἀΰλους σου μονὰς, συνεγείρων καὶ τὰ σώματα ἡμῶν ἐν ἡμέρᾳ, ᾗ ὥρισας, κατὰ τὰς ἁγίας σου καὶ ἀψευδεῖς ἐπαγγελίας. Οὐκ ἔστιν οὖν, Κύριε, τοῖς δούλοις σου θάνατος, ἐκδημούντων ἡμῶν ἀπὸ τοῦ σώματος, καὶ πρὸς σὲ τὸν Θεὸν ἡμῶν ἐνδημούντων, ἀλλὰ μετάστασις ἀπὸ τῶν λυπηροτέρων ἐπὶ τὰ χρηστότερα καὶ θυμηδέστερα, καὶ ἀνάπαυσις καὶ χαρά. Εἰ δὲ καί τι ἡμάρτομεν εἰς σὲ, ἵλεως γενοῦ ἡμῖν τε καὶ αὐτοῖς, διότι οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου ἐνώπιόν σου, οὐδ' ἂν μία ἡμέρα ἡ ἡ ζωὴ αὐτοῦ· εἰμὴ μόνος σὺ, ὁ ἐπὶ γῆς φανεὶς ἀναμάρτητος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, δι' οὗ πάντες ἐλπίζομεν ἐλέους τυχεῖν καὶ ἀφέσεως ἁμαρτιῶν. Διὰ τοῦτο ἡμῖν τε καὶ αὐτοῖς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς, ἄνες, ἄφες, συγχώρησον τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια, τὰ ἀκούσια, τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ πρόδηλα, τὰ λανθάνοντα, τὰ ἐν πράξει, τὰ ἐν διανοίᾳ, τὰ ἐν λόγῳ, τὰ ἐν πάσαις ἡμῶν ταῖς ἀναστροφαῖς καὶ τοῖς κινήμασι· καὶ τοῖς μὲν προλαβοῦσιν ἐλευθερίαν καὶ ἄνεσιν δώρησαι, ἡμᾶς δὲ τοὺς περιεστῶτας εὐλόγησον, τέλος ἀγαθὸν καὶ εἰρηνικὸν παρεχόμενος ἡμῖν τε καὶ παντὶ τῷ λαῷ σου, καὶ ἐλέους σπλάγχνα καὶ φιλανθρωπίας διανοίγων ἡμῖν, ἐν τῇ φρικτῇ καὶ φοβερᾷ σου παρουσίᾳ· καὶ τῆς βασιλείας σου ἀξίους ἡμᾶς ποίησον.

Ἐπισυνάπτει καὶ ταύτην·

Ὁ Θεὸς, ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διαχωρήσας ἀναμέσον τοῦ φωτὸς, καὶ ἀναμέσον τοῦ σκότους, καὶ τὸν μὲν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτὸς· ὁ



καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς, καὶ ἐπὶ τῆς παρούσης ὥρας προφθάσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει, καὶ τὴν ἑσπερινήν σοι λατρείαν προσαγαγεῖν· αὐτὸς, φιλάνθρωπε Κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας. Παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου· καὶ δὸς ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναὶ, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ· ἵνα, καὶ ἐπὶ ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν καὶ ἐν νυκτὶ τοῦ παναγίου ὀνόματός σου· καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει ψυχῆς διαναστῶμεν πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες, ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν, καὶ παντὸς τοῦ λαοῦ σου· ὃν, ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου, ἐν ἐλέει ἐπίσκεψαι.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάςησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς κ.τ.λ.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, κ.τ.λ.

Ὁ Ἱερεὺς ἐκφώνως·

Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. (*)

Ὁ Διάκονος·

Πληρώσωμεν τὴν ἑσπερινὴν, κ.τ.λ.

Ὁ Ἱερεὺς τὴν Ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος κ.τ.λ.

Εἰρήνη πᾶσι. Ὁ Λαός· Καὶ τῷ πνεύματί σου.

(*) Τὸ Χειρόγραφον ἐνταῦθα ἔχει, Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν κ.τ.λ.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Λαός· Σοὶ Κύριε· καὶ ὁ Ἱερεὺς εὔχεται τὴν Εὐχὴν ταύτην μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου· σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ Κριτῇ οἱ σοὶ δοῦλοι τὰς ἑαυτῶν ἔκλιναν κεφαλὰς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν· οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας, διαβολικῆς, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.

Εἶτα ἐκφωνεῖ·

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον, καὶ δεδοξασμένον, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Καὶ ψάλλομεν τὰ Ἰδιόμελα τοῦ Στίχου, Ἦχος γ΄.

Νῦν εἰς σημεῖον τοῖς πᾶσιν, ἐμφανῶς αἱ γλῶσσαι γεγόνασιν· Ἰουδαῖοι γὰρ, ἐξ ὧν κατὰ σάρκα Χριστὸς, ἀπιστίᾳ νοσήσαντες, θεϊκῆς ἐξέπεσον χάριτος, καὶ τοῦ θείου φωτὸς οἱ ἐξ ἐθνῶν ἠξιώθημεν, ϛηριχθέντες τοῖς λόγοις τῶν Μαθητῶν, φθεγγομένων τὴν δόξαν τȣ͂ εὐεργέτου τῶν ὅλων Θεοῦ· μεθ' ὧν τὰς καρδίας σὺν τοῖς γόνασι κλίναντες, ἐν πίστει προσκυνήσωμεν, τῷ Ἁγίῳ Πνεύματι στηριχθέντες, Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Στίχ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός.

Νῦν τὸ Παράκλητον Πνεῦμα, ἐπὶ πᾶσαν σάρκα ἐκκέχυται· Ἀποστόλων γὰρ χορείας ἀρξάμενον, ἐξ αὐτῶν κατὰ μέθεξιν, τοῖς πιστοῖς τὴν χάριν ἐφήπλωσε, καὶ πιστοῦται αὐτοῦ τὴν κραταιὰν ἐπιφοίτησιν, ἐν πυρίνῳ τῷ εἴδει τοῖς Μαθηταῖς διανέμον τὰς γλώσσας, εἰς ὑμνῳδίαν καὶ δόξαν Θεοῦ. Διὸ τὰς καρδίας νοερῶς ἐλλαμπόμενοι, ἐν πίστει στηριχθέντες τῷ Ἁγίῳ Πνεύματι, δυσωποῦμεν σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Στίχ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Νῦν περιβάλλονται κράτος, οἱ Χριστοῦ ἀφ' ὕψους Ἀπόστολοι· ἐγκαινίζει γὰρ αὐτὸς ὁ Παράκλητος, ἐν αὐτοῖς καινιζόμενος, μυστικῇ καινότητι γνώσεως· ἣν ταῖς ξέναις φωναῖς, καὶ ὑψηγόροις κηρύττοντες, τὴν ἀΐδιον φύσιν τε καὶ ἁπλῆν, τρισυπόστατον σέβειν τοῦ εὐεργέτου τῶν ὅλων Θεοῦ, ἡμᾶς ἐκδιδάσκουσι. Διὸ φωτισθέντες τοῖς ἐκείνων διδάγμασι, Πατέρα προσκυνήσωμεν, σὺν Υἱῷ καὶ Πνεύματι, δυσωποῦντες σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Δεῦτε λαοὶ, τὴν τρισυπόστατον Θεότητα προσκυνήσωμεν, Υἱὸν ἐν τῷ Πατρὶ, σὺν Ἁγίῳ Πνεύματι. Πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν Υἱὸν, συναΐδιον καὶ σύνθρονον, καὶ Πνεῦμα Ἅγιον ἦν ἐν τῷ Πατρὶ, σὺν Υἱῷ δοξαζόμενον· μία δύναμις, μία οὐσία, μία Θεότης, ἣν προσκυνοῦντες πάντες λέγομεν· Ἅγιος ὁ Θεὸς, ὁ τὰ πάντα δημιουργήσας δι' Υἱοῦ, συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος· Ἅγιος ἰσχυρὸς, δι' οὗ τὸν Πατέρα ἐγνώκαμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησεν ἐν κόσμῳ. Ἅγιος ἀθάνατος, τὸ Παράκλητον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον· Τριὰς ἁγία, δόξα σοι.

Τὸ, Νῦν ἀπολύεις· Τρισάγιον· καὶ τὸ, Ἀπολυτίκιον τῆς Ἑορτῆς, Εὐλογητὸς εἶ Χριστὲ.... Ἐκ γ'.

Εἶτα ὁ Ἱερεὺς ποιεῖ τὴν Ἀπόλυσιν οὕτως·

Ὁ ἐκ τῶν πατρικῶν κόλπων κενώσας ἑαυτὸν, καὶ τὴν ἡμετέραν ὅλην ἀνθρωπείαν προσλαβόμενος φύσιν, καὶ θεώσας αὐτὴν, μετὰ δὲ ταῦτα εἰς οὐρανοὺς αὖθις ἀνελθὼν, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρὸς, τό τε θεῖον, καὶ ἅγιον, καὶ ὁμοούσιον, καὶ ὁμοδύναμον, καὶ ὁμόδοξον, καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, καὶ διὰ τούτου φωτίσας μὲν αὐτοὺς, δι' αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρὸς, τῶν ἁγίων, ἐνδόξων, πανευφήμων, Θεοκηρύκων, καὶ πνευματοφόρων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς διὰ τὴν ἑαυτοῦ ἀγαθότητα. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΠΑΡΑΚΛΗΣΙΝ ΑΣΘΕΝΩΝ, ΧΕΙΜΑΖΟΜΕΝΩΝ ΥΠΟ ΠΝΕΥΜΑΤΩΝ ΑΚΑΘΑΡΤΩΝ, ΚΑΙ ΕΠΗΡΕΑΖΟΝΤΩΝ.

Εὐλογεῖ ὁ Ἱερεὺς· καὶ μετὰ τὸ Τρισάγιον, τὸ, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου· τὸ, Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· τὸ, Κύριος φωτισμός μυ, καὶ σωτήρ μου· τὸ, Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν· τὸν Ν'.-εἶτα, Μὴ καταπιστεύσῃς με. Δέξαι μου τὴν δέησιν· καὶ μετὰ ταῦτα ὁ Ἱερεύς· Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ. Εἶτα τὸν παρόντα Κανόνα.

Κανὼν Παρακλητικὸς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· εἰς τὴν Ὑπεραγίαν Θεοτόκον· εἰς τοὺς Ἀσωμάτους· εἰς τοὺς Ἀποςόλους· καὶ εἰς πάντας τοὺς Ἁγίους.

Ὠδὴ α'. Ἦχος β'. Δεῦτε λαοὶ ᾄσωμεν.

Ὁ ποιητὴς, καὶ λυτρωτής μου καὶ Κύριος, ἡ τῶν πιστῶν βοήθεια, τάχυνον ῥῦσαί με, τοῦ παρόντος κινδύνου, ὁ δοῦλός σου βοᾷ σοι, μόνε φιλάνθρωπε.

Ὁ τὴν ἡμῶν, μόνος γινώσκων ἀσθένειαν, ἐκ τῆς παρούσης θλίψεως, καὶ τῦ συνέχοντος, ὀλεθρίυ προφθάσας, ἐξάρπασον καὶ σῶσον, Σῶτερ τὸν δοῦλόν σου. Δόξα.

Ἀγγελικαὶ, τάξεις ἀΰλων Δυνάμεων, σὺν Ἀποστόλοις Μάρτυσι, καθικετεύσατε, τὸν τῶν ὅλων Δεσπότην, κινδύνου βαρυτάτου, ῥῦσαι τὸν δοῦλον αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ τῶν πιστῶν, καταφυγὴ ἀειπάρθενε, ἡ κραταιὰ βοήθεια, ἡμῶν τῶν δούλων σου, τῆς παρούσης ἀνάγκης, τὸν δοῦλόν σου πρεσβείαις, λύτρωσαι Δέσποινα.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.

Ὡς πάλαι Ἰακὼβ τὸν σὸν θεράποντα, ἐρρύσω τῆς Ἡσαῦ βασκανίας, οὕτω ῥῦσαι τὸν οἰκέτην σου, τῆς παρούσης ἀνάγκης ὡς φιλάνθρωπος.



Φιλάνθρωπε Σωτὴρ ἐπικαλοῦμαί σε, ἐν θλίψει ὑπάρχων καὶ ἀθυμίᾳ· μὴ παρίδῃς με τὸν δοῦλόν σου, ἀλλὰ σπεῦσον καὶ ῥῦσαί με ὡς εὔσπλαγχνος. Δόξα.

Ὁ μόνος ἀγαθὸς, ὁ μόνος εὔπλαγχνος, ὁ μόνος οἰκτίρμων καὶ ἐλεήμων, τῇ πρεσβείᾳ τῶν Ἁγίων σου, τὸν σὸν δοῦλον οἰκτείρας ἐλευθέρωσον.

Καὶ νῦν. Θεοτοκίον.

Ὃν ἔτεκες Ἁγνὴ Θεὸν ἱκέτευε, σὺν πᾶσιν Ἀγγέλοις καὶ Ἀποστόλοις, σὺν Προφήταις τε καὶ Μάρτυσιν, ἐκ κινδύνων τὸν δοῦλόν σου λυτρώσασθαι.

Εἶθ' οὕτω τὸν Εἱρμόν·

» Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁ-
» μαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρ-
» δίας ἡμῶν τῶν ὑμνούντων σε.

Καὶ ὁ Ἱερεὺς μνημονεύει τὸν ἀσθενῆ.

Εἶτα·

Πρεσβεία θερμὴ, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγὴ, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

Ὠδὴ δ'. Ἐλήλυθας, ἐκ Παρθένου.

Τῇ λαίλαπι, τῶν κινδύνων δεινῶς ῥιπιζόμενον, τὸν σὸν δῦλον Δέσποτα, καὶ τῷ πελάγει τῶν θλίψεων, νῦν κλυδωνιζόμενον, πρὸς γαληνότατον ὅρμον καθοδήγησον.

Οἱ θλίβοντες, τὸν σὸν δοῦλον Χριστὲ, ἐπληθύνθησαν, καὶ γλῶσσαν, ἠκόνησαν, καθάπερ δίστομον μάχαιραν· ἴδε οὖν φιλάνθρωπε, καὶ ἀδίκου θανάτου σὸν δοῦλον λύτρωσαι.

Δόξα.

Ἀρχάγγελοι, Ἐξουσίαι, Δυνάμεις, καὶ Ἄγγελοι, Ἀπόςολοι, Μάρτυρες, Ὅσιοι, Προφῆται, καὶ Δίκαιοι, πάντες δυσωπήσατε, ὑπὲρ τοῦ νῦν παναθλίως κινδυνεύοντος.

Καὶ νῦν. Θεοτοκίον.

Πανύμνητε, τῶν ἀνθρώπων ἑτοίμη βοήθεια, τὰ ἄγρια κύματα, τῶν πειρασμῶν καταπραΰνον, καὶ τὸν ἐν τῇ σκέπῃ σου, καταφεύγοντα ἴασαι δοῦλον Δέσποινα.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σάμου

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

Ὁ Ἐζεκίου ποτέ, ἀποπληρώσας τὰς εὐχὰς Κύριε, καὶ τὴν ἐμήν, πλήρωσον ἐν τάχει, ὁ μόνος ἀγαθός, καὶ σῶσον σὸν δοῦλον ἐκ πάσης κακώσεως.

Ὁ δι' Ἀγγέλου χειρός, τὸν Κορυφαῖον Μαθητὴν Κύριε, ἐκ φυλακῆς, θείᾳ δυναστείᾳ ποτὲ ἐξαγαγών, ῥῦσαι τὸν σὸν δοῦλον δεινῶς κινδυνεύοντα. Δόξα.

Ἀγγελικαὶ στρατιαί, τῶν Ἀποστόλων Προφητῶν δῆμός τε, πανευκλεῶν, Μαρτύρων, Ὁσίων, ὑπὲρ τοῦ ἐν δεινοῖς, ὑπάρχοντος ἅμα πρεσβείαν ποιήσατε.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, τάχυνον ῥῦσαι τὸν πιστὸν δοῦλόν σου, τοῦ χαλεποῦ, καὶ δεινοῦ κινδύνου, τοῦ ἐπελθόντος νῦν, ἵνα σε δοξάζῃ καρδίᾳ καὶ στόματι.

Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὁ κητῴας γαστρὸς λυτρωσάμενος, πάλαι τὸν Προφήτην σου Δέσποτα Κύριε, τὸν σὸν οἰκέτην λύτρωσαι, ἵνα πέστει καὶ πόθῳ δοξάζῃ σε.

Δανιὴλ ὡς ἐρρύσω λεόντων Χριστέ, ῥῦσαι πονηρῶν ἐξ ἀνθρώπων νυνὶ κἀμέ, τὸν σὸν οἰκέτην Δέσποτα, καὶ φθορᾶς καὶ θανάτου ἀνάγαγε. Δόξα.

Κινδυνεύοντα σῶσον τὸν δοῦλόν σου, Σῶτερ τῶν ἁγίων Ἀγγέλων δεήσεσι, τῶν Προφητῶν Μαρτύρων τε, καὶ σοφῶν Μαθητῶν σου ἐντεύξεσι. Καὶ νῦν. Θεοτοκίον.

Μὴ παρίδῃς δεινῶς χειμαζόμενον, καὶ ἐξαπορούμενον Κόρη τὸν δοῦλόν σου· ἀλλὰ συνήθως λύτρωσαι, προσφυγόντα τῇ σκέπῃ σου Ἄχραντε.

Ὁ Εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Εἶθ' οὕτω μνημονεύει τὸν ἀσθενῆ. Εἶτα λέγει τὸ παρὸν

Τροπάριον Ἦχος δ΄.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ, κράζοντες ἐκ βά-



θους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Ὡς πάλαι τοὺς τρεῖς, ἐκ καμίνου τοῦ πυρὸς Παῖδας ἐρρύσω, ῥῦσαι Οἰκτίρμον τὸν οἰκέτην σου, ὡς ἀγαθὸς δυσωποῦμέν σε, τῆς ἐπερχομένης ἀνάγκης, καὶ φλογώσεως Δέσποτα, τῶν ἀνυποίστων πειρασμῶν, ὅπως δοξάζῃ σε.

Ὁ μόνος εἰδώς, τὴν ἀσθένειαν Χριστὲ τὴν ἀνθρωπίνην, ὁ ὑποδείξας ἐν ταῖς θλίψεσι, τὰς παρακλήσεις φιλάνθρωπε, ῥῦσαι τοῦ παρόντος κινδύνου, τὸν οἰκέτην σου ψάλλοντα· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Δόξα.

Ἀγγέλων πληθύς, Ἀποστόλων Προφητῶν Μαρτύρων, θείων, καὶ Προπατόρων θεῖος σύλλογος, τὸν ἀγαθὸν δυσωπήσατε, νῦν τὸν κοπετὸν μεταστρέψαι, εἰς χαρὰν τοῦ κραυγάζοντος· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ μόνη ἐλπὶς, καὶ βοήθειαν πιστῶν Θεογεννῆτορ, σπεῦσον βοήθει τῷ οἰκέτῃ σου, χειμαζομένῳ ταῖς θλίψεσι, πάντοθεν, καὶ ἠπορημένῳ, καὶ ἐν ὀδύνῃ ὑπάρχοντι, καὶ καταφεύγοντι εἰς σέ, ἐν πεποιθήσει ψυχῆς.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Παύλου καὶ Σίλα τὰς εὐχάς, ὡς ἐδέξω καὶ δεσμῶν τούτους ἐρρύσω, καὶ ἡμῶν Ἐλεῆμον, τῶν ἀναξίων νυνί, βοώντων τὰς φωνὰς ἐπάκουσον· Ῥῦσαι τὸν σὸν δοῦλον, φθορᾶς τε καὶ θανάτου.

Μὴ ἀποστρέψῃς ἀπ' ἐμοῦ, τοῦ οἰκέτου σου Χριστὲ τὸ πρόσωπόν σου, ὅτι θλίβομαι ταχύ, ἐπάκουσόν μου Σωτήρ, καὶ ῥῦσαι τοῦ παρόντος κλύδωνος, δι' ἡμῶν βοᾷ σοι, ὁ δοῦλός σου οἰκτίρμον. Δόξα.

Ταῖς ἱκεσίαις ὁ Θεός, τῶν ἀΰλων Λειτουργῶν καὶ Ἀποστόλων, καὶ Μαρτύρων χορείας, καὶ ἱερῶν Προφητῶν, Ὁσίων, Δικαίων ἁπάντων τε, ῥῦσαι τὸν σὸν δοῦλον, τοῦ χαλεποῦ κινδύνου.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ νῦν. Θεοτοκίον.

Καταφυγὴ Χριστιανῶν, βοηθὲ τῶν ἐν δεινοῖς χειμαζομένων, Παναγία Παρθένε, μὴ ὑπερίδῃς τὸν σὸν οἰκέτην, κινδύνοις ποντούμενον, καὶ τῇ κραταιᾷ σου, προσφεύγοντα νῦν σκέπῃ.

Ὠδὴ Θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Τὰ λυπηρὰ τοῦ σοῦ δούλου, τοῦ παρόντος κινδύνου, καὶ ζάλην τὴν πολλὴν καὶ χαλεπὴν, μεταποίησον νῦν Δέσποτα, καὶ μετάτρεψον τούτου, τὸ πένθος εἰς χαρὰν διηνεκῆ, ἵνα πίστει καὶ πόθῳ, ἀπαύστως μεγαλύνῃ σε.

Σοῦ τὴν πολλὴν εὐσπλαγχνίαν, μὴ νικήσῃ Οἰκτίρμον, τὸ πλῆθος τῶν ἀμέτρων μου κακῶν· ἀλλὰ συνήθει ἐλέει σου, δι' ἡμῶν σοι κραυγάζει ὁ δοῦλός σου· Νῦν ῥῦσαί με Χριστὲ, ἀπὸ βλάβης παντοίας, ὁ μόνος πολυέλεος. Δόξα.

Φεῖσαί μου Κύριε, φεῖσαι, ὅταν μέλλῃς με κρῖναι, καὶ μὴ καταδικάσῃς με εἰς πῦρ· μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, δυσωπεῖ σε Παρθένος, ἡ σὲ κυοφορήσασα Χριστὲ, τῶν Ἀγγέλων τὰ πλήθη, καὶ τῶν Μαρτύρων σύλλογος.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπεραγία Παρθένε, μετὰ τῶν Ἀσωμάτων λειτουργῶν, καὶ ἁγίων Ἀγγέλων, Ἀποστόλων, Προφητῶν, Μαρτύρων, καὶ Ὁσίων ἁπάντων, τὸν μόνον ὑπεράγαθον Θεὸν, ἐκδυσώπει ῥυσθῆναι, κακώσεως τὸν δοῦλόν σου.

Εἶθ' οὕτως. Ἄξιον ἐστὶν ὡς ἀληθῶς. Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί. Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ.

Εἶτα μνημονεύει τὸν ἀσθενῆ· καὶ λαμβάνων θρυαλλίδα, συναλείφει αὐτὸν λέγων τὴν Εὐχὴν ταύτην·

Πάτερ ἅγιε, ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ πέμψας τὸν μονογενῆ σου Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πᾶσαν νόσον ἰώμενον, καὶ ἐκ θανάτου λυτρούμενον, ἴασαι καὶ τὸν δοῦλόν σου (τὸν δεῖνα), ἐκ τῆς περιεχούσης αὐτὸν ψυχικῆς τε καὶ σωματικῆς ἀσθενείας, διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου· καὶ ζωοποίησον αὐτὸν, κατὰ τὸ σοὶ εὐάρεστον, ὅπως τὴν ὀφειλομένην σοι εὐχαριστίαν καὶ προσκύνησιν ἐν ἀγαθοεργίαις ἀποπληροῖ· πρεσβείαις τῆς ὑπερευλογη-



μένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΕΥΧΗ

### ΕΙΣ ΑΣΘΕΝΗ ΚΑΙ ΜΗ ΥΠΝΟΥΝΤΑ,

ἤτοι τῶν ἁγίων Ἑπτὰ Παίδων.

Ὁ Θεὸς ὁ μέγας, καὶ αἰνετὸς, καὶ ἀκατάληπτος, καὶ ἀνεκδιήγητος, ὁ πλάσας τὸν ἄνθρωπον τῇ χειρί σου, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ τῇ εἰκόνι τῇ σῇ τιμήσας αὐτὸν, Ἰησοῦ Χριστὲ, τὸ ἐπιπόθητον ὄνομα, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, ἐπιφάνηθι ἐπὶ τὸν δοῦλόν σου (τόνδε), καὶ ἐπίσκεψαι αὐτὸν ψυχῇ καὶ σώματι, δυσωπούμενος ὑπὸ τῆς πανενδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· τῶν ἁγίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου, καὶ Κυρίλλου· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος τοῦ Θαυματουργοῦ, καὶ πάντων τῶν ἁγίων Ἱεραρχῶν· τοῦ ἁγίου Ἀποστόλου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου· τῶν ἁγίων, ἐνδόξων, καὶ Μεγαλομαρτύρων, Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Στρατηλάτου, καὶ πάντων τῶν ἁγίων Μαρτύρων· τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάββα τοῦ Ἡγιασμένου, Θεοδοσίου τοῦ Κοινοβιάρχου, Ὀνουφρίου, Ἀρσενίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ πάντων τῶν Ὁσίων· τῶν ἁγίων καὶ ἰαματικῶν Ἀναργύρων Κοσμᾶ καὶ

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΑΜΟΥ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Θαλελαίου καὶ Τρύφωνος, καὶ τῶν λοιπῶν· τοῦ Ἁγίου (τοῦδε), καὶ πάντων σου τῶν Ἁγίων· καὶ δὸς αὐτῷ ὕπνον ἀνέσεως, ὕπνον σωματικὸν, ὑγείας, καὶ σωτηρίας, καὶ ζωῆς, καὶ ῥῶσιν ψυχῆς καὶ σώματος· καὶ ὡς ἐπεσκέψω ποτὲ Ἀβιμέλεχ τὸν θεράποντά σου ἐν τῷ ναῷ τοῦ Ἀγρίππα, καὶ ἔδωκας αὐτῷ ὕπνον παραμυθίας, τοῦ μὴ ἰδεῖν τὴν πτῶσιν Ἱερουσαλὴμ, καὶ τοῦτον κοιμίσας ὕπνον θρεπτικὸν, καὶ πάλιν τοῦτον ἀναστήσας ἐν μιᾷ καιροῦ ῥοπῇ, εἰς δόξαν τῆς σῆς ἀγαθότητος· ἀλλὰ καὶ τοὺς ἁγίους σου, καὶ ἐνδόξους Ἑπτὰ Παῖδας, ὁμολογητὰς καὶ μάρτυρας τῆς σῆς ἐπιφανείας ἀναδείξας, ἐν ταῖς ἡμέραις Δεκίου τοῦ βασιλέως καὶ ἀποστάτου, καὶ τούτους κοιμίσας ἐν τῷ σπηλαίῳ ἔτη τριακόσια ἑβδομήκοντα δύω, ὡσεὶ βρέφη θάλποντα ἐν τῇ νηδύϊ τῆς αὐτῶν μητρὸς, καὶ μηδόλως ὑπομείναντα φθορὰν, εἰς ἔπαινον καὶ δόξαν τῆς φιλανθρωπίας σου, καὶ εἰς ἔνδειξιν καὶ βεβαίωσιν ἡμῶν τῆς παλιγγενεσίας καὶ ἀναστάσεως πάντων· Αὐτὸς οὖν, φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν, διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου Πνεύματος, καὶ ἐπίσκεψαι τὸν δοῦλόν σου (τόνδε)· καὶ δώρησαι αὐτῷ ὑγείαν, ῥῶσιν, καὶ εὐρωστίαν, διὰ τῆς σῆς ἀγαθότητος· ὅτι παρὰ σοῦ ἐστι πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον. Σὺ γὰρ εἶ ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΨΥΧΟΡΡΑΓΟΥΝΤΑ

Μετὰ τὸν Εὐλογητὸν, Τρισάγιον, Παναγία Τριὰς, Πάτερ ἡμῶν, Ὅτι σοῦ· τὸ, Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν γ'. καὶ τοὺς παρόντας Ψαλμούς· Ὁ Θεὸς, εἰς τὴν βοήθειάν μου· Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου. Εἶτα τὸν Ν'. καὶ τὸν παρόντα Κανόνα, ποίημα Κυροῦ Ἀνδρέου Κρήτης Ἱεροσολυμίτου. (*)

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Δεῦτε συνάχθητε πάντες οἱ εὐσεβῶς, ἐν τῷ βίῳ ζήσαντες, καὶ θρηνήσατε ψυχὴν, ξενωθεῖσαν δόξης τοῦ Θεοῦ, καὶ δουλεύσασαν αἰσχροῖς, δαίμοσι πάσῃ σπουδῇ.

Νῦν δὲ ὁ χρόνος μου ἅπας ὁ τῆς ζωῆς, ὡς καπνὸς παρέδραμε, καὶ παρέστησαν λοιπὸν, Ἄγγελοι πεμφθέντες ἐκ Θεοῦ, τὴν ἀθλίαν μου ψυχὴν, ζητοῦντες ἀσυμπαθῶς.

Δόξα.

Ἰδοὺ ἐφέστηκεν ὄχλος τῶν πονηρῶν, πνευμάτων κατέχοντες, τῶν ἐμῶν ἁμαρτιῶν, ἐγγραφὰς, καὶ κράζουσι σφοδρῶς, ἐκζητοῦντες ἀναιδῶς, τὴν ταπεινήν μου ψυχήν.

Καὶ νῦν. Θεοτοκίον.

Λοιπὸν πρὸς τίνα βοήσω; τίς μου κλαυθμὸν, ἐξ ὀδύνης δέξεται, καὶ καρδίας στεναγμόν; εἰμὴ σὺ πανάχραντε Ἁγνὴ, ἡ ἐλπὶς Χριστιανῶν, καὶ πάντων ἁμαρτωλῶν.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Καλοί μου φίλοι καὶ γνωστοὶ, ἵνα τί οὐ θρηνεῖτε, ἐκ ψυχῆς καὶ καρδίας, τὸν ποτὲ ἀγαπητὸν, καὶ φίλον καὶ ἀδελφὸν, νῦν δὲ ξένον καὶ Θεοῦ καὶ πάντων ὑμῶν;

(*) Οὕτως ἐπιγράφεται ὁ Κανών. Ὅσα δὲ εὑρέθησαν ἐν αὐτῷ χωλαίνοντα κατά τε τὴν ἔννοιαν καὶ τὸν ῥυθμὸν, ταῦτα ἀκριβῶς ἐκ τοῦ Χειρογράφου διωρθώθησαν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἀγαπητοί μου ἀδελφοί, τὰς ἐμὰς καθορῶντες, ἁμαρτίας κειμένας, ἐν τῇ στάθμῃ τοῦ ζυγοῦ, Χριστὸν τὸν πάντων Θεὸν, δυσωπεῖτε ἵλεων γενέσθαι μοι.

Δόξα.

Μνησθέντες μου ἀγαπητοὶ, τῆς πρὸς ἡμᾶς φιλίας, τὸν Χριστὸν δυσωπεῖτε, ἐπιβλέψαι ἐπ' ἐμὲ, τὸν δυστυχῆ τῆς ζωῆς, στερηθέντα καὶ βασανιζόμενον.

Καὶ νῦν. Θεοτοκίον.

Κλῖνον τὸ οὖς σου ἐπ' ἐμοὶ, τοῦ Θεοῦ μου ἡ Μήτηρ, ἐκ τοῦ ὕψους τῆς δόξης, τῆς πολλῆς σου ἀγαθή· εἰσάκουσον στεναγμῶν, τελευταίων, καὶ χεῖρά μοι ὄρεξον (*).

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Οἴμοι τὸν ἄσωτον, οἴμοι τὸν ἄθλιον, ὅτι χεῖρας ἐκτείνων πρὸς τοὺς ἐμοὺς, φίλους τε καὶ δάκρυα, ἐξ ὀφθαλμῶν μου προχέων, ἀβοήθητος προέρχομαι.

Ἀγὼν ἐπέστη μοι, ψυχῆς πανόλεθρος, καὶ τὰ ὄμματα ῥέπω πρὸς τοὺς Θεοῦ, φωτεινοὺς Ἀγγέλους, καὶ βοῶ· Μικρὸν ἐάσατέ με ζῆν· ἀλλ' οὐδεὶς ὁ εἰσακούων μου.

Δόξα.

Ἐμὲ πενθήσατε, ἐμὲ θρηνήσατε, τῶν Ἀγγέλων οἱ δῆμοι καὶ τῶν βροτῶν, πάντων οἱ φιλόχριστοι· ἀθλίως γάρ μου ἡ ψυχὴ, ἐκ τοῦ σώματος χωρίζεται.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, Δέσποινα, ἄρτι ἐλέησον, ψυχὴν ἀπορουμένην καὶ πρὸς τὴν σὴν, σκέπην μόνην βλέπουσαν, καὶ μὴ παρίδῃς ἀγαθὴ, ἐκδοθῆναί με τοῖς δαίμοσι.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

Φῶς νοητὸν λάμψον ἐπ' ἐμοὶ, ἴδω σε Χριστὲ κἂν πρὸς βραχὺ, καὶ πρόσωπόν σου ὀφθείη μοι· νέφος γὰρ δαιμόνων, ἄφνω ἐπῆλθέ μοι, καὶ σκότος τῶν αἰσχρῶν μου, ἔργων καλύπτει με.

(*) Μετὰ ταῦτα τὸ χειρόγραφον ἔχει καὶ Αἴτησιν. «Ἐλέησον ἡμᾶς, ὁ »Θεὸς, κατὰ τὸ μέγα. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς κτλ. Καὶ »ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα. Ὅτι ἐλεήμων »καὶ φιλάνθρωπος. Εἶτα τὸ, Πρεσβεία θερμή».



Σώζεσθε πάντες ἀγαπητοὶ, ἄσπλαγχνοι φανέντες ἐπ' ἐμὲ, τὸν δυστυχῆ καὶ πανάθλιον· πάντες γὰρ εἰ μίαν φωνὴν ἐφθέγξασθε, πρὸς τὸν ἐμὸν Δεσπότην, οὐκ ἂν ἀπέτυχον.

Δόξα.

Σῶζου ὁ μέγας ἄρχων Θεοῦ, Μιχαὴλ Ἀγγέλων ἀρχηγέ· οὐκ ἔτι γάρ σου τὸ ἅγιον, ὄνομα καλέσω τοῦ βοηθῆσαί μοι· σιγῶσι γάρ μου χείλη, καὶ γλῶσσα δέδεται.

Καὶ νῦν. Θεοτοκίον.

Σῶζου καὶ σὺ ἄχραντε ἁγνὴ, Μήτηρ τοῦ Χριστοῦ μου καὶ Θεοῦ· οὐκ ἔτι γὰρ τὴν εἰκόνα σου, ἐξ ἐμῶν πταισμάτων βλέψω ὁ ἄθλιος· ἐσβέσθη γὰρ τὸ φῶς μου, νὺξ δὲ μ' ἐκάλυψε.

Ὠδὴ ϛ'. Τοῦ βίου τὴν θάλασσαν.

Κλίνατε τὸ οὖς ὑμῶν, ἀδελφοί μου πρὸς ἐμὲ, καὶ συμπαθῶς ἀκούσατε, ἐλεεινῶν ῥημάτων μικρὰν φθογγὴν, καὶ μὴ παρακούσητε, καὶ μισθὸν ἐκ Θεοῦ μου πάντως λήψεσθε.

Ἰδοὺ νῦν χωρίζεται, μετ' ὀδύνης ἡ ψυχὴ, ἐκ τοῦ δεινοῦ μου σώματος· μὴ οὖν τὸ σῶμά μου θάψητε ἐν τῇ γῇ· ἐάσατε ἄταφον, ὅπως φάγωσι κύνες τὴν καρδίαν μου.

Δόξα.

Τί γάρ μοι τὸ ὄφελος, τὴν ψυχὴν ἐν φοβεροῖς, κολαστηρίοις σύρεσθαι, τὸ δὲ σῶμά μου ψάλλεσθαι ὑφ' ὑμῶν; οὐκ ἔστι γὰρ ἄξιον· ἀλλὰ σύραντες ἔξω κυσὶ ῥίψατε.

Καὶ νῦν. Θεοτοκίον.

Ἴσως διερχόμενοι, ξένοι βλέποντες ὀστᾶ, ὑπὸ κυνῶν συρόμενα, κατανυγέντες κράξουσιν ἐκ ψυχῆς· Βοήθησον Δέσποινα, τῇ ψυχῇ τοῦ ἀθλίου τούτου σώματος (*).

(*) Ἐνταῦθα, κατὰ τὸ Χειρόγραφον, γίνεται πάλιν Ἐκτενὴς, ὡς καὶ ἀνωτέρω. Εἶτα τὸ, Προστασία τῶν Χριστιανῶν· καὶ ὁ Οἶκος· »Ἔκτεινόν »σου παλάμας, ἐν αἷς ὁ πάντων Δεσπότης, ὡς βρέφος ἐνηγκαλίσθη διὰ πλῆ»θος ἀγαθότητος· μὴ καταλίπῃς ἡμᾶς τοὺς ἀεὶ εἰς σὲ ἐλπίζοντας, τῇ ἀμέτρῳ »προστασίᾳ σου, καὶ ἀμέτρῳ συμπαθείᾳ σου· οἰκτείρησον ἡμῶν, καὶ φεῖσαι τῶν »ψυχῶν ἡμῶν, εὐσπλαγχνίας ὑπάρχουσα πηγή· σὲ γὰρ προστασίαν κεκτήμεθα »Πανάχραντε, ἐκ τῆς πρώην ῥυσθέντες κακώσεως. Ἀλλ' ὡς ἔχουσα σπλάγχνα »οἰκτιρμῶν, τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα »ἀεὶ, Θεοτόκε τῶν τιμώντων σε».

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἰδοὺ σύραντες ἀπέσπασαν τοῦ σώματος, δεινῶς ἄφνω ἀθλίαν ψυχὴν, καὶ ἀπάγουσι, πρὸς Κριτὴν φρικτὸν καὶ φοβερόν· μνησθέντες μου οὖν ἀγαπητοὶ, τῆς πρὸς ἡμᾶς ἀναστροφῆς, μνείαν ποιεῖσθέ μου.

Ἐλεήσατέ με Ἄγγελοι πανάγιοι, Θεοῦ τοῦ παντοκράτορος, καὶ λυτρώσασθε, τελωνίων πάντων πονηρῶν· οὐκ ἔχω γὰρ ἔργον ἀγαθὸν, ἀντισταθμῆσαι τῷ ζυγῷ, τῶν φαύλων πράξεων.

Δόξα.

Ἣν ἐπανέλθητε πανάγιοί μου Ἄγγελοι, παραςῆναι βήματι Χριστοῦ, γόνυ κλίναντες, θρηνωδῶς βοήσατε αὐτῷ· Ἐλέησον πάντων Ποιητὰ, ἔργον χειρῶν σου ἀγαθὲ, καὶ μὴ ἀπώσῃ ἐκ σοῦ.

Καὶ νῦν. **Θεοτοκίον.**

Προσκυνήσαντες τὴν Δέσποιναν καὶ ἄχραντον, Μητέρα τοῦ Θεοῦ ἡμῶν, δυσωπήσατε, ὅπως κλίνῃ γόνυ μεθ᾽ ἡμῶν, καὶ κάμψῃ πρὸς δέησιν αὐτῷ· Μήτηρ γὰρ οὖσα καὶ τροφὸς, εἰσακουσθήσεται.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Συστενάξατε πάντα τῆς γῆς τὰ πέρατα, ἐπ᾽ ἐμοὶ τῷ ἀθλίῳ καὶ συνδακρύσατε· ἦλθε γὰρ δεινὴ, ἐκ τῶν ἄνω ἀπόφασις, χεῖράς μου δεθῆναι, καὶ πόδας ἐξωσθῆναι.

Ἀστοχήσας ἐκ πάντων πρὸς σὲ τὸν Φύλακα, τῆς ἀθλίας ψυχῆς μου στενάζω κράζων πικρῶς· Ἴδε μου δεσμῶν, αἰωνίων τὴν κάκωσιν, καὶ μὴ ἀποκάμῃς, ὑπὲρ ἐμοῦ πρεσβεύων.

Δόξα.

Ἐπειδὴ ἐγενόμην δαίμοσιν ἔκδοτος, καὶ εἰς ᾅδου πυθμένα βίᾳ κατάγομαι, οἶδα ὅτι νῦν, πάντες μου ἐπελάθοντο· σὺ δὲ μνήσθητί μου, ὦ Ἄγγελε Κυρίου.

Καὶ νῦν. **Θεοτοκίον.**

Τοῦ Θεοῦ μου ἡ Μήτηρ πῶς ἐπελάθου μου; πῶς οὐκ ἔκαμψας σπλάγχνα τοῦ ἐκκενώσαντος, αἷμα ἐκ πλευρᾶς, ἵνα σώσῃ οὓς ἔπλασεν; οἴμοι πῶς ἐκλείσθη, τὰ σπλάγχνα τοῦ Χριστοῦ μου!



Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Θεοῦ οὐκ ἔτι ἐγὼ μνησθήσομαι· οὐκ ἔνι γὰρ ἐν ᾅδῃ μνημονεύειν τὸν Κύριον· ἀλλὰ σκότει δεινῷ καλυπτόμενος, κάθημαι περιμένων τὴν ἐξανάστασιν· πάντων τῶν βροτῶν ἀνακριθεὶς, εἰς πῦρ βληθήσομαι.

Θεὸς οὐκ ἔτι ἐμοῦ μνησθήσεται, οὐδὲ πληθὺς Ἀγγέλων, Ἀρχαγγέλων ὁμήγυρις, Προφητῶν, Ἀποστόλων ὁ σύλλογος, πλήθη τε τῶν Μαρτύρων, πάντων Δικαίων τε· μόνος οὖν ἀντλήσω τὰ κακὰ, ἅπερ συνέλεξα.

Δόξα.

Θρηνήσατέ με νῦν καὶ πενθήσατε, ᾅδου πυθμὴν καὶ ἄβυσσος, καὶ σκώληξ καὶ τάρταρος· αἱ κολάσεις οὖν πᾶσαι στενάξατε· μόνος γὰρ ἐγὼ ὁ ἄθλιος, ἤχθην εἰς ὑμᾶς παραδοθεὶς, τοῦ τιμωρεῖσθαι πικρῶς.

Καὶ νῦν. **Θεοτοκίον.**

Θεοῦ ἡ Μήτηρ βλέψον εἰς ἄβυσσον, ἴδε ψυχὴν βασάνοις ἐκδοθεῖσαν κολάζεσθαι, καὶ τὰ γόνατα κλίνασα δάκρυσον· ἵνα ἐπικαμφθεὶς σου ταῖς παρακλήσεσιν, ὁ τὸ αἷμα δοὺς ὑπὲρ ἐμοῦ, ἀνακαλέσῃ με (*).

(*) Μετὰ τὴν θ΄. Ὠδὴν, τὸ Χειρόγραφον ἔχει καὶ τὸ, Τὴν τιμιωτέραν· Δέσποινα καὶ Μήτηρ· τὸ Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐςιν· Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον· Δόξα, Κύριε ἐλέησον ἡμᾶς· Καὶ νῦν, Τῆς εὐσπλαγχνίας. Εἶτα, τὴν Αἴτησιν, ὡς ἀνωτέρω., καὶ τὴν Εὐχὴν ταύτην· Τοῦ Κυρίου δεηθῶμεν· « Δέσποτα, Κύριε » ὁ Θεὸς, ὁ Παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν » Ἰησοῦ Χριστοῦ, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι κ.τ.λ. (Ὅρα σελ. 327.)

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΚ ΤΩΝ ΑΠΟΚΡΙΣΕΩΝ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΙΟΥ ΘΕΟΔΩΡΟΥ, ΠΕΡΙ ΤΟΥ, ΠΩΣ ΔΕΙ ΘΑΠΤΕΙΝ ΤΟΥΣ ΝΕΚΡΟΥΣ.

### ΚΕΦΑΛΑΙΟΝ ϞΑ΄.

#### ΕΡΩΤΗΣΙΣ.

Ἀπὸ ἀρχαίας ἐγχωρίου συνηθείας θάπτονται λείψανα Ὀρθοδόξων εἰς τὰς κατὰ χώραν Ἐκκλησίας ἡμῶν. Ζητῶ οὖν μαθεῖν, εἰ ἔξεστι τοῦτο ἀποκριμάτισον.

#### ΑΠΟΚΡΙΣΙΣ.

Διαφορὰ μεγάλη ἐστὶν Ἐκκλησιῶν καθιερωθεισῶν διὰ Ἐγκαινίων, ἀνοιξίων, καὶ ἐνθρονιασμοῦ, χρίσματί τε Μύρου ἁγίου, καὶ ἀποθέσει ἁγίων Λειψάνων Μαρτυρικῶν, καὶ τῶν μὴ οὕτως ἁγιασθεισῶν, καὶ εὐκτηρίων τόπον ἐπεχουσῶν. Διὸ ἐν ἐκείναις μὲν, ἐν αἷς δηλονότι Μαρτυρικὰ Λείψανα τεθησαύρισται καὶ ἁγίου Μύρου ἐμεσόλαβε χρίσμα, ἀνθρώπινον λείψανον οἱονδηποτοῦν οὐ ταφήσεται, κατὰ τὸ β΄. Κεφ. τοῦ α΄. Τίτλου, τοῦ βιβλίου τῶν Βασιλικῶν, τὸ λέγον· «Μηδεὶς ἐν Ἐκκλησίᾳ θαπτέτω νεκρόν»· καὶ κατὰ τὸν ἔξωθεν αὐτοῦ κείμενον νόμον παλαιὸν, τὸν λέγοντα· «Οὐκ ἔξεστι θάπτειν τινὰ ἐν Ἐκκλησίᾳ, ἐὰν δηλονότι Μάρτυρος ἐκεῖσε σῶμα ἀπόκειται».

Εἰς δὲ τοὺς μὴ οὕτω καθιερωθέντας ἁγίους Οἴκους, Εὐκτηρίους κατωνομασμένους, ἀκινδύνως ἐνταφιασθήσεται λείψανα.

# ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ

## ΕΙΣ ΚΟΣΜΙΚΟΥΣ.

Τελευτήσαντος τινὸς τῶν Ὀρθοδόξων, εὐθὺς προσκαλεῖται παρὰ τῶν συγγενῶν αὐτοῦ ὁ Ἱερεύς· ὃς καὶ ἀπελθὼν εἰς τὸν οἶκον, ἐν ᾧ τὸ λείψανον κεῖται, καὶ βαλὼν Ἐπιτραχήλιον, καὶ ἐπὶ τὸν θυμιατὸν θυμίαμα, εὐλογεῖ συνήθως τὸν εὐλογητὸν Θεὸν, καὶ ἄρχονται οἱ συμπαρόντες τοῦ, Ἅγιος ὁ Θεός· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ τὰ Τροπάρια ταῦτα, Ἦχος δ΄.

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν τοῦ δούλου σου Σῶτερ ἀνάπαυσον, φυλάττων αὐτὴν εἰς τὴν μακαρίαν ζωὴν, τὴν παρὰ σοῦ φιλάνθρωπε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἰς τὴν κατάπαυσίν σου Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Σὺ εἶ ὁ Θεὸς, ὁ καταβὰς εἰς ᾅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν τοῦ δούλου σου Σῶτερ ἀνάπαυσον.

Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὴν ψυχὴν τοῦ δούλου σȣ.

Ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον, καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου τοῦ Θεοῦ (τοῦδε), καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ, ἔνθα οἱ Δίκαιοι ἀναπαύονται· τὰ ἐλέη τοῦ Θεοῦ, τὴν Βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτοῦ ἁμαρτιῶν, παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ σȣ δωρησάμενος· αὐτὸς, Κύριε, ἀνάπαυσον τὴν ψυχὴν τȣ͂ κεκοιμημένου δȣ́λου σȣ (τȣ͂δε) ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη, καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ᾽ αὐτȣ͂ πραχθὲν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς, συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος ἐπὶ τῆς γῆς, ὃς ζήσεται, καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου, ἀλήθεια. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ, καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου (τοῦδε), Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα, καὶ νῦν. Καὶ Ἀπόλυσις.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Καὶ εἰ μὲν ἕτοιμα εἰσὶν ἅπαντα τὰ τοῦ Ἐξοδίου, εὐλογεῖ αὖθις ὁ Ἱερεὺς, καὶ ἀρχόμεθα ψάλλειν τὸ, Ἅγιος ὁ Θεὸς, μετὰ φόβου καὶ πάσης κατανύξεως. Καὶ ἄραντες τὸ λείψανον, ἀπερχόμεθα εἰς τὸν Ναὸν, προπορευομένων τῶν Ἱερέων μετὰ λαμπάδων, καὶ τοῦ Διακόνου μετὰ θυμιατοῦ. Ὅταν δὲ ἔλθωσιν ἐν τῷ Ναῷ, τὸ μὲν λείψανον ἀποτίθεται ἐν τῷ Νάρθηκι, καὶ ἄρχονται τοῦ ϟ΄ Ψαλμοῦ.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.

Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου· καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν.

Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους.

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

Οὐ φοβηθήσει ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας.

Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος δαιμονίου μεσημβρινοῦ.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

Ὅτι σὺ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου.

Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.

Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Ἐπὶ χειρῶν ἀροῦσί σε, μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Ὅτι ἐπ᾽ ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου.



Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· μετ᾽ αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν.

Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτοῦ τὸ σωτήριόν μου.

Καὶ μετὰ τοῦτο, γεγωνοτέρᾳ φωνῇ·

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἄμωμοι ἐν ὁδῷ. Ἀλληλούϊα.

Καὶ ψάλλομεν τὴν πρώτην Στάσιν τοῦ Ἀμώμου, εἰς Ἦχον πλ. β΄. λέγοντες ἐν τῷ τέλει ἑκάστου Στίχου,

Ἀλληλούϊα.

❈ Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου. Ἀλληλούϊα.

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα.

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου.

Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

Ἀνταπόδος τῷ δούλῳ σου, ζῆσόν με, καὶ φυλάξω τοὺς λόγους σου.

Ἀποκάλυψον τοὺς ὀφθαλμούς μȣ, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου.

✠ Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

Ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ' ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου.

Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

✠ Ἐνύσταξεν ἡ ψυχή μȣ ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.

Ὁδὸν ἀληθείας ᾑρετισάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε, μή με καταισχύνῃς.

Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.



Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός.

Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

✠ Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν.

Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με.

Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.

Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά.

Ἰδοὺ, ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.

Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα.

Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην.

✠ Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν, τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σȣ ἐν τόπῳ παροικίας μȣ.

Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.

Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Μερίς μου εἶ, Κύριε· εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμȣ σου οὐκ ἐπελαθόμην.

Μεσονύκτιον ἐξηγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

✠ Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβȣμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με.

Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου.

Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα· διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.

Χρηστὸς εἶ σὺ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.

Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων· ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.

Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν· ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. Δόξα, καὶ νῦν.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου τοῦ Θεοῦ (τοῦδε), καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ, ἔνθα οἱ Δίκαιοι ἀναπαύονται· τὰ ἐλέη τοῦ Θεοῦ, τὴν Βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτοῦ ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Ὁ Ἱερεὺς ἐκφωνεῖ·

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ, καὶ ἡ ἀνάπαυσις κ.τ.λ.

Καὶ μετὰ τοῦτο ἀρχόμεθα τῆς δευτέρας Στάσεως, εἰς Ἦχον πλ. α΄. λέγοντες ἐν ἑκάστῳ Στίχῳ, Ἐλέησον τὸν δοῦλόν σου.

## ΣΤΑΣΙΣ Β΄.

*Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με· συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Ἐλέησον τὸν δοῦλόν σου.

Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με, κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν.

Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμὲ, ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.

Ἐκλείπει εἰς τὸ σωτήριόν σου, ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες· Πότε παρακαλέσεις με;

❋ Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε.

Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με· βοήθησόν μοι.

Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.

Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει.

Τῇ διατάξει σȣ διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δȣ̃λα σά.

Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστὶ, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

## ΜΕΣΗ

❋ Σός εἰμι ἐγὼ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με· τὰ μαρτύριά σου συνῆκα.

Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σȣ σφόδρα.

Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε· ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.

Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν.

Ὑπὲρ πρεσβυτέρȣς συνῆκα, ὅτι τὰς ἐντολάς σȣ ἐξεζήτησα.

Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.

✠ Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου.

Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

Λύχνος τοῖς ποσί μȣ ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μȣ.

Ὤμοσα, καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐταπεινώθην ἕως σφόδρα, Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με.

Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν.

✠ Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν.

Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.

Βοηθός μȣ, καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Βοήθησόν μοι, καὶ σωθήσομαι· καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.

Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

Ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν· μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Δοῦλός σου εἰμὶ ἐγώ· συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου.

❉ Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.

Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Θαυμαστὰ τὰ μαρτύριά σου· διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους.

Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. Δόξα, καὶ νῦν.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς.

Ὁ δὲ Ἱερεὺς ἐκφωνεῖ·

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ, καὶ ἡ ἀνάπαυσις κ.τ.λ.

Καὶ οὕτως ἀρχόμεθα τῆς τρίτης Στάσεως, εἰς Ἦχον πλ. δ'. λέγοντες ἐν ἑκάστῳ Στίχῳ, Ἀλληλούϊα.



## ΣΤΑΣΙΣ Γ'.

❉ Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Ἀλληλούϊα.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.

Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.

Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα.

Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

❉ Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά οὐκ ἐπελαθόμην.

Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.

Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με· αἱ ἐντολαί σου μελέτη μου.

Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με, καὶ ζήσομαι.

Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου· ἐπάκουσόν μου, Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω.

Ἐκέκραξά σοι· Σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.

Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾷν τὰ λόγιά σου.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

❊ Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρίμα σου ζῆσόν με.

Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

Ἐγγὺς εἶ σὺ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

Κατ᾿ ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

Οἱ οἰκτιρμοί σου πολλοὶ, Κύριε· κατὰ τὸ κρίμα σου ζῆσόν με.

Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα· Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με.

Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

❊ Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα.

Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

Προσεδόκων τὸ σωτήριόν σου, Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε.

Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Ἐξερεύξαιντο (*) τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.

Φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου. ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ἡρετισάμην.

Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε, καὶ ὁ νόμος σου μελέτη μου ἐστί.

❉Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

❉Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Καὶ εὐθὺς τὰ Νεκρώσιμα Εὐλογητάρια.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ χορὸς, εὗρε πηγὴν τῆς ζωῆς, καὶ θύραν Παραδείσου· εὕρω κᾀγὼ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ εἰμι· ἀνακάλεσαί με Σωτὴρ, καὶ σῶσόν με.

Εὐλογητὸς εἶ, Κύριε.

Ὁ πάλαι μὲν ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας, εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε, τῷ ἀρχαίῳ κάλλει ἀναμορφώσασθαι.

(*) Τὸ ῥῆμα τοῦτο, καὶ τὸ εἰς τὸ ἐφεξῆς ἐδάφιον φθέγξαιτο, ἡ ἐν Μόσχᾳ ἔκδοσις τῆς Γραφῆς ἔχει εἰς μέλλοντα χρόνον· ἐξερεύξονται, καὶ φθέγξεται.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εὐλογητὸς εἶ, Κύριε.

Εἰκών εἰμι, τῆς ἀῤῥήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον, τὸ σὸν πλάσμα Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ· καὶ τὴν ποθεινήν, πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε.

Οἱ τὸν Ἀμνόν, τοῦ Θεοῦ κηρύξαντες, καὶ σφαγιασθέντες ὥσπερ ἄρνες, καὶ πρὸς ζωήν, τὴν ἀγήρω ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες, τοῦτον ἐκτενῶς, Μάρτυρες αἰτήσασθε, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι.

Εὐλογητὸς εἶ, Κύριε.

Ἀνάπαυσον, ὁ Θεὸς τὸν δοῦλόν σου, καὶ κατάταξον αὐτὸν ἐν Παραδείσῳ, ὅπου χοροί, τῶν Ἁγίων Κύριε, καὶ οἱ Δίκαιοι ἐκλάμπουσιν ὡς φωστῆρες· τὸν κεκοιμημένον δοῦλόν σου ἀνάπαυσον, παρορῶν αὐτοῦ πάντα τὰ ἐγκλήματα.

Δόξα. Τριαδικόν.

Τὸ τριλαμπές, τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς καὶ θεῖον Πνεῦμα· φώτισον ἡμᾶς, πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε σεμνὴ ἡ Θεὸν σαρκὶ τεκοῦσα, εἰς πάντων σωτηρίαν, δι' ἧς γένος, τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν· διὰ σοῦ εὕροιμεν Παράδεισον, Θεοτόκε ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός.

Ἐκ τρίτου.

Εἶτα ὁ Διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως, καὶ τὰ λοιπά.

Καὶ μετὰ τὴν Ἐκφώνησιν, ψάλλομεν τὰ παρόντα
Καθίσματα, Ἦχος πλ. α'.

Ἀνάπαυσον Σωτὴρ ἡμῶν, μετὰ Δικαίων τὸν δοῦλόν σου, καὶ τοῦτον κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα αὐτοῦ, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ καὶ γνώσει, φιλάνθρωπε.



Δόξα. Καὶ πάντα τὰ ἐν ἀγνοίᾳ καὶ γνώσει, φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ Χριστὲ ὁ Θεός, υἱοὺς φωτὸς δι' αὐτῆς ἀναδείξας, ἐλέησον ἡμᾶς.

Ὁ Ν'. καὶ ὁ Νεκρώσιμος Κανών, οὗ ἡ ἀκροστιχίς·
Ἔκτον προσαυδῶ τοῖς ἀπελθοῦσιν μέλος. Ποίημα Θεοφάνους.

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς, οἱ γενναῖοι Μάρτυρες, δυσωποῦσί σε Χριστέ· ὃν ἐκ γῆς μετέστησας πιστόν, αἰωνίων ἀγαθῶν τυχεῖν ἀξίωσον.

Κατακοσμήσας τὰ πάντα, ζῶον μικτόν, μέσον με τὸν ἄνθρωπον, ταπεινότητος ὁμοῦ, καὶ μεγέθους ἔπλασας· διὸ τὴν τοῦ δούλου σου ψυχήν, Σῶτερ ἀνάπαυσον.

Τοῦ Παραδείσου πολίτην καὶ γεωργόν, κατ' ἀρχάς με ἔταξας· παραβάντα δὲ τὴν σήν, ἐντολὴν ἐξώρισας· διό, τὴν τοῦ δούλου σου ψυχήν, Σῶτερ ἀνάπαυσον.

Θεοτοκίον.

Ὁ ἐκ πλευρᾶς διαπλάσας Εὔαν τοπρίν, τὴν ἡμῶν προμήτορα, ἐξ ἀχράντου σου γαστρός, σάρκα περιβάλλεται· δι' ἧς, τοῦ θανάτου τὴν ἰσχὺν Ἁγνὴ διέλυσεν.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Νομίμως ἤθλησαν οἱ σοί, Μάρτυρες Ζωοδότα, καὶ στεφάνῳ τῆς νίκης κοσμηθέντες παρὰ σοῦ, τῷ μεταστάντι πιστῶς, αἰωνίαν λύτρωσιν βραβεύουσι.

Παιδεύσας πρότερον πολλοῖς, τέρασι καὶ σημείοις, ἐμὲ τὸν πλανηθέντα, ἐπ' ἐσχάτων σεαυτόν, κενώσας ὡς συμπαθής, καὶ ζητήσας, εὗρες καὶ διέσωσας.

Ῥεόντων ἄστατον φθοράν, τὸν πρὸς σὲ διαβάντα, ἐν σκηναῖς αἰωνίοις, κατοικεῖν χαρμονικῶς, ἀξίωσον Ἀγαθέ, δικαιώσας πίστει τε καὶ χάριτι. Θεοτοκίον.

Οὐκ ἔστιν ἄμεμπτος ὡς σύ, πάναγνε Θεομῆτορ· μόνη γὰρ ἐξ αἰῶνος, τὸν Θεὸν τὸν ἀληθῆ, συνέλαβες ἐν γαστρί, τοῦ θανάτου λύσαντα τὴν δύναμιν.

Ὁ Εἱρμός· Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Ὁ Διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, κτλ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ μετὰ τὴν Ἐκφώνησιν,
Κάθισμα, Ἦχος πλ. β'.

Ἀληθῶς ματαιότης τὰ σύμπαντα, ὁ δὲ βίος, σκιὰ καὶ ἐνύπνιον· καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενής, ὡς εἶπεν ἡ Γραφή· ὅτε τὸν κόσμον κερδήσωμεν, τότε τῷ τάφῳ οἰκήσωμεν, ὅπου ὁμοῦ βασιλεῖς καὶ πτωχοί· διὸ Χριστὲ ὁ Θεός, τὸν μεταστάντα ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου, μὴ ἐγκαταλίπῃς με· ἀνθρωπίνῃ προστασίᾳ, μὴ καταπιστεύσῃς με· ἀλλ' αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Σοφίας μείζονος, δεικνύων γνώρισμα, καὶ τῆς περὶ τὰ δῶρα πολυτελοῦς, Δέσποτα χρηστότητος, τὰς τῶν Μαρτύρων, χορείας, τοῖς Ἀγγέλοις συνηρίθμησας.

Ἀφράστου δόξης σου, τυχεῖν ἀξίωσον, τὸν πρὸς σὲ μεταστάντα ἔνθα Χριστέ, τῶν εὐφραινομένων ἐστίν, ἡ κατοικία, καὶ φωνή, καθαρᾶς ἀγαλλιάσεως.

Ὑμνοῦντα πρόσδεξαι, τὸ θεῖον κράτος σου, ὃν ἐκ γῆς προσελάβου, τέκνον φωτός, τοῦτον ἐργαζόμενος, τῆς ἁμαρτίας τὴν ἀχλύν, ἐκκαθαίρων Πολυέλεε.

Θεοτοκίον.

Δοχεῖον ἄχραντον, ναὸν παναμώμητον, κιβωτὸν παναγίαν, παρθενικόν, τόπον ἁγιάσματος, σὲ καλλονὴν τοῦ Ἰακὼβ, ὁ Δεσπότης ἐξελέξατο.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ὡς ὁλοκάρπωσις ἱερά, καὶ ὡς ἀπαρχὴ τῆς ἀνθρωπίνης, οἱ Μάρτυρες φύσεως, τῷ δεδοξασμένῳ προσενεχθέντες Θεῷ, ἡμῖν τὴν σωτηρίαν ἀεὶ βραβεύουσι.

Τῆς οὐρανίου διαγωγῆς, τῆς διανομῆς τῶν χαρισμάτων, ἀξίωσον Δέσποτα, τὸν προκοιμηθέντα πιστὸν οἰκέτην σου, παρέχων τῶν πταισμάτων τὴν ἀπολύτρωσιν.

Ὁ μόνος φύσει ζωοποιός, τὸ τῆς ἀγαθότητος ὄντως ἀνεξιχνίαστον πέλαγος, τὸν τελειωθέντα τῆς βασιλείας τῆς σῆς, ἀξίωσον Οἰκτίρμον, μόνε ἀθάνατε.



Θεοτοκίον.

Ἰσχὺς καὶ ὕμνησις ὁ ἐκ σοῦ, Δέσποινα τοῦ κόσμου γεννηθείς, καὶ σωτηρία ἐγένετο, τοῖς ἀπολλυμένοις, ἐκ τῶν τοῦ ᾅδου πυλῶν, ῥυόμενος τοὺς πίστει σὲ μακαρίζοντας.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Σταυρῷ προσηλούμενος, τῶν Μαρτύρων τοὺς χορούς, πρὸς σεαυτὸν συνήγαγες, μιμουμένους τὸ πάθος σου ἀγαθέ· διό σου δεόμεθα, τὸν πρὸς σὲ μεταστάντα νῦν ἀνάπαυσον.

Ἀφράσῳ τῇ δόξῃ σου, ὅταν ἔλθῃς φοβερῶς, κρῖναι τὸν κόσμον ἅπαντα, ἐν νεφέλαις εὐδόκησον λυτρωτά, φαιδρῶς ὑπαντῆσαί σοι, ὃν ἐκ γῆς προσελάβου πιστὸν δοῦλόν σου.

Πηγὴ ζωῆς πέφυκας, ἐν ἀνδρίᾳ θεϊκῇ, πεπεδημένους Δέσποτα, ὁ ἐξάγων· τὸν δοῦλόν σου τὸν πρὸς σέ, πιστῶς ἐκδημήσαντα, ἐν τρυφῇ Παραδείσου κατασκήνωσον.

Θεοτοκίον.

Εἰς γῆν ἀπεστράφημεν, παραβάντες τοῦ Θεοῦ, τὴν ἐντολὴν τὴν ἔνθεον· διὰ σοῦ δὲ Παρθένε πρὸς οὐρανόν, ἐκ γῆς ἀνυψώθημεν, τὴν φθορὰν τοῦ θανάτου ἐκτινάξαντες.

Ὁ Εἱρμός· Τοῦ βίου τὴν θάλασσαν.

Ὁ Διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, καὶ τὰ λοιπά.

Καὶ μετὰ τὴν Ἐκφώνησιν, Κοντάκιον. Ἦχος πλ. δ'.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὴν ψυχὴν τοῦ δούλου σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Ὁ Οἶκος.

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον· οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα, καθὼς ἐκέλευσας ὁ πλάσας με, καὶ εἰπών μοι· Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ὅπου πάντες βροτοὶ πορευσόμεθα, ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδὴν τό, Ἀλληλούϊα.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Λυτρωθέντες τῷ σῷ αἵματι οἱ Μάρτυρες, τῆς πρώτης παραβάσεως, ῥαντισθέντες δὲ τῷ ἰδίῳ αἵματι, τὴν σήν, σαφῶς εἰκονίζουσι σφαγήν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Θρασυνόμενον τὸν θάνατον ἐνέκρωσας, Λόγε ζωαρχικώτατε· τὸν ἐν πίστει δὲ κοιμηθέντα, πρόσδεξαι τανῦν, ὑμνοῦντα καὶ λέγοντα Χριστέ· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ ψυχώσας με τὸν ἄνθρωπον φυσήματι, θείῳ θεαρχικώτατε, τὸν μεταστάντα βασιλείας Δέσποτα τῆς σῆς, ἀξίωσον ψάλλειν σοι Σωτήρ· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὑπερτέρα πάσης κτίσεως πανάμωμε, γέγονας, συλλαβοῦσα Θεὸν, τὸν συντρίψαντα τοῦ θανάτου πύλας, καὶ μοχλοὺς, συνθλάσαντα· ὅθεν σε Ἁγνὴ, ὑμνολογοῦμεν οἱ πιστοὶ, ὡς Θεομήτορα.

Ὠδὴ ή. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Σταθερῶς τοὺς ἀγῶνας ἐπιδειξάμενοι, τῷ τῆς νίκης στεφάνῳ κατεκοσμήθητε, Μάρτυρες Χριστοῦ, ἀθλοφόροι κραυγάζοντες· Σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἱερῶς τοὺς τὸν βίον ἀπολιπόντας πιστοὺς, καὶ πρὸς σὲ τὸν Δεσπότην μεταχωρήσαντας, δέξαι προσηνῶς, ἀναπαύων ὡς εὔσπλαγχνος, σὲ ὑπερυψοῦντας, Χριστὲ εἰς τοὺς αἰῶνας.

Νῦν ἐν γῇ τῶν πραέων πάντας αὐλίζεσθαι, τοὺς προκεκοιμημένους, Σῶτερ εὐδόκησον, πίστει τῇ εἰς σὲ δικαιώσας καὶ χάριτι, σὲ ὑπερυψοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μακαρίζομεν πάντες σὲ Παμμακάριστε, τὴν τὸν Λόγον τὸν ὄντως ὄντα μακάριον, σάρκα δι' ἡμᾶς γεγονότα γεννήσασαν· ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ἐλπὶς Μαρτύρων χοροὺς ἐνεύρωσε, καὶ πρὸς τὴν σὴν ἀγάπην διαπύρως ἐπτέρωσε, τῶν μελλόντων τούτοις προτυπώσασα, τὴν μὴ σαλευομένην ὄντως ἀνάπαυσιν· ἧς τὸν μεταστάντα ἀγαθὲ τυχεῖν ἀξίωσον.

Λαμπρᾶς καὶ θείας τυχεῖν ἐλλάμψεως, τῆς σῆς Χριστὲ τὸν πίστει μεταστάντα εὐδόκησον, τὴν ἐν κόλποις Ἀβραὰμ ἀνάπαυσιν, μόνος ὡς ἐλεήμων, τούτῳ δωρούμενος, καὶ τῆς αἰωνίου ἀξιῶν μακαριότητος.



Ὁ ὢν τῇ φύσει χρηστὸς καὶ εὔσπλαγχνος, καὶ θελητὴς ἐλέους εὐσπλαγχνίας ἡ ἄβυσσος, ὃν ἐκ τόπου τούτου τῆς κακώσεως, καὶ σκιᾶς τοῦ θανάτου, Σῶτερ μετέστησας, ἔνθα καταλάμπει σου τὸ φῶς τοῦτον κατάταξον.

Θεοτοκίον.

Σκηνὴν ἁγίαν Ἁγνὴ γινώσκομεν, καὶ Κιβωτὸν καὶ Πλάκα σὲ τοῦ Νόμου τῆς χάριτος· διὰ σοῦ γὰρ ἄφεσιν δεδώρηται, τοῖς δεδικαιωμένοις διὰ τοῦ αἵματος, τοῦ σωματωθέντος ἐκ τῆς σῆς γαστρὸς πανάμωμε.

Ὁ Εἱρμός· Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ὁ Διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Μετὰ δὲ τὴν Ἐκφώνησιν, ἀρχόμεθα τῶν Ἰδιομέλων.

Ἰωάννου Μοναχοῦ, τοῦ Δαμασκηνοῦ. Ἦχος ά.

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος; πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα· μία ῥοπὴ, καὶ ταῦτα πάντα θάνατος διαδέχεται. Ἀλλ' ἐν τῷ φωτὶ Χριστὲ τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ὃν ἐξελέξω ἀνάπαυσον, ὡς φιλάνθρωπος. Ἦχος β'.

Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ χωριζομένη ἐκ τοῦ σώματος! οἴμοι, πόσα δακρύει τότε, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν! πρὸς τοὺς Ἀγγέλους τὰ ὄμματα ῥέπουσα, ἄπρακτα καθικετεύει· πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα, οὐκ ἔχει τὸν βοηθοῦντα. Διὸ ἀγαπητοί μου ἀδελφοὶ, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τῷ μεταστάντι τὴν ἀνάπαυσιν, παρὰ Χριστοῦ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Ἦχος γ'.

Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισται· διὸ Χριστῷ τῷ ἀθανάτῳ βοήσωμεν· Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία (*).

(*) Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται, εὐφραινομένων ἡ κατοικία ἐν σοὶ, δοξάζειν σου τὴν Θεότητα.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σύρου

Ἦχος δ'.

Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια; ποῦ ἐςὶν ἡ τῶν προσκαίρων φαντασία; ποῦ ἐστιν ὁ χρυσὸς καὶ ὁ ἄργυρος; ποῦ ἐστι τῶν οἰκετῶν ἡ πλημμύρα καὶ ὁ θόρυβος; πάντα κόνις, πάντα τέφρα, πάντα σκιά. Ἀλλὰ δεῦτε βοήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ· Κύριε τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον, τὸν μεταστάντα ἐξ ἡμῶν, ἀναπαύων αὐτὸν, ἐν τῇ ἀγήρῳ μακαριότητι.

Ἦχος πλ. α'.

Ἐμνήσθην τοῦ Προφήτου βοῶντος· Ἐγὼ εἰμι γῆ καὶ σποδός· καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι, καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα, καὶ εἶπον· Ἄρα τίς ἐστι βασιλεὺς, ἢ στρατιώτης, ἢ πλούσιος, ἢ πένης, ἢ δίκαιος, ἢ ἁμαρτωλός; Ἀλλὰ ἀνάπαυσον Κύριε, μετὰ Δικαίων τὸν δοῦλόν σου.

Ἦχος πλ. β'.

Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε, καὶ ὁρατῆς με ζῶον συμπῆξαι φύσεως, γῆθέν μου τὸ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχὴν, τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει. Διὸ Χριστὲ τὸν δοῦλόν σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον.

Ἦχος βαρύς.

Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον, ἐν Παραδείσῳ τέθεικας, κατάρχειν σου τῶν κτισμάτων· φθόνῳ δὲ διαβόλου ἀπατηθεὶς, τῆς βρώσεως μετέσχε, τῶν ἐντολῶν σου παραβάτης γεγονώς· διὸ πάλιν εἰς γῆν ἐξ ἧς ἐλήφθη, κατεδίκασας ἐπιστρέφειν Κύριε, καὶ αἰτεῖσθαι τὴν ἀνάπαυσιν.

Ἦχος πλ. δ'.

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ' εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος· ὢ τοῦ θαύματος! τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυςήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ, καὶ συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τῷ μεταστάντι τὴν ἀνάπαυσιν.



Ἐν τῇ βασιλείᾳ σου, μνήσθητι ἡμῶν, Κύριε.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι.

Μακάριοι οἱ πενθοῦντες. Μακάριοι οἱ πρᾳεῖς.

Μακάριοι οἱ πεινῶντες. Μακάριοι οἱ ἐλεήμονες.

Ἦχος πλ. β'. Οἱ ὅσιοί σου Παῖδες.

Λῃστὴν τοῦ Παραδείσου Χριστὲ πολίτην, ἐπὶ Σταυροῦ σοι βοήσαντα, τὸ, Μνήσθητί μου προαπειργάσω· αὐτοῦ τῆς μετανοίας, ἀξίωσον κἀμὲ τὸν ἀνάξιον.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ.

Ζωῆς ὁ κυριεύων, καὶ τοῦ θανάτου, ἐν ταῖς αὐλαῖς Ἁγίων ἀνάπαυσον, ὃν προσελάβου ἐκ τῶν προσκαίρων, βοῶντα· Μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Ὁ τῶν ψυχῶν δεσπόζων καὶ τῶν σωμάτων, οὗ ἐν τῇ χειρὶ ἡ πνοὴ ἡμῶν, τῶν θλιβομένων παραμυθία, ἀνάπαυσον ἐν χώρᾳ, Δικαίων, ὃν μετέστησας δοῦλόν σου.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης.

Χριστός σε ἀναπαύσοι ἐν χώρᾳ ζώντων, καὶ πύλας Παραδείσου ἀνοίξοι σοι, καὶ βασιλείας δείξοι πολίτην, καὶ ἄφεσίν σοι δῴη, ὧν ἥμαρτες ἐν βίῳ φιλόχριστε.

Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν ἡμᾶς.

Ἐξέλθωμεν καὶ ἴδωμεν ἐν τοῖς τάφοις, ὅτι γυμνὰ ὀστέα ὁ ἄνθρωπος, σκωλήκων βρῶμα καὶ δυσωδία, καὶ γνῶμεν τίς ὁ πλοῦτος, τὸ κάλλος, ἡ ἰσχὺς, καὶ εὐπρέπεια.

Χαίρετε καὶ ἀγαλλιᾶσθε.

Ἀκούσωμεν τί κράζει ὁ Παντοκράτωρ· Οὐαὶ, οἱ ἐκζητοῦντες θεάσασθαι, τὴν φοβερὰν ἡμέραν Κυρίου· αὕτη γάρ ἐστι σκότος· πυρὶ γὰρ δοκιμάσει τὰ σύμπαντα.

Δόξα.

Ἀνάρχῳ καὶ γεννήσει τε καὶ προόδῳ, Πατέρα προσκυνῶ τὸν γεννήσαντα, Υἱὸν δοξάζω τὸν γεννηθέντα, ὑμνῶ τὸ συνεκλάμπον, Πατρί τε καὶ Υἱῷ Πνεῦμα Ἅγιον.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς ἐκ μαζῶν σου γάλα βρύεις Παρθένε; πῶς τρέφεις τὸν τροφέα τῆς κτίσεως; ὡς εἶδεν ὁ πηγάσας ὕδωρ ἐκ πέ-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τρας, τὰς φλέβας τῶν ὑδάτων, διψῶντι τῷ λαῷ, καθὼς γέγραπται. Προκείμενον, Ἦχος γ'.

Μακαρία ἡ ὁδὸς, ᾗ πορεύῃ σήμερον, ὅτι ἡτοιμάσθη σοι τόπος ἀναπαύσεως.

Στίχ. Πρὸς σὲ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Ὁ Ἀπόστολος.

Πρὸς Θεσσαλονικεῖς Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. δ'. 13.

Ἀδελφοὶ, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύωμεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον. Ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ἀλληλούϊα. Μακάριος, ὃν ἐξελέξω καὶ προσελάβου, Κύριε.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. ε. 24.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ· καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ, καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ· καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μαυτοῦ οὐδέν· καθὼς ἀκούω, κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

Ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ δούλου τοῦ Θεοῦ.

Καὶ μετὰ τὴν συμπλήρωσιν τούτων, λέγει ὁ πρῶτος τῶν Ἱερέων, ἢ ὁ τυχὼν Ἀρχιερεὺς, τὴν Εὐχὴν, Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς, μεγαλοφώνως πλησίον τοῦ λειψάνου ἀπελθών· ὡσαύτως καὶ οἱ συμπαρόντες Ἱερεῖς ἅπαντες.

Ἰστέον δὲ ὅτι, λεγομένης ἑκάστης Αἰτήσεως παρὰ τοῦ Διακόνου, ἐν ὅσῳ λέγεται ἡ Αἴτησις παρ' αὐτοῦ, λέγει τὴν ἄνωθεν Εὐχὴν ἕκαστος τῶν Ἱερέων, κατὰ τὴν τάξιν αὐτοῦ, μυστικῶς, πλησίον τοῦ λειψάνου, καὶ ἐκφωνεῖ·

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ, καὶ ἡ ἀνάπαυσις κ.τ.λ.

Νῦν δὲ παρὰ τοῦ πρώτου τῶν Ἱερέων, ἢ καὶ τοῦ Ἀρχιερέως, λέγεται μεγαλοφώνως, ὡς ἄνωθεν εἴρηται. Μετὰ δὲ τὴν Ἐκφώνησιν, γίνεται ὁ Ἀσπασμὸς, καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ προσόμοια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε τελευταῖον ἀσπασμὸν, δῶμεν ἀδελφοὶ τῷ θανόντι, εὐχαριστοῦντες Θεῷ· οὗτος μὲν ἐξέλιπε τῆς συγγενείας αὐτοῦ, καὶ πρὸς τάφον ἐπείγεται, οὐκ ἔτι φροντίζων, τὰ τῆς ματαιότητος, καὶ πολυμόχθου σαρκός· ποῦ νῦν συγγενεῖς τε καὶ φίλοι; ἄρτι χωριζόμεθα, ὅν περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Ποῖος χωρισμὸς ὦ ἀδελφοί; ποῖος κοπετὸς, ποῖος θρῆνος, ἐν τῇ παρούσῃ ῥοπῇ; δεῦτε οὖν ἀσπάσασθε, τὸν πρὸ μικροῦ μεθ' ἡμῶν· παραδίδοται τάφῳ γὰρ, καλύπτεται λίθῳ, σκότει κατοικίζεται, νεκροῖς συνθάπτεται· πάντες συγγενεῖς τε καὶ φίλοι, ἄρτι χωριζόμεθα, ὅν περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Ἄρτι ἡ τοῦ βίου πονηρὰ, λύεται πανήγυρις πᾶσα τῆς ματαιότητος· πνεῦμα γὰρ ἐξέλιπεν ἀπὸ σκηνώματος· ὁ πηλὸς μεμελάνωται, τὸ σκεῦος ἐῤῥάγη, ἄφωνον, ἀναίσθητον, νεκρὸν, ἀκίνητον· ὅν περ παραπέμποντες τάφῳ, Κύριον εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Οἵα ἡ ζωὴ ἡμῶν ἐςὶν, ἄνθος καὶ ἀτμίς τε καὶ δρόσος, ἑωθινὴ ἀληθῶς· δεῦτε οὖν κατίδωμεν, ἐπὶ τοὺς τάφους τρανῶς· ποῦ τὸ κάλλος τοῦ σώματος; καὶ ποῦ ἡ νεότης; ποῦ εἰσὶ τὰ ὄμματα, καὶ ἡ μορφὴ τῆς σαρκός; πάντα ἐξηράνθη ὡς χόρτος, πάντα ἠφανίσθησαν· δεῦτε, τῷ Χριστῷ προσπέσωμεν ἐν δάκρυσι.

Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμὸς, μέγας στεναγμὸς καὶ ἀνάγκη, ὁ χωρισμὸς τῆς ψυχῆς· ᾅδης καὶ ἀπώλεια, ἡ τῶν προσκαίρων ζωὴ, ἡ σκιὰ ἡ ἀνύπαρκτος, ὁ ὕπνος τῆς πλάνης, ὁ ἀκαιροφάνταςος, μόχθος τοῦ βίου τῆς γῆς· πόῤῥω ἐκφευξώμεθα κόσμου, ἅπαν τὸ ἁμάρτημα, ἵνα, τὰ οὐράνια κληρονομήσωμεν.

Βλέποντες προκείμενον νεκρὸν, λόγον ἀναλάβωμεν πάντες, τῆς τελευταίας ῥοπῆς· οὗτος γὰρ παράγεται, ὥσπερ καπνὸς ἀπὸ γῆς, ὡσεὶ ἄνθος ἐξήνθησεν, ὡς χόρτος ἐτμήθη, ῥάκει σπαργανούμενος, γῇ καλυπτόμενος· ὅν περ ἀφανῆ λελοιπότες, τῷ Χριστῷ εὐξώμεθα δοῦναι, εἰ αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Δεῦτε οἱ ἀπόγονοι Ἀδὰμ, ἴδωμεν εἰς γῆν βεβλημένον, τὸν κατ' εἰκόνα ἡμῶν, ὅλην τὴν εὐπρέπειαν ἀποβαλλόμενον, λελυμένον ἐν μνήματι, σαπρίᾳ σκωλήκων, σκότει δαπανώμενον, γῇ καλυπτόμενον· ὅν περ ἀφανῆ λελοιπότες, τῷ Χριστῷ εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Ὅτε ἐκ τοῦ σώματος ψυχὴ, μέλλει μετὰ βίας ἁρπᾶσθαι, ὑπὸ Ἀγγέλων φρικτῶν, πάντων ἐπιλάθεται τῶν συγγενῶν καὶ γνωςῶν, καὶ φροντίζει τὰ μέλλοντα, κριτήρια ςῆναι, τὰ τῆς ματαιότητος, καὶ πολυμόχθȣ σαρκός. Δεῦτε τὸν Κριτὴν δυσωποῦντες, πάντες ἐπευξώμεθα, ἵνα, συγχωρήσῃ Κύριος ἃ ἔπραξεν.

Δεῦτε ἐν τῷ τάφῳ ἀδελφοὶ, βλέψωμεν τὴν τέφραν καὶ κόνιν, ἐξ ἧς ἐπλάσθημεν· ποῦ νῦν πορευόμεθα; τί δ' ἐγεγόναμεν; ποῖος πένης ἢ πλούσιος; ἢ ποῖος δεσπότης; ποῖος δὲ ἐλεύθερος; καὶ οὐχὶ πάντες σποδός; κάλλος τοῦ προσώπȣ ἐσάπη, καὶ τὸ τῆς νεότητος ἄνθος, ὄντως κατεμάρανεν ὁ θάνατος.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ὄντως ματαιότης καὶ φθορὰ, πάντα τὰ τοῦ βίου ἡδέα, καὶ τὰ περίδοξα· πάντες γὰρ ἐκλείπομεν, πάντες θνηξόμεθα, βασιλεῖς τε καὶ ἄρχοντες, κριταὶ καὶ δυνάσται, πλούσιοι καὶ πένητες, καὶ πᾶσα φύσις βροτῶν· νῦν γὰρ, οἱ ποτὲ ἐν τῷ βίῳ, τάφοις καταβέβληνται· οὕς περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Πάντα τὰ τοῦ σώματος νυνὶ, ὄργανα ἀργὰ θεωροῦνται, τὰ πρὸ μικροῦ κινητά· πάντα ἀνενέργητα, νεκρὰ, ἀναίσθητα· ὀφθαλμοὶ γὰρ κατέδυσαν, ἐδέθησαν πόδες, χεῖρες ἡσυχάζουσι, καὶ ἀκοὴ σὺν αὐτοῖς, γλῶσσα τῇ σιγῇ συνεκλείσθη, τάφῳ παραδίδοται· ὄντως, ματαιότης πάντα τὰ ἀνθρώπινα!

Θεοτοκίον.

Σῶζε τοὺς ἐλπίζοντας εἰς σὲ, Μήτηρ τοῦ ἀδύτου Ἡλίου, Θεογεννήτρια· αἴτησαι πρεσβείαις σου, τὸν ὑπεράγαθον, ἀναπαῦσαι δεόμεθα, τὸν νῦν μεταστάντα, ἔνθα ἀναπαύονται αἱ τῶν Δικαίων ψυχαί· θείων ἀγαθῶν κληρονόμον, δεῖξον ἐν αὐλαῖς τῶν Δικαίων, εἰς μνημόσυνον πανάμωμε αἰώνιον.

Δόξα, Ἦχος πλ. β'.

Ὁρῶντές με ἄφωνον καὶ ἄπνουν προκείμενον, κλαύσατε πάντες ἐπ' ἐμοὶ, ἀδελφοὶ καὶ φίλοι, συγγενεῖς καὶ γνωστοί· τὴν γὰρ χθὲς ἡμέραν μεθ' ὑμῶν ἐλάλουν, καὶ ἄφνω ἐπῆλθέ μοι ἡ φοβερὰ ὥρα τοῦ θανάτου. Ἀλλὰ δεῦτε πάντες οἱ ποθούμενοί με, καὶ ἀσπάσασθέ με τὸν τελευταῖον ἀσπασμόν· οὐκ ἔτι γὰρ μεθ' ὑμῶν πορεύσομαι, ἢ συλλαλήσω τοῦ λοιποῦ· εἰς Κριτὴν γὰρ ἀπέρχομαι, ἔνθα προσωποληψία οὐκ ἔστι· δοῦλος γὰρ καὶ δεσπότης ὁμοῦ παρίστανται, βασιλεὺς καὶ στρατιώτης, πλούσιος καὶ πένης, ἐν ἀξιώματι ἴσῳ· ἕκαστος γὰρ ἐκ τῶν ἰδίων ἔργων, ἢ δοξασθήσεται, ἢ αἰσχυνθήσεται. Ἀλλ' αἰτῶ πάντας καὶ δυσωπῶ, ἀδιαλείπτως ὑπὲρ ἐμοῦ προσεύξασθαι Χριστῷ τῷ Θεῷ, ἵνα μὴ καταταγῶ διὰ τὰς ἁμαρτίας μου, εἰς τὸν τόπον τῆς βασάνου, ἀλλ' ἵνα με κατατάξῃ, ὅπου τὸ φῶς τῆς ζωῆς. Καὶ νῦν. Θεοτοκίον, ὁ αὐτός.

Πρεσβείαις τῆς τεκούσης σε, Χριστὲ καὶ τῶν Μαρτύρων σου, Ἀποστόλων, Προφητῶν, Ἱεραρχῶν, Ὁσίων, καὶ Δικαίων, καὶ πάντων τῶν Ἁγίων, τὸν κοιμηθέντα δοῦλόν σου ἀνάπαυσον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

**Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν·** Ὅτι σοῦ ἐστι· καὶ τὰ Τροπάρια· **Μετὰ πνευμάτων δικαίων,** καὶ τὰ λοιπά· ἡ Αἴτησις παρὰ τοῦ Διακόνου, καὶ ἡ Εὐχὴ παρὰ τοῦ Ἱερέως. Μετὰ δὲ τὴν Ἐκφώνησιν, **Δόξα, καὶ νῦν,** καὶ γίνεται Ἀπόλυσις οὕτως·

**Ὁ** ἀναςὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, καὶ πάντων τῶν Ἁγίων, καὶ τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου αὐτοῦ ἐν σκηναῖς Δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι, καὶ μετὰ Δικαίων συναριθμῆσαι, ἡμᾶς δὲ ἐλεῆσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.

**Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν.** Ἐκ γ'.

Καὶ ὕτως ἄραντες τὸ λείψανον, ἀπερχόμεθα εἰς τὸν τάφον, ψάλλοντες τὸ, **Ἅγιος ὁ Θεός· Παναγία Τριάς· Πάτερ ἡμῶν·** καὶ τὰ λοιπά· καὶ τίθεται τὸ λείψανον ἐν τῷ μνήματι. Ὁ δὲ Ἱερεύς, ἄρας χοῦν μετὰ τοῦ πτύου, σταυροειδῶς ἐπιῤῥίπτει ἐπάνω τοῦ λειψάνου, λέγων·

**Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.**

Καὶ μετὰ τοῦτο ἐπιχέει ἐπὶ τῷ λειψάνῳ κανδήλαν, ἢ τὴν τέφραν τοῦ θυμιατηρίου. Καὶ οὕτω καλύπτουσιν, ὡς σύνηθες, τὸν τάφον, ἐπιλεγομένων τῶν Τροπαρίων, **Μετὰ πνευμάτων Δικαίων,** καὶ τὰ ἕτερα ἅπαντα· καὶ Ἀπόλυσις.

**Δόξα τῷ Θεῷ τῷ οὕτως οἰκονομήσαντι.**

Ἰστέον δὲ, ὅτι ὁ τοιοῦτος Τύπος γίνεται καὶ εἰς κοιμηθείσας γυναῖκας, καὶ εἰς παῖδας τῶν Ὀρθοδόξων, ἐναλλαττομένου μόνου τοῦ ὀνόματος, ἀπό τε ἀρσενικοῦ εἰς θηλυκὸν, καὶ οὐχ ἕτερον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΞΟΔΙΑΣΤΙΚΟΥ ΤΩΝ ΜΟΝΑΧΩΝ. (*)

Ἐπειδάν τις τῶν Μοναχῶν πρὸς Κύριον ἐκδημήσῃ, ἐπεὶ οὐ δεῖ λούεσθαι τὸ σῶμα αὐτοῦ, ἀλλ' οὐδὲ ὁρᾶσθαι ὅλως γυμνὸν, ὁ εἰς τοῦτο τεταγμένος Μοναχὸς ἀποσπογγίζει τὸ λείψανον μετὰ χλιαροῦ ὕδατος ἐν σπόγγῳ· ποιῶν πρῶτον μετὰ τοῦ σπόγγου Σταυρὸν ἐν τῷ μετώπῳ τοῦ τελευτήσαντος, ἐν τῷ στήθει, καὶ ἐν ταῖς χερσὶ, καὶ ἐν τοῖς ποσὶ, καὶ τοῖς γόνασι, καὶ πλέον οὐδέν. Εἶθ' οὕτω φέρει καθαρὸν ἱμάτιον, καὶ ἐνδύει αὐτὸν, πρότερον ἐκβληθέντος τοῦ παλαιοῦ, μηδαμῶς τὴν γύμνωσιν αὐτοῦ θεασάμενος. Μετὰ δὲ τὸ ἐνδύσασθαι, περιβάλλει αὐτῷ τὸ Κουκούλιον, εἰ μεγαλόσχημός ἐςι, περιθεὶς τὴν περικεφαλαίαν ἄνωθεν τῆς κεφαλῆς, καὶ καταβιβάσας αὐτὴν μέχρι τοῦ πώγωνος, ὥστε μὴ ὁρᾶσθαι τὸ πρόσωπον τοῦ λειψάνου. Εἶτα περιτίθησιν αὐτῷ τὸν Ἀνάλαβον εἰς τὴν τάξιν αὐτοῦ, καὶ τὸ Παλλίον, καὶ περιζωννῦσι λῶρον, καὶ ὑποδύει αὐτῷ σανδάλια καινά· εἶτα ἁπλοῦται ὁ Μανδύας αὐτοῦ πλαγίως· καὶ ἀνακουφίσαντες τὸ λείψανον ἐκ τοῦ ψιαθίου, ἁπλοῦσιν αὐτὸν ὑποκάτω τοῦ λειψάνου, ἀπὸ ποδῶν ἕως κεφαλῆς· καὶ οὕτως ὁ ἐπὶ τῷ κηδεύειν τεταγμένος Μοναχὸς, μετὰ μαχαίρας ἀποτεμὼν τὰ ἄκρα τοῦ Μανδύου, τὰ ἐν τοῖς δυσὶ πλαγίοις, εἶτα διχῇ τὸ πᾶν διελὼν, καὶ διατρήσας τὸν Μανδύαν κατὰ τὰ πλάγια ἄκρα, καὶ τὸ τοῦ εὐωνύμου μέρους, καὶ τὸ τοῦ δεξιοῦ λωρίον εἰς ἄλληλα διαβιβάζων, καὶ συνδέων ἀμοιβαδὸν, ἀποτελεῖ Σταυροὺς τρεῖς, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τὰ στήθη, καὶ ἕτερον πρὸς τοῖς γόνασι, καὶ τῷ ὑπολειφθέντι μέρει τῶν δύω λωρίων δεσμεῖ τοὺς πόδας αὐτοῦ.

Καὶ μετὰ ταῦτα, προσκαλεῖται ὁ Ἐφημέριος· καὶ βαλὼν Ἐπιτραχήλιον, καὶ θυμίαμα ἐπὶ τὸν θυμιατὸν, εὐλογεῖ συνή-

(*) Ἡ παροῦσα νεκρώσιμος Ἀκολουθία εἰς Μοναχοὺς, καὶ ἡ ἐφεξῆς εἰς Ἱερεῖς ὑπάρχουσιν ἐν τοῖς χειρογράφοις πολλῷ πλατύτεραι, ἔχουσαι καὶ Κανόνας καὶ Τροπάρια παρὰ τὰ ἐκδεδομένα. Ὅθεν καὶ μόνον τὰ εὑρεθέντα ἐκ τῶν αὐτῶν χειρογράφων ἢ διωρθώθησαν, ἢ καὶ ἀνεπληρώθησαν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

θως. Καὶ οὕτως ἀρχόμεθα τοῦ Τρισαγίου· **Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστι·** καὶ τὰ συνήθη Τροπάρια, ἤγουν τό, **Μετὰ πνευμάτων δικαίων,** καὶ τὰ λοιπὰ ὁμοίως, καθὼς προεγράφησαν ἐν τῷ Ἐξοδιαστικῷ τῶν Κοσμικῶν· ἡ Αἴτησις παρὰ τοῦ Διακόνου, ἡ Εὐχὴ παρὰ τοῦ Ἱερέως, καὶ Ἀπόλυσις.

Καὶ μετὰ τοῦτο, ἄραντες οἱ Ἀδελφοὶ τὸ λείψανον, ἀποκομίζουσιν εἰς τὴν Ἐκκλησίαν· καὶ εἰ μὲν Ἱερεύς ἐστιν ὁ ἐκδημήσας Ἀδελφός, τίθεται τὸ τούτου λείψανον ἐν τῷ μέσῳ τοῦ Ναοῦ· εἰ δὲ ἰδιώτης, ἐν τῷ Νάρθηκι. Ὅταν δὲ ἔλθῃ ὁ καιρὸς τοῦ ᾆσαι τὸν ἐξόδιον ὕμνον ἐπὶ τὸν κείμενον, ἀπέρχεται ὁ Κανδηλάπτης, καὶ κρούει τὰς βαρέας ἐπὶ τὸν σιδηροῦν, ποιῶν στάσεις τρεῖς· καὶ οὕτω συνάγονται πάντες οἱ Ἀδελφοί, οἷς διανέμει ὁ Σκευοφύλαξ κηρία ἡμμένα. Τοῦ δὲ Διακόνου τό, **Εὐλόγησον Δέσποτα,** ἐκφωνήσαντος, εὐλογεῖ ὁ Ἱερεύς. Εἶτα λέγομεν τὸν Ψαλμόν· **Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου.**

**Ἀλληλούϊα,** Ἦχος πλ. δ΄.

Στίχ. **Μακάριος, ὃν ἐξελέξω, καὶ προσελάβου, Κύριε.**

Στίχ. **Καὶ τὸ μνημόσυνον αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.**

Τροπάρια, Ἦχος ὁ αὐτός.

**Ὁ βάθει σοφίας πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε τὴν ψυχὴν τοῦ δούλου σου· ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθετο, τῷ Ποιητῇ καὶ Πλάστῃ καὶ Θεῷ ἡμῶν.**

Δόξα· πάλιν τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

**Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεόν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.**

Καὶ εὐθύς·

**Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.**

**Ἄμωμοι ἐν ὁδῷ. Ἀλληλούϊα. Εὐλογητὸς εἶ, Κύριε.**

Καὶ στιχολογεῖται ἡ πρώτη Στάσις τοῦ Ἀμώμου, ἕως τοῦ, **Σός εἰμι.** Εἰς δύω γὰρ Στάσεις ποιοῦμεν τοῦτον ἐνταῦθα· ἐν ἑκάστῳ δὲ τέλει Στίχου τῆς πρώτης Στάσεως ἐπιλέγομεν τό, **Εὐλογητὸς εἶ, Κύριε.** Ὅταν δὲ ἔλθωσιν εἰς τὸν τελευταῖον Στίχον, ἤγουν, **Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου,** ψάλλουσιν αὐτὸν ἐκ γ΄. Καὶ οὕτως ἡ Αἴτησις πα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ρὰ τοῦ Διακόνου, ἡ Εὐχὴ μυστικῶς παρὰ τοῦ Ἱερέως, καὶ ἡ Ἐκφώνησις. Καὶ μετὰ τὴν Ἐκφώνησιν, ἀρχόμεθα τῆς δευτέρας Στάσεως οὕτω· **Τὰ δικαιώματά σου ἐξεζήτησα. Σός εἰμι ἐγὼ, σῶσόν με·** ἐν ἑκάςῳ δὲ τέλει Στίχῳ ἐπιλέγομεν· **Σός εἰμι ἐγὼ, σῶσόν με.**

Ὅταν δὲ ἀρξώμεθα τοῦ, **Ἐπίβλεψον ἐπ' ἐμὲ,** ψάλλομεν τὸν Ψαλμὸν τοῦτον εἰς Ἦχον γ'. εἰς δὲ τὸ τέλος ἑκάστου Στίχου ἐπιλέγομεν· **Ἐν τῇ Βασιλείᾳ σου, Κύριε, μνήσθητι τοῦ δούλου σου·** καὶ τὸν τελευταῖον Στίχον, ἤγουν τό, **Ζήσεται ἡ ψυχή μου,** ἐκ τρίτου. Καὶ εὐθὺς τὰ Εὐλογητάρια, καὶ ἡ Αἴτησις ὡσαύτως παρὰ τοῦ Διακόνυ, καὶ ἡ Εὐχὴ, ὡς ἄνωθεν εἴρηται, παρὰ τοῦ Ἱερέως.

Καὶ μετὰ τὴν Ἐκφώνησιν, Τροπάριον, Ἦχος πλ. ά.

**Ἀνάπαυσον Σωτὴρ ἡμῶν, μετὰ Δικαίων τὸν δοῦλόν σου.**

Δόξα, τὸ αὐτό, **καὶ νῦν,** Θεοτοκίον.

**Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεός.**

Ταῦτα πάντα ἀκριβῶς εὑρήσεις ἐν τῷ τῶν Κοσμικῶν Ἐξοδιαστικῷ, σελ. 398. 399.

Μετὰ δὲ τὸ Θεοτοκ. τὸν Ν'. Καὶ ὅτως ἀρχόμεθα τῶν Ἀντιφώνων.

Ἀντίφωνον Α'. Ἦχος ά.

Ἐν τῷ θλίβεσθαί με, εἰσάκουσόν μου τῶν ὀδυνῶν· Κύριε σοὶ κράζω.

Τοῖς ἐρημικοῖς, ἄπαυστος ὁ θεῖος πόθος ἐγγίνεται, κόσμου οὖσι τοῦ ματαίου ἐκτός.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα, ὥσπερ Πατρὶ, πρέπει ἅμα καὶ Υἱῷ· διὰ τοῦτο ᾄσωμεν, τῇ Τριάδι μονοκρατορίᾳ.

Εἶτα Στιχηρὰ προσόμοια τοῦ Θεοφάνους, ὧν ἡ ἀκροστιχίς· Σοὺς, Χριστὲ, δούλους γράψον ἐν ζώντων βίβλῳ.

Ἦχος ά. Πανεύφημοι Μάρτυρες.

Σοῦ Σῶτερ δεόμεθα τῆς σῆς, γλυκείας μεθέξεως, τὸν μεταστάντα ἀξίωσον, καὶ κατασκήνωσον, ἐν σκηναῖς Δικαίων, ἐν μοναῖς Ἁγίων σου, ἐν τοῖς ἐπουρανίοις σκηνώμασι, τῇ εὐσπλαγχνίᾳ σου, παρορῶν αὐτοῦ τὰ πταίσματα, καὶ παρέχων αὐτῷ τὴν ἀνάπαυσιν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Οὐδεὶς ἀναμάρτητος οὐδεὶς, τῶν ἀνθρώπων γέγονεν, εἰ μὴ σὺ μόνε ἀθάνατε· διὸ τὸν δοῦλόν σου, ὡς Θεὸς οἰκτίρμων, ἐν φωτὶ κατάταξον, ἐν ταῖς χοροςασίαις Ἀγγέλων σου, τῇ εὐσπλαγχνίᾳ σου, ὑπερβαίνων ἀνομήματα, καὶ παρέχων αὐτῷ τὴν ἀνάπαυσιν.

Ὑπὲρ τὰ ὁρώμενα τὰ σὰ, Σῶτερ ἐπαγγέλματα, ἃ ὀφθαλμὸς οὐ τεθέαται, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν, οὐκ ἀνέβη βρότειον· ὧν τῆς προσηνεστάτης μεθέξεως, τυχεῖν εὐδόκησον, τὸν πρὸς σὲ μεταχωρήσαντα, διὰ σπλάγχνα οἰκτιρμῶν σου Δέσποτα. Δόξα.

Σταυρῷ σου γηθόμενος Σωτὴρ, πεποιθὼς ὁ δοῦλός σου, πρὸς σὲ μετέστη φιλάνθρωπε, ὃν νῦν ἀντίλυτρον, τῶν αὐτοῦ πταισμάτων, ὡς Δεσπότης δώρησαι· ὑφ' οὗ σου τὸ ζωήῤῥυτον ἔχεας, Αἷμα καὶ τίμιον, καὶ τῆς δόξης ἀνεσπέρου σου, ἀπολαύειν τοῦτον καταξίωσον.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Χριστὸν ἐκδυσώπησον τὸν σὸν, τόκον Μητροπάρθενε, τὴν τῶν πταισμάτων συγχώρησιν, δοῦναι τῷ δούλῳ σου, τῷ σὲ Θεοτόκον, εὐσεβῶς κηρυξαντι, καὶ λόγῳ ἀληθεῖ δογματίσαντι, καὶ τῆς λαμπρότητος, τῶν Ἁγίων καὶ φαιδρότητος, ἀξιῶσαι ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Ἀντίφωνον Β'. Ἦχος β'.

Ἐν τῷ οὐρανῷ τὰ ὄμματα, ἐκπέμπω μου τῆς καρδίας, πρὸς σὲ Σωτήρ· Σῶσόν με σῇ ἐπιλάμψει.

Ἐλέησον ἡμᾶς τοὺς πταίοντάς σοι πολλὰ, καθ' ἑκάστην ὥραν, ὦ Χριστέ μου, καὶ δὸς πρὸ τέλους τρόπους, τοῦ μετανοεῖν σοι. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ βασιλεύειν πέλει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν κτίσιν· Θεὸς γάρ ἐστιν, ὁμοούσιος Πατρὶ καὶ Λόγῳ.

Στιχηρὰ προσόμοια, Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ῥύμην τοῦ θανάτου καὶ φθορὰν, σοῦ τῷ ζωηφόρῳ θανάτῳ, καθεῖλες Δέσποτα· πᾶσι δὲ ἐπήγασας ζωὴν αἰώνιον, καὶ νεκρῶν ἐξανάστασιν, θνητοῖς ἐδωρήσω. Ὅθεν σου δεόμεθα· Σῶτερ ἀνάπαυσον, πίστει τὸν πρὸς σὲ μεταςάντα, καὶ τῆς ἀκηράτου σου δόξης, τοῦτον καταξίωσον φιλάνθρωπε.

Δημόσια Κεντρική Βιβλιοθήκη

Ἵνα τοὺς ἀνθρώπους κοινωνοὺς, θείας βασιλείας ἐργάσῃ, σταυρὸν ὑπέμεινας, θάνατον ἑκούσιον καταδεξάμενος. Διὰ τοῦτο δεόμεθα, τῆς σῆς εὐσπλαγχνίας, μέτοχον ἀνάδειξον, τῆς βασιλείας σου, πίστει τὸν πρὸς σὲ ματαστάντα, καὶ τοῦ γλυκυτάτου σου κάλλους, τοῦτον καταξίωσον φιλάνθρωπε.

Σῶσαι τὸ σὸν πλάσμα βουληθεὶς, τῆς οἰκονομίας τὸ ὄντως βαθὺ μυστήριον, χαίρων ἐξετέλεσας, ὡς ὑπεράγαθος, καὶ τιμῆς ἐξηγόρασας, τὸν σύμπαντα κόσμον, Αἵματι τιμίῳ σου· διὸ δεόμεθα· Πίστει τὸν πρὸς σὲ μεταστάντα, μετὰ τῶν Ἁγίων ἁπάντων, τῆς ἀπολυτρώσεως ἀξίωσον.

Δόξα.

Τρόμῳ τῷ φρικτῷ καὶ φοβερῷ, βήματι τῷ σῷ παρεστῶτες, οἱ ἀπ' αἰῶνος νεκροὶ, ψῆφον ἀναμένουσι τὴν σὴν δικαίαν Σωτὴρ, καὶ τὴν θείαν ἐκδέχονται, δικαιοκρισίαν· τότε φεῖσαι Δέσποτα, Σῶτερ τοῦ δούλου σου, πίστει τοῦ πρὸς σὲ μεταστάντος, καὶ τῆς ἀϊδίου τρυφῆς σου, καὶ μακαριότητος ἀξίωσον. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Εὔας τῆς προμήτορος Ἁγνὴ, σὺ τὴν ὀφειλὴν συλλαβοῦσα, Θεὸν ἀπέτισας, τὸν τὴν ἀφθαρσίαν τε καὶ τὴν ἀνάστασιν, τοῖς πιστοῖς χαριζόμενον, καὶ τῇ ἀθανάτῳ, δόξῃ στεφανοῦντα σὲ τοὺς μεγαλύνοντας· ὃν νῦν δυσωποῦσα μὴ παύσῃ, τοῦτον ἐν φωτὶ καταταξαι, τῆς αὐτοῦ λαμπρότητος Θεόνυμφε.

Ἀντίφωνον Γ'. Ἦχος γ'.

Τὴν αἰχμαλωσίαν Σιὼν, σὺ ἐξείλου ἐκ Βαβυλῶνος· κἀμὲ ἐκ τῶν παθῶν, πρὸς ζωὴν ἕλκυσον Λόγε.

Ἐν τῷ νότῳ οἱ σπείροντες δάκρυσιν ἐνθέοις, θερίζουσι στάχυας, ἐν χαρᾷ ἀειζωΐας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ἀγαθοδωρία, ὡς Πατρὶ, καὶ Υἱῷ συναστράπτει· ἐν ᾧ τὰ πάντα ζῇ καὶ κινεῖται.

Στιχηρὰ προσόμοια.

Ἦχος γ'. Τῷ τύπῳ τοῦ Σταυροῦ σου.

Δοξάζω τὸν Σταυρόν σου τὸν τίμιον, δι' οὗ ζωὴ δεδώρηται, καὶ τρυφῆς ἡ ἀπόλαυσις, τοῖς ἐν πίστει καὶ πόθῳ, σὲ ὑμνοῦσι μόνε πολυέλεε. Διὸ βοῶμέν σοι Χριστὲ ὁ Θεός· Τὸν

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοὶ, δοξάζειν σου τὴν Θεότητα.

Ὁ μόνος ἐλεήμων καὶ εὔσπλαγχνος, ὁ ἔχων ἀκατάληπτον, ἀγαθότητος πέλαγος, ὁ γινώσκων τὴν φύσιν, τῶν ἀνθρώπων, ἣν ἐδημιούργησας· σὲ ἱκετεύομεν Χριςὲ ὁ Θεός· Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοὶ, δοξάζειν σου τὴν Θεότητα.

Δόξα.

Ὑπνώσας ἐν τῷ τάφῳ ὡς ἄνθρωπος, δυνάμει ἀηττήτῳ σου, ὡς Θεὸς ἐξανέστησας, τοὺς ἐν τάφοις ὑπνοῦντας, ἀσιγήτως ὕμνον σοι προσφέροντας. Διὸ βοῶμέν σοι Χριςὲ ὁ Θεός· Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοὶ, δοξάζειν σου τὴν Θεότητα.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Λαμπάδα νοητὴν σε βαστάζουσαν, τὸ φέγγος τῆς Θεότητος, ὁμιλῆσαν παχύτητι, τῆς ἀνθρώπων οὐσίας Θεοτόκε, πάντες ἐπιστάμεθα. Τὸν σὸν δυσώπησον Υἱὸν καὶ Θεόν· Τὸν μεταστάντα ἐξ ἡμῶν αὐλίζεσθαι, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία Ἁγνὴ, δοξάζειν σὲ τὴν πανάμωμον.

Ἀντίφωνον Δ΄. Ἦχος δ΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

Οἱ μισοῦντες Σιὼν, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Στιχηρὰ προσόμοια, Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ὄντως φοβερώτατον, τὸ τοῦ θανάτου μυστήριον· πῶς ψυχὴ ἐκ τοῦ σώματος, βιαίως χωρίζεται, ἐκ τῆς ἁρμονίας, καὶ τῆς συμφυΐας, ὁ φυσικώτατος δεσμὸς, θείῳ βουλήματι ἀποτέμνεται. Διό σε ἱκετεύομεν· Τὸν μεταστάντα ἀνάπαυσον, ἐν σκηναῖς τῶν Δικαίων σου, Ζωοδότα φιλάνθρωπε.

Ὕπνος ἀναδέδεικται, τῶν πιστευόντων ὁ θάνατος, σοῦ τεθέντος ἐν μνήματι, τοῦ πάντων δεσπόζοντος, καὶ τὸ τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

θανάτου, κράτος λελυκότος, καὶ καταργήσαντος αὐτοῦ, τὴν δυναστείαν τὴν πολυχρόνιον. Διό σε ἱκετεύομεν· Τὸν μεταστάντα κατάταξον, ἐν σκηναῖς τῶν Ἁγίων σου, ἐν μοναῖς ἀκηράτοις σου.

Σὺ δικαιοσύνη τε, ἁγιασμὸς ἡμῖν γέγονας, καὶ ψυχῶν ἀπολύτρωσις· Πατρὶ γὰρ προσήγαγες, δεδικαιωμένους, καὶ λελυτρωμένους, ἀναδεξάμενος ἡμῖν, τὸ ὀφειλόμενον ἐπιτίμιον· καὶ νῦν ἐκδυσωποῦμέν σε· Τὸν μεταστάντα ἀνάπαυσον, ἐν χαρᾷ καὶ φαιδρότητι, εὐεργέτα Σωτὴρ ἡμῶν. Δόξα.

Γένος τὸ ἀνθρώπινον, πρὸς ἀφθαρσίαν ἀνώλεθρον, ἐκ φθορᾶς ἀνέκληται, λουσάμενον Αἵματι, τῷ ἐκ τῆς πλευρᾶς σου, Σῶτερ κενωθέντι, ἐν ᾧ ἀπέπλυνας ἡμῶν, τῶν προπατόρων τε τὴν παράβασιν· διὸ καὶ νῦν τὸν δοῦλόν σου, τὸν μεταστάντα Φιλάνθρωπε, τῶν προσκαίρων, ἀξίωσον, τῆς ἐκεῖθεν λαμπρότητος.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ῥήσεσιν ἑπόμενοι, τῶν θεηγόρων πανάμωμε, Θεοτόκον φρονοῦμέν σε· Θεὸν γὰρ ἐγέννησας, σεσωματωμένον, ἀπερινοήτως, τὸν λυτρωσάμενον ἡμᾶς, τοὺς αἰχμαλώτους τοῖς παραπτώμασι· ὃν καὶ νῦν ἐκδυσώπησον, τὸν μεταστάντα οἰκέτην σου, ταῖς οἰκείαις ἐλλάμψεσι, καταυγάσαι Πανάχραντε.

Ἀντίφωνον Ε΄. Ἦχος πλ. α΄.

Ἐν τῷ θλίβεσθαί με, Δαυϊτικῶς ᾄδω σοι Σωτήρ μου· ῥῦσαί μου τὴν ψυχὴν ἐκ γλώσσης δολίας.

Τοῖς ἐρημικοῖς ζωὴ μακαρία ἐστὶ, θεϊκῷ ἔρωτι πτερουμένοις.

Ἁγίῳ Πνεύματι, περικρατεῖται πάντα, τὰ ὁρατά τε σὺν τοῖς ἀοράτοις· αὐτοκρατὲς γὰρ ὂν τῆς Τριάδος, ἕν ἐστιν ἀψεύστως.

Στιχηρὰ προσόμοια, Ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Αἴγλη τοῦ σοῦ προσώπου Χριστὲ, τὸν μεταστάντα ὡς οἰκτίρμων καταύγασον, σκηνώσας ἐν τόπῳ χλόης, ἐπὶ ὑδάτων τῆς σῆς, ἀκραιφνοῦς καὶ θείας ἀναπαύσεως, ἐν κόλποις τοῖς ὀρεκτοῖς, Ἀβραὰμ τοῦ προπάτορος· ἔνθα τὸ φῶς



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σου, καθαρῶς ἐποπτεύεται, καὶ προχέονται, αἱ πηγαὶ σῆς χρηστότητος· ἔνθα περιχορεύουσι, τρανῶς ἀγαλλόμεναι, αἱ τῶν Δικαίων χορεῖαι, περὶ τὴν σὴν ἀγαθότητα· μεθ' ὧν ἀριθμήσας, τὸν οἰκέτην σου, παράσχου, καὶ μέγα ἔλεος.

Ψάλλειν παναρμονίῳ φωνῇ, δοξολογοῦντα τὸ σὸν κράτος εὐδόκησον, Οἰκτίρμον τὸν μεταστάντα, ἐκ τῶν προσκαίρων πρὸς σέ, τὸν Δεσπότην πάντων καὶ φιλάνθρωπον· διδοὺς ὡραιότητι, τοῦ σοῦ κάλλους ἐλλάμπεσθαι, καὶ τῆς γλυκείας, καὶ τερπνῆς μετουσίας σου, ἀπολαύειν τε, καὶ τρυφᾷν καθαρώτερον· ἔνθα περὶ τὸν θρόνον σου, χορεύουσιν Ἄγγελοι, καὶ τῶν Ἁγίων οἱ δῆμοι, χαρμονικῶς περιέπουσι· μεθ' ὧν τῷ σῷ δούλῳ, τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Δόξα.

Ὅπου τῶν Προφητῶν ὁ χορὸς, τῶν Ἀποστόλων καὶ Μαρτύρων τὰ τάγματα, καὶ πάντων τῶν ἀπ' αἰῶνος, δικαιωθέντων τῷ σῷ, σωτηρίῳ πάθει καὶ τῷ αἵματι, δι' οὗ ἐξηγόρασας, τὸν αἰχμάλωτον ἄνθρωπον· ἐκεῖ τὸν πίστει, κοιμηθέντα ἀνάπαυσον, ὡς φιλάνθρωπος, συγχωρῶν καὶ τὰ πταίσματα· μόνος γὰρ ἀναμάρτητος, ἐν γῇ πεπολίτευσαι, Ἅγιος μόνος, καὶ μόνος, ἐν τεθνεῶσιν ἐλεύθερος· διὸ τῷ σῷ δούλῳ, τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Καὶ νῦν, Θεοτοκίον, ὅμοιον.

Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς, δεδουλωμένους ἠλευθέρωσας Δέσποινα, ἐν μήτρᾳ τὸν νομοδότην, καὶ Βασιλέα Χριστὸν, συλλαβοῦσα μόνη Μητροπάρθενε· δι' οὗ δικαιούμεθα, δωρεᾷ τε καὶ χάριτι· ὃν νῦν δυσώπει τὰς ψυχὰς τῶν εἰδότων σε Θεομήτορα, κατατάξαι ἐν βίβλῳ ζωῆς· ὅπως τῇ μεσιτείᾳ σου, σωθέντες πανάμωμε, τῆς τοῦ Υἱοῦ σου εὐκταίας, ἀπολυτρώσεως τύχωμεν, αὐτὸν προσκυνοῦντες, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἀντίφωνον Ϛ'. Ἦχος πλ. β'.

Ἐν τῷ οὐρανῷ τοὺς ὀφθαλμούς μου, αἴρω πρὸς σὲ Λόγε· Οἴκτειρόν με, ἵνα ζῶ σοι.

Ἐλέησον ἡμᾶς τοὺς ἐξουθενημένους, καταρτίζων εὔχρηστα, σκεύη σου Λόγε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πανσωστικὴ αἰτία· εἴ τινι τοῦτο κατ' ἀξίαν πνεύσει, τάχει ἐξαίρει τῶν τῆς γῆς, πτεροῖ, αὔξει, τάττει ἄνω.

Στιχηρὰ προσόμοια. Ἦχος πλ. β'.

Ὅλην ἀποθέμενοι.

Ἔχων ἀκατάληπτον, τὴν εἰς ἡμᾶς εὐσπλαγχνίαν, καὶ πηγὴν ἀκένωτον, θεϊκῆς χρηστότητος πολυέλεε, τὸν πρὸς σὲ Δέσποτα, μεταβεβηκότα, ἐν γῇ ζώντων κατασκήνωσον, εἰς τὰ σκηνώματα, τὰ ἀγαπητὰ καὶ ποθούμενα, κατάσχεσιν δωρούμενος, τὴν διηνεκῶς διαμένουσαν· σὺ γὰρ ὑπὲρ πάντων, ἐξέχεας τὸ Αἷμά σου Χριστὲ, καὶ ζωηφόρῳ τιμήματι, κόσμον ἐξηγόρασας.

Νέκρωσιν ὑπέμεινας, ζωοποιὸν ἑκουσίως, καὶ ζωὴν ἐπήγασας, καὶ τρυφὴν ἀΐδιον πιστοῖς δέδωκας· ἐν ᾗ κατάταξον, τὸν κεκοιμημένον, ἐπ' ἐλπίδι ἀναστάσεως, τὰ τούτου πταίσματα, πάντα συγχωρῶν ἀγαθότητι, ὡς μόνος ἀναμάρτητος, μόνος ἀγαθὸς καὶ φιλάνθρωπος· ἵνα διὰ πάντων, ὑμνῶμέν σου τὸ ὄνομα Χριστὲ, καὶ σεσωσμένοι δοξάζωμεν, τὴν φιλανθρωπίαν σου.

Δόξα.

Ζώντων κυριεύοντα, θεαρχικῇ ἐξουσίᾳ, καὶ νεκρῶν δεσπόζοντα, σὲ Χριστὲ γινώσκοντες ἱκετεύομεν· Τὸν πιστὸν δοῦλόν σου, τὸν πρὸς σὲ τὸν μόνον, εὐεργέτην ἐκδημήσαντα, αὐτὸς ἀνάπαυσον, σὺν τοῖς ἐκλεκτοῖς σου φιλάνθρωπε, ἐν τόπῳ ἀναψύξεως, ἐν ταῖς τῶν Ἁγίων λαμπρότησι· θελητὴς ἐλέους, ὑπάρχεις γὰρ καὶ σώζεις ὡς Θεὸς, οὓς κατ' εἰκόνα σου ἔπλασας, μόνε πολυέλεε.

Καὶ νῦν, Θεοτοκίον, ὅμοιον.

Ὤφθης ἐνδιαίτημα, θεοπρεπὲς Παναγία· Θεὸν γὰρ ἐχώρησας, καὶ Θεὸν ἐγέννησας ἀπειρόγαμε, βροτὸν ὁρώμενον, ἐν δυσὶν οὐσίαις, ἐν μιᾷ τῇ ὑποστάσει δέ· αὐτὸν δυσώπησον, τὸν μονογενῆ καὶ πρωτότοκον, τὸν σὲ Παρθένον ἄμωμον, καὶ μετὰ τὸν τόκον φυλάξαντα, ψυχὴν ἀναπαῦσαι, τοῦ πίστει κοιμηθέντος ἐν φωτὶ, ἐν ἀκηράτῳ φαιδρότητι, καὶ μακαριότητι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

'Αντίφωνον Ζ'. Ἦχος βαρύς.

Τὴν αἰχμαλωσίαν Σιὼν, ἐκ πλάνης ἐπιστρέψας, κἀμὲ Σωτὴρ ζώωσον, ἐξαίρων δουλοπαθείας.

Ἐν τῷ νότῳ ὁ σπείρων θλίψεις, νηστείας μετὰ δακρύων, οὗτος χαρᾶς δρέψεται, δράγματα ἀειζωοτροφίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι πηγὴ τῶν θείων θησαυρισμάτων· ἐξ οὗ σοφία, σύνεσις, φόβος· αὐτῷ αἴνεσις, δόξα, τιμὴ, καὶ κράτος.

Στιχηρὰ προσόμοια, Ἦχος βαρύς.

Καταφρονήσαντες πάντων.

Νενεκρωμένος ὡράθης, ἐπὶ Σταυροῦ μόνε ἀθάνατε, καὶ ἐν τάφῳ ὡς θνητὸς ἐτέθης, νεκρώσεως καὶ φθορᾶς καὶ θανάτου, τοὺς ἀνθρώπους λυτρούμενος· ἀλλ' ὡς πέλαγος εὐσπλαγχνίας ὑπάρχων ἀκένωτον, καὶ πηγὴ ἀγαθότητος, τὴν ψυχὴν τοῦ σοῦ δούλου, τοῦ ἐξ ἡμῶν μεταστάντος ἀνάπαυσον.

Τῷ ἀκηράτῳ σου κάλλει, καὶ γλυκασμῷ τῆς σῆς ὡραιότητος, καὶ ταῖς τοῦ θείου σου φωτὸς ἀκτῖσιν ἐλλάμπεσθαι, τὸν πρὸς σὲ μεταστάντα ἀγαθὲ καταξίωσον, ἐν αὔλῳ φωτοχυσίᾳ τῆς φωτοφανείας σȣ, σὺν Ἀγγέλοις χορεύοντα, περὶ σὲ τὸν Δεσπότην, καὶ Βασιλέα τῆς δόξης καὶ Κύριον.

Δόξα.

Ὡς ἀδαπάνητον ἔχων, τῶν δωρεῶν τὴν μεγαλοπρέπειαν, ὡς θησαυρὸς ἀνελλιπὴς πλουσίας χρηστότητος, τὸν πρὸς σὲ μεταστάντα, ὡς Θεὸς κατασκήνωσον, ἐν τῇ χώρᾳ τῶν ἐκλεκτῶν σου, ἐν τόπῳ ἀνέσεως, ἐν τῷ οἴκῳ τῆς δόξης σου, ἐν τρυφῇ Παραδείσȣ, ἐν τῷ παρθένων νυμφῶνι ὡς εὔσπλαγχνος.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Νόμου τὸ πλήρωμα τίκτεις, τὸν Λυτρωτὴν σάρκα γενόμενον· οὐ γὰρ ἐγένετο τοῖς πρὶν ἐν νόμῳ δικαίωσις· ἀλλ' ἡμᾶς ὁ Χριστὸς νῦν σταυρωθεὶς ἐδικαίωσεν. Ὡς οὖν ἔχουσα παῤῥησίαν, ὡς Μήτηρ ἱκέτευε, τὸν Υἱόν σου τὸν εὔσπλαγχνον, τὴν ψυχὴν ἀναπαῦσαι, τοῦ ἐξ ἡμῶν μεταστάντος δεόμεθα.

'Αντίφωνον Η'. Ἦχος πλ. δ'.

Ἐκ νεότητός μου ὁ ἐχθρός με πειράζει, ταῖς ἡδοναῖς φλέγει με· ἐγὼ δὲ πεποιθὼς, ἐν σοὶ Κύριε τροποῦμαι τοῦτον.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Οἱ μισοῦντες Σιὼν, γενηθήτωσαν δὴ, πρὶν ἐκσπασθῆναι, ὡς χόρτος· συγκόψει γὰρ Χριστὸς αὐχένας, αὐτῶν, τομῇ βασάνων. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ ζῆν τὰ πάντα, φῶς ἐκ φωτὸς Θεὸς μέγας· σὺν Πατρὶ ὑμνοῦμεν αὐτὸ καὶ τῷ Λόγῳ.

Στιχηρὰ προσόμοια, Ἦχος πλ. δ'.
Ὢ τοῦ παραδόξου θαύματος.

Βασιλικῶς μοι ὑπέγραψας, ἐλευθερίαν βαφαῖς, ἐρυθραῖς τῶν δακτύλων σου, αἱματώσας Δέσποτα, καὶ φοινίξας σῷ αἵματι· καὶ νῦν σε πίστει καθικετεύομεν· Τοῖς πρωτοτόκοις σου συναρίθμησον, καὶ τῶν Δικαίων σου, τῆς χαρᾶς ἀξίωσον ἐπιτυχεῖν, τὸν μεταφοιτήσαντα, πρὸς σὲ τὸν εὔσπλαγχνον.

Ἱεραρχήσας ὡς ἄνθρωπος, σφαγιασθεὶς σεαυτὸν, προσφορὰν προσενήνοχας, τῷ Πατρὶ τὸν ἄνθρωπον, τῆς φθορᾶς ἐξαιρούμενος· τὸν μεταστάντα οὖν ὡς φιλάνθρωπος, ἐν τῇ τῶν ζώντων χώρᾳ κατάταξον, ἔνθα οἱ χείμαῤῥοι, τῆς τρυφῆς προχέονται, ἔνθα πηγαὶ, τῆς ἀϊδιότητος, ἀναβλυστάνουσι.

Βάθει σοφίας ἀῤῥήτου σου, ὁροθετεῖς τὴν ζωὴν, καὶ προβλέπεις τὸν θάνατον, καὶ πρὸς βίον ἕτερον, μετοικίζεις τὸν ἄνθρωπον· ὃν προσελάβου τοίνυν κατάταξον, ἐπὶ ὑδάτων τῆς ἀναπαύσεως, ἐν τῇ λαμπρότητι, τῶν Ἁγίων Κύριε, ἔνθα φωνὴ, τῆς ἀγαλλιάσεως, καὶ τῆς αἰνέσεως.

Δόξα.

Λόγος ὑπάρχων ἀόρατος, ὁμοφυὴς τῷ Πατρὶ, καὶ τῷ Πνεύματι σύνθρονος, δι' ἐμὲ τὸν ἄνθρωπον, ἐν σαρκὶ πεφανέρωσαι, ὡς ἐλεήμων οὖν καὶ φιλάνθρωπος, τὸν ἐκ τοῦ βίου με μεταφοιτήσαντα, τῆς εὐπρεπείας σου, καὶ τῆς ὡραιότητος, ταῖς καλλοναῖς, τοῦτον καταλάμπρυνον, Ζωαρχικώτατε.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ὡς συλλαβοῦσα τὸν ἄναρχον, Λόγον Θεοῦ καὶ Θεὸν, μητρικῇ παῤῥησίᾳ σου, ἐκτενῶς ἱκέτευε, κατατάξαι τὸν δοῦλόν σου, ἔνθα χορεία ἡ ἀκατάλυτος, εὐφραινομένων καὶ εὐφημούντων σε, ἔνθα λαμπρότητες, αἱ διαιωνίζουσαι, καὶ ὁ γλυκὺς, ἦχος ἑορτάζοντος, Θεογεννήτρια.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν, κ.τ.λ.

Καὶ μετὰ τὴν Ἐκφώνησιν, τὸ Κοντάκιον, Ἦχος πλ. δ'.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριστὲ, τὴν ψυχὴν τοῦ δούλου σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμὸς, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Ὁ Οἶκος.

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον· οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα, καθὼς ἐκέλευσας ὁ πλάσας με, καὶ εἰπών μοι· Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ὅπου πάντες βροτοὶ πορευσόμεθα, ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδὴν, τὸ, Ἀλληλούϊα.

Εἶτα·

Ἐν τῇ Βασιλείᾳ σου, μνήσθητι ἡμῶν, Κύριε.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι.

Μακάριοι οἱ πενθοῦντες. Μακάριοι οἱ πρᾳεῖς.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες.

Μακάριοι οἱ ἐλεήμονες.

Μνήσθητι Εὔσπλαγχνε καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ Λῃστοῦ, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ.

Πάντες οἱ φοβούμενοι τὸν Θεὸν, ἐκεῖ εὐφρανθήσονται ἐν αὐτῷ, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

Μακάριοι οἱ εἰρηνοποιοί.

Ἀσκήσει δουλεύσαντά σοι Χριστὲ, καὶ Ὀρθοδοξίᾳ ἐπὶ τῆς γῆς, δόξασον Σωτὴρ ἐν τοῖς οὐρανοῖς.

Μακάριοι οἱ δεδιωγμένοι.

Ἐν πίστει καὶ ἐλπίδι θεοπρεπῶς, καὶ ἀγάπῃ ζήσαντα ἐπὶ γῆς, δόξασον Σωτὴρ ἐν τοῖς οὐρανοῖς.

Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν ὑμᾶς.

Ἀνάπαυσον τὸν δοῦλόν σου ὁ Θεὸς, μετὰ τῶν Ἁγίων ὡς ἀγαθὸς, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

Χαίρετε καὶ ἀγαλλιᾶσθε.

Τὸν κόσμον λιπόντα καὶ ἐν σεμνῇ, πολιτείᾳ ζήσαντα εὐσεβῶς, δόξασον Σωτὴρ ἐν τοῖς οὐρανοῖς.



Δόξα.

Μίαν Θεαρχίαν οἱ εὐσεβεῖς, ἐχόμενοι πίστεως ἐν τρισὶ, προσώποις δοξάζομεν εὐλαβῶς.

Καὶ νῦν. Θεοτοκίον.

Πάντες μακαρίζομεν σὲ, Ἁγνή· ἀσπόρως γὰρ ἔτεκες ἐν σαρκὶ, Θεὸν Βασιλέα τῶν οὐρανῶν.

Προκείμενον.

Μακαρία ἡ ὁδὸς, ᾗ πορεύῃ σήμερον.

Στίχ. Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου.

Τὸν Ἀπόστολον, καὶ τὸ Εὐαγγέλιον, ζήτει ἐν τῷ τῶν Κοσμικῶν Ἐξοδιαστικῷ, σελ. 406.

Μετὰ ταῦτα λέγει ὁ Διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κ.τ.λ.

Εἶτα ἡ Εὐχὴ μεγαλοφώνως παρὰ τοῦ Ἱερέως·

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός.

Καὶ μετὰ τὴν Ἐκφώνησιν, γίνεται ὁ Ἀσπασμὸς κατὰ τὴν τάξιν, καὶ ψάλλονται τὰ παρόντα Προσόμοια,

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε τελευταῖον ἀσπασμὸν, δῶμεν Ἀδελφοὶ τῷ θανόντι, εὐχαριστοῦντες Θεῷ· οὗτος γὰρ ἐξέλιπε τῆς Ἀδελφότητος, καὶ πρὸς τάφον ἐπείγεται, οὐκ ἔτι φροντίζων, τὰ τῆς ματαιότητος, καὶ πολυμόχθου σαρκός· ποῦ νῦν συγγενεῖς τε καὶ φίλοι; ἄρτι χωριζόμεθα, ὅν περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Πάντα τὰ τοῦ σώματος νυνὶ, ὄργανα ἀργὰ θεωροῦνται, τὰ πρὸ μικροῦ κινητὰ, πάντα ἀνενέργητα, νεκρὰ, ἀναίσθητα· ὀφθαλμοὶ γὰρ κατέδυσαν, ἐδέθησαν πόδες, χεῖρες ἡσυχάζουσι, καὶ ἀκοὴ σὺν αὐτοῖς· γλῶσσα τῇ σιγῇ συνεκλείσθη· τάφῳ παραδίδονται· ὄντως, ματαιότης πάντα τὰ ἀνθρώπινα!

Ποῖος χωρισμὸς ὦ Ἀδελφοί; ποῖος κοπετὸς, ποῖος θρῆνος, ἐν τῇ παρούσῃ ῥοπῇ; δεῦτε οὖν ἀσπάσασθε τὸν πρὸ μικροῦ μεθ' ἡμῶν· παραδίδοται τάφῳ γὰρ, καλύπτεται λίθῳ, σκότει κατοικίζεται, νεκροῖς συνθάπτεται· πάντες συγγενεῖς τε καὶ φίλοι, ἄρτι χωριζόμεθα, ὅν περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Οἵα ἡ ζωὴ ἡμῶν ἐστίν! ἄνθος καὶ ἀτμίς τε καὶ δρόσος, ἑωθινὴ ἀληθῶς· δεῦτε οὖν κατίδωμεν ἐπὶ τοὺς τάφους

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τρανῶς· ποῦ τὸ κάλλος τοῦ σώματος; καὶ ποῦ ἡ νεότης; ποῦ εἰσὶ τὰ ὄμματα, καὶ ἡ μορφὴ τῆς σαρκός; πάντα ἐξηράνθη ὡς χόρτος· πάντα ἠφανίσθησαν· δεῦτε, τῷ Χριστῷ προσπέσωμεν ἐν δάκρυσιν,

Ἄρτι ἡ τοῦ βίου πονηρὰ, λύεται πανήγυρις πᾶσα, τῆς ματαιότητος· πνεῦμα γὰρ ἐξέλιπεν ἀπὸ σκηνώματος· ὁ πηλὸς μεμελάνωται, τὸ σκεῦος ἐῤῥάγη, ἄφωνον, ἀναίσθητον, νεκρὸν, ἀκίνητον· ὅν περ παραπέμποντες τάφῳ, Κύριον εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σῶζε τοὺς ἐλπίζοντας εἰς σὲ, Μήτηρ τοῦ ἀδύτου Ἡλίου Θεογεννήτρια· αἴτησαι πρεσβείαις σου τὸν ὑπεράγαθον, ἀναπαῦσαι δεόμεθα, τὸν νῦν μεταστάντα, ἔνθα ἀναπαύονται αἱ τῶν Δικαίων ψυχαί· θείων ἀγαθῶν κληρονόμον, δεῖξον ἐν αὐλαῖς τῶν Δικαίων, εἰς μνημόσυνον πανάμωμε αἰώνιον.

Εἶτα τὰ παρόντα Ἰδιόμελα. Ἦχος πλ. δʹ.

Τὴν ἀειτάραχον θάλασσαν, τοῦ βίου διαδραμὼν, τῷ σῷ λιμένι προσέδραμε, τῇ πίστει ὁ μταστάς. Ἀλλ᾽ ἐν τῇ σῇ γαλήνῃ καὶ ἀειζώῳ τρυφῇ, μετὰ τῶν Ἁγίων καθοδηγῶν αὐτὸν, ἀνάπαυσον Χριστὲ, τὴν ψυχὴν τοῦ δούλου σου.

Ἦχος δʹ.

Ἡ ἀοίδιμος φωνὴ τοῦ θείου Δαυῒδ, σήμερον πληροῦται· Ἄνθρωπος λέγουσα, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει· ὃν γὰρ πρὸ μικροῦ ἐβλέπομεν, ζῶντα καὶ λαλοῦντα, ἰδοὺ πρόκειται νεκρὸς, ἀκίνητος, ἄπνους· ἐξῆλθε καὶ ἀπῆλθεν ἐκ τῶν ἐνθένδε, ἐκεῖ ὅπου ὁ μισθὸς τῶν ἔργων ὑπάρχει, ἐκεῖ ὅπου ἡ χαρὰ πάντων τῶν Ἁγίων· μεθ᾽ ὧν ἀνάπαυσον τὸν κεκοιμημένον ὁ Θεὸς, ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

Ἦχος πλ. δʹ.

Παντοκράτορ Κύριε, τὴν ψυχὴν τοῦ δούλου σου ἀνάπαυσον, ἐν σκηναῖς τῶν Δικαίων, ὅπου τὸ φῶς σου καταλάμπει, πᾶσι τοῖς ἀξίοις, μόνε πολυέλεε. Ὁ αὐτός.

Ἐξέλιπον ἀπὸ τῆς συγγενείας μου, κατέλιπον τὸ λοιπὸν τῆς ζωῆς μου, καὶ πρὸς σὲ κατέφυγον. Κύριε, σῶσόν με.



Θεοτοκίον.

Εἰρήνευσον πρεσβείαις τῆς Θεοτόκου, τὴν ζωὴν ἡμῶν τῶν βοώντων σοι· Ζωοδότα Κύριε, δόξα σοι.

Καὶ μετὰ τὸ γενέσθαι τὸν Ἀσπασμὸν, λέγομεν τὰ Τροπάρια ταῦτα·

Μετὰ πνευμάτων δικαίων τετελειωμένων.

Εἰς τὴν κατάπαυσίν σου Κύριε.

Δόξα. Σὺ εἶ ὁ Θεὸς, ὁ καταβὰς εἰς ᾅδην.

Καὶ νῦν. Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος. Ὅρα σελ. 385.

Ὁ Διάκονος·

Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς.

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ.

Ὁ Ἱερεύς.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ, καὶ ἡ ἀνάπαυσις.

Καὶ γίνεται Ἀπόλυσις.

Εἶτα, ἄραντες τὴν κλίνην μετὰ τοῦ λειψάνου, ἀπερχόμεθα εἰς τὸ Κοιμητήριον, ψάλλοντες τὰ Ἰδιόμελα, ἅπερ προεγράφησαν ἐν τῷ Ἐξοδιαστικῷ τῶν Κοσμικῶν, ἤγουν, **Ποία τοῦ βίου τρυφὴ**, καὶ τὰ ἕτερα πάντα. σελ. 403.

Ἀποτίθεται δὲ τὸ λείψανον, ἕως ἂν ἀπέλθωμεν εἰς τὸ Κοιμητήριον, τρὶς καὶ γίνεται ἡ Αἴτησις, καὶ ἡ Εὐχή. Φθάσαντες δὲ εἰς τὸν τάφον, ἀποτίθεται μὲν τὸ λείψανον ἐν τῷ μνήματι· ὁ δὲ Ἱερεὺς, χοῦν λαβὼν μετὰ τοῦ πτύου, ἐπιῤῥίπτει τῷ λειψάνῳ σταυροειδῶς, λέγων· **Τοῦ Κυρίου ἡ γῆ**· καὶ ἐπιχέει καὶ κανδήλαν, λέγων τὸ παρὸν Τροπάριον·

Τῷ τύπῳ τοῦ Σταυροῦ σου φιλάνθρωπε, ὁ θάνατος νενέκρωται, καὶ ὁ ᾅδης ἐσκύλευται, καὶ οἱ πάλαι θανέντες, ἀναστάντες ὕμνον σοι προσέφερον. Διὸ βοῶμέν σοι Χριστὲ ὁ Θεός· Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοί, δοξάζειν σου τὴν Θεότητα.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ οὕτω καλύπτουσιν, ὡς σύνηθες, τὸν τάφον, λέγοντες τὰ Τροπάρια ταῦτα, Ἦχος πλ. δ΄.

Γῆ χανοῦσα ὑπόδεξαι, τὸν ἀπὸ σοῦ πλασθέντα, χειρὶ Θεοῦ τὸ πρότερον· πάλιν δὲ ὑποστρέφοντα πρὸς σὲ τὴν τεκοῦσαν· τὸ γὰρ κατ' εἰκόνα ὁ Κτίστης προσελάβετο, σὺ δὲ ὑπόδεξαι τὸ σῶμα, ὡς τὸ ἴδιον.

Καθὼς εἶπας Κύριε τῇ Μάρθᾳ· Ἐγώ εἰμι ἡ ἀνάστασις, ἔργῳ τὸν λόγον ἐπλήρωσας, ἐξ ᾅδου καλέσας τὸν Λάζαρον· οὕτω καὶ τὸν δοῦλόν σου, ἐκ τοῦ ᾅδου ἔγειρον φιλάνθρωπε.

Πνευματικοί μου ἀδελφοὶ, καὶ συνασκηταὶ, μή μου ἐπιλάθεσθε, ὅταν προσεύχησθε πρὸς Κύριον· ἀλλ' ὁρῶντές μου τὸν τάφον, μέμνησθέ μου τῆς ἀγάπης, καὶ ἱκετεύσατε Χριστὸν, ἵνα κατατάξῃ τὸ πνεῦμά μου μετὰ τῶν Δικαίων.

Ὁ Διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κ.τ.λ.

Ὁ Ἱερεύς· Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός.

Μετὰ δὲ τὴν Ἐκφώνησιν, Δόξα, καὶ νῦν, καὶ Ἀπόλυσις. Ποιοῦμεν δὲ καὶ μετανοίας ιβ΄. ὑπὲρ τοῦ κοιμηθέντος Ἀδελφοῦ ἡμῶν, ὅσοι ὑπάρχομεν ἐπὶ τῷ μνήματι, λέγοντες·

Ἀνάπαυσον, Κύριε, τὴν ψυχὴν τοῦ δούλου σου (τοῦδε).

Καὶ οὕτως ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν.

---

## ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ ΕΙΣ ΙΕΡΕΙΣ.

Ἐπειδάν τις τῶν Ἱερέων ἐκδημήσῃ πρὸς Κύριον, ἀπέρχονται τρεῖς Ἱερεῖς, καὶ καταβιβάζουσιν αὐτὸν τῆς κλίνης, καὶ τιθέασιν ἐπὶ τῆς γῆς ἐν ψιαθίῳ· καὶ ἐπεὶ οὐ δεῖ λούεσθαι, γυμνούμενον παρὰ τῶν Ἱερέων, ἀποσπογγίζουσιν αὐτὸ μετὰ ἐλαίου καθαροῦ· εἶτα ἐνδύουσιν αὐτὸν τὰ ἐξ ἔθους ἱμάτια, καὶ τὴν Ἱερατικὴν στολὴν ἅπασαν· καὶ σκεπάσαντες τὸ πρόσωπον αὐτοῦ μετὰ τοῦ Ἀέρος, τιθέασι τὸ ἅγιον Εὐαγγέλιον ἐπάνω αὐτοῦ. Εἶτα ἀπέρχονται οἱ Ἱερεῖς, ἐνδεδυμένοι τὰς Ἱερατικὰς στολάς· ὁ δὲ Προεστὼς ποιεῖ Εὐλογητόν· Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστι· καὶ τὰ Τροπάρια, Μετὰ πνευμάτων Δικαίων τετελειωμένων.



Στίχ. Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς.

Εἰς τὴν κατάπαυσίν σου Κύριε.

Δόξα. Σὺ εἶ ὁ Θεὸς, ὁ καταβάς.

Καὶ νῦν. Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος.

Εἶτα ὁ Διάκονος μνημονεύει· καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν· Ὁ Θεὸς τῶν πνευμάτων κτλ. Ἐκφώνησις· Ὅτι σὺ εἶ ἡ ἀνάστασις. Καὶ εὐθὺς αἴρουσιν οἱ Ἱερεῖς τὸ λείψανον, καὶ φέρουσιν αὐτὸ ἐν τῷ Νάρθηκι τοῦ Ναοῦ, καὶ τιθέασι τὸ ἅγιον Εὐαγγέλιον ἐπάνω αὐτοῦ, ὡς προέφημεν, καὶ τὰ μανουάλια σταυροειδῶς μετὰ λαμπάδων, καὶ ἄρχεται ὁ Ψάλτης τοῦ Ἀμώμου. Εἶτα μνημονεύει ὁ Διάκονος, καὶ ἡ Εὐχὴ καὶ ἡ Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Μετὰ ταῦτα, τὰ Εὐλογητάρια, Ἦχος πλ. α΄.

Τῶν Ἁγίων ὁ χορὸς εὗρε πηγήν....

Ὁ πάλαι μὲν ἐκ μὴ ὄντων....

Εἰκών εἰμι τῆς ἀῤῥήτου....

Οἱ τὸν Ἀμνὸν τοῦ Θεοῦ....

Οἱ τὴν ὁδὸν τὴν στενήν....

Ἀνάπαυσον ὁ Θεὸς τόν....

Δόξα.

Τὸ τριλαμπὲς τῆς μιᾶς....

Καὶ νῦν.

Χαῖρε Σεμνὴ, ἡ Θεόν....

Ὁ Διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. Ἔτι δεόμεθα ὑπὲρ μακαρίας. Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ· Ὅπως Κύριος ὁ Θεὸς, κτλ.

Ὁ Ἱερεύς· Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ, καὶ ἡ ἀνάπαυσις.

Εἶτα τὸ Τροπάριον.

Ἀνάπαυσον Σωτὴρ ἡμῶν....

Δόξα, καὶ νῦν.

Ὁ ἐκ Παρθένου ἀνατείλας....

Ταῦτα πάντα προεγράφησαν ἐν τῷ τῶν Κοσμικῶν Ἐξοδιαστικῷ, σελ. 397-398-399.

Εἶτα τοὺς παρόντας Ἀναβαθμούς. Ἦχος πλ. β΄.

Ἀντίφωνον Α΄.

Ἐν τῷ οὐρανῷ, τοὺς ὀφθαλμούς μου αἴρω, πρὸς σὲ Λόγε· Οἴκτειρόν με, ἵνα ζῶ σοι.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐλέησον ἡμᾶς τοὺς ἐξουθενημένους, καταρτίζων εὔχρηστα, σκεύη σου Λόγε.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πανσωστικὴ αἰτία· εἴ τινι τούτων κατ' ἀξίαν πνεύσει, τάχει ἐξαίρει τῶν τῆς γῆς, πτεροῖ, αὔξει, τάττει ἄνω.

Ἀντίφωνον Β'.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, οὐδεὶς ἡμῶν ἀντισχεῖν ἠδύνατο ἐχθροῦ πάλαισμα· οἱ νικῶντες γὰρ ἔνθεν ὑψοῦνται.

Τοῖς ὀδοῦσιν αὐτῶν, μή μου ληφθήτω ἡ ψυχὴ ὡς στρουθίον Λόγε· οἴμοι, πῶς μέλλω τῶν ἐχθρῶν ῥυσθῆναι, φιλαμαρτήμων ὑπάρχων; Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἐνθέωσις τοῖς πᾶσιν, εὐδοκία, σύνεσις, εἰρήνη, καὶ ἡ εὐλογία· ἰσουργὸν γὰρ, τῷ Πατρί ἐστι καὶ Λόγῳ.

Ἀντίφωνον Γ'.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ἐχθροῖς φοβεροὶ, καὶ πᾶσι θαυμαστικοί· ἄνω γὰρ ὁρῶσιν.

Ἐν ἀνομίαις χεῖρας αὐτῶν, ὁ τῶν Δικαίων κλῆρος, ἐπίκυρόν σε ἔχων, Σῶτερ οὐκ ἐκτείνει. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ κράτος ἐπὶ πάντων, ὅπερ αἱ ἄνω Στρατηγίαι προσκυνοῦσι, σὺν πάσῃ πνοῇ τῶν κάτω.

Προκείμενον, Ἦχος πλ. β'.

Μακαρία ἡ ὁδὸς, ᾗ πορεύῃ σήμερον.

Στίχ. Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου.

Ὁ Ἀπόστολος.

Πρὸς Θεσσαλονικεῖς ά. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα·

Κεφ. δ'. 13.

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ἀλληλούϊα. Ἦχος πλ. β΄. Μακάριος, ὃν ἐξελέξω.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ε΄. 24.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰȣδαίȣς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτȣ εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ· καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάςασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω, κρίνω· καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

Εἶτα ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν. (*)

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ ἐν τῇ σοφίᾳ σου πλάσας ἐπὶ γῆς τὸν

(*) Ἡ παροῦσα Εὐχὴ οὕτως ἄρχεται ἐν τοῖς Χειρογράφοις· «Κύριε Ἰησοῦ » Χριστὲ, ὁ Θεὸς ἡμῶν, οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ὁ διὰ » τὴν ἡμετέραν σωτηρίαν γεννηθεὶς ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου » Μαρίας, καὶ σταυρὸν καὶ θάνατον ὑπομείνας, καὶ ταφεὶς καὶ ἀναστάς· αὐ- » τὸς, Δέσποτα παντοκράτορ, ταύτην τὴν μικρὰν δέησιν ἡμῶν, ἣν ποιοῦμεν ὑ- » πὲρ τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου σου (τοῦδε) ἱερέως, πρόσδεξαι τῇ » συνήθει σου φιλανθρωπίᾳ. Καὶ εἴ τι ἥμαρτεν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διά- » νοιαν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον· καὶ ἀνάπαυσον αὐτὸν » ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ναὶ, Κύριε, παντοκράτορ, ὁ ἐν τῇ » σοφίᾳ σου πλάσας κ.τ.λ.»

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἄνθρωπον, καὶ πάλιν εἰς γῆν αὐτὸν ἀποστρέφειν νομοθετήσας διὰ τὴν ἁμαρτίαν· ὁ κατάγων εἰς ᾅδου καὶ ἀνάγων· ὁ ἀποκτείνων, καὶ πάλιν ζωοποιῶν· πρόσδεξαι τὴν ψυχὴν τοῦ δούλου σου, καὶ ἀνάπαυσον αὐτὸν εἰς τοὺς κόλπους Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ· καὶ δὸς αὐτῷ τὸν στέφανον τῆς δικαιοσύνης σου, τὴν μερίδα τῶν σωζομένων, εἰς τὴν δόξαν τῶν ἐκλεκτῶν σου· ἵνα, ὑπὲρ ὧν ἐκοπίασεν ἐν τῷ κόσμῳ τούτῳ διὰ τὸ ὄνομά σου, λάβῃ πλουσίαν τὴν ἀνταπόδοσιν ἐν ταῖς μοναῖς τῶν Ἁγίων σου. Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κάθισμα, Ἦχος β'.

Σήμερον χωρίζομαι ἀπὸ τῆς συγγενείας μου, καὶ πρὸς σέ, καταφεύγω τὸν μόνον ἀναμάρτητον· ἐν σκηναῖς τῶν Δικαίων, μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον.

Εἶτα λέγομεν τὸν κβ'. Ψαλμόν. Ἀντίφωνον Α'.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με· τὴν ψυχήν μου ἐπέστρεψεν.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. Ἀλληλούϊα, Ἀλληλούϊα.

Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεναντίας τῶν θλιβόντων με. Ἀλληλούϊα, Ἀλληλούϊα.

Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου· καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.

Ἀλληλούϊα, Ἀλληλούϊα.



Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ἀλληλούϊα, Ἀλληλούϊα.

Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, εἰς μακρότητα ἡμερῶν.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Δόξα.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Καὶ νῦν.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Εἶτα τὸ παρὸν Τροπάριον, Ἦχος β'.

Ἐπειδὴ πάντες πρὸς τὴν αὐτὴν κατεπειγόμεθα μόνην, καὶ τὸν αὐτὸν ὑποδυσόμεθα λίθον, καὶ αὐτοὶ κόνις μετ' ὀλίγον ἐσόμεθα, τῷ μεταστάντι τὴν ἀνάπαυσιν παρὰ Χριστοῦ αἰτησώμεθα. Τοιοῦτος γὰρ ἡμῶν ὁ βίος ἀδελφοί· τοῦτο ἐπὶ γῆς παίγνιον· οὐκ ὄντας γενέσθαι, καὶ γενομένους ἀναφθαρῆναι· ὄναρ ἐσμὲν οὐχ ἱστάμενον· φύσημά τι μὴ κρατούμενον· πτῆσις ὀρνέου παρερχομένου· ναῦς ἐπὶ θαλάσσης ἴχνος οὐκ ἔχουσα. Διὸ βοήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ· Κύριε τῆς ἀτελευτήτου σου μακαριότητος καταξίωσον αὐτόν.

Προκείμενον, Ἦχος πλ. β'.

Μακάριος, ὃν ἐξελέξω, καὶ προσελάβου, Κύριε.

Στίχ. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται.

Ὁ Ἀπόστολος.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου.

Κεφ. ε. 12.

Ἀδελφοί, ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον. Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ· ἁμαρτία δὲ οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου. Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος. Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα· εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ, καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπε-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ρίσσευσε. Καὶ οὐχ ὡς δὶ ἑνὸς ἁμαρτήσαντος, τὸ δώρημα· τὸ μὲν γὰρ κρίμα, ἐξ ἑνὸς εἰς κατάκριμα· τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνὸς, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ. Ἄρα οὖν ὡς δὶ ἑνὸς παραπτώματος, εἰς πάντας ἀνθρώπους, εἰς κατάκριμα· οὕτω καὶ δὶ ἑνὸς δικαιώματος, εἰς πάντας ἀνθρώπους, εἰς δικαίωσιν ζωῆς. Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπȣ ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι καταςαθήσονται οἱ πολλοί. Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις· ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. ε. 17.

Εἶπεν ὁ Κύριος πρὸς τȣ̀ς ἐληλυθότας πρὸς αὐτὸν Ἰȣδαίους· Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ Σάββατον, ἀλλὰ καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ᾽ ἑαυτοῦ ȣ̓δὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. Ὁ γὰρ Πατὴρ φιλεῖ τὸν Υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ· καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ. Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει ȣ̓δένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ· ἵνα πάντες τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα. Ὁ μὴ τιμῶν τὸν Υἱὸν, οὐ τιμᾷ τὸν Πατέρα, τὸν πέμψαντα αὐτόν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιςεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.



Εἶτα ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ Ἱερεύς·

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι σοῦ μόνον τὸ ζῆν ἀθάνατον, καὶ ἡ δόξα ἀκατάληπτος, καὶ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος, καὶ ἡ βασιλεία ἀδιάδοχος, καὶ οὐκ ἔςι προσωποληψία παρὰ σοὶ, Κύριε· πᾶσι γὰρ ἀνθρώποις τὸ κοινὸν τοῦ βίου ἐξέταξας χρέος, τοῦ ὅρου πληρωθέντος. Διό σε ἱκετεύομεν, Κύριε ὁ Θεὸς ἡμῶν· Τὸν δȣ̃λόν σου (δεῖνα) ἱερέα, ἀδελφὸν καὶ συλλειτουργὸν ἡμῶν γενόμενον τὸν ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κοιμηθέντα, ἐν κόλποις Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ ἀνάπαυσον· καὶ ὥσπερ ἐπὶ τῆς γῆς ἐν τῇ Ἐκκλησίᾳ σου λειτουργὸν αὐτὸν ἀνακατέστησας, οὕτω καὶ ἐν τῷ οὐρανίῳ σου θυσιαστηρίῳ ἀνάδειξον, Κύριε· ἐπὶ ἀνθρώπων πνευματικῇ ἀξίᾳ κατακοσμήσας, ἐπὶ Ἀγγέλων τῇ σῇ δόξῃ ἀκατάκριτον τήρησον· αὐτὸς ἐπὶ τῆς γῆς τὴν ζωὴν αὐτοῦ ἐδόξασας, αὐτὸς δὲ καὶ τὴν ἔξοδον τοῦ βίου αὐτοῦ ἐν τῇ εἰσόδῳ τῶν Ἁγίων σου ποίησον, καὶ τὸ πνεῦμα αὐτοῦ μετὰ πάντων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων συναρίθμησον (*) Ὅτι σὺ εἶ ἡ ἀνάςασις, ἡ ζωὴ, καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου (τοῦδε), Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀντίφωνον Β΄. Ψαλμὸς κγ΄.

Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς· ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Ἀλληλούϊα, Ἀλληλούϊα.

(*) Ἐν τοῖς Χειρογράφοις ἡ Εὐχὴ οὕτως ἐπεκτείνεται· « Ναὶ, Κύριε ὁ Θεὸς » ἡμῶν, ὁ μέγας Ἀρχιερεὺς, καὶ δίκαιος κριτὴς, τὸν μεθ᾽ ἡμῶν σοι δουλεύσαντα » ἀδελφὸν ἡμῶν (δεῖνα) Ἱερέα, τῆς ἐκεῖθεν ζωῆς κληρονόμον ἀνάδειξον, καὶ τῶν » ἐντεῦθεν πλημμελημάτων αὐτοῦ λήθην ποίησον, ὡς ἁμαρτίας ἐλεύθερος, καὶ » ἡμῶν τὸν βίον ἐν εὐμενείᾳ διάγαγε· ἵνα σοι εὐχαρίστως ὑπηρετοῦντες, τῶν » ἡτοιμασμένων τοῖς σὲ θεραπεύουσιν ἐπιτύχοιμεν· καὶ μνήσθητι, Κύριε, τῶν » πενθούντων, καὶ παραμύθησαι αὐτοὺς, καὶ σῶσον ἐν τῇ Βασιλείᾳ σου. Ὅτι » σὺ εἶ ἡ ἀνάστασις κ.τ.λ. »



Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.

'Αλληλούϊα, Ἀλληλούϊα.

Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

'Αλληλούϊα, 'Αλληλούϊα.

Ἀθῷος χερσὶ, καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.

'Αλληλούϊα, 'Αλληλούϊα.

Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου, καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ.

'Αλληλούϊα, 'Αλληλούϊα.

Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.

'Αλληλούϊα, 'Αλληλούϊα.

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν· καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

'Αλληλούϊα, 'Αλληλούϊα.

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ.

'Αλληλούϊα, 'Αλληλούϊα.

Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν· καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

'Αλληλούϊα, 'Αλληλούϊα.

Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης.

'Αλληλούϊα, 'Αλληλούϊα.

Δόξα.

'Αλληλούϊα, 'Αλληλούϊα.

Καὶ νῦν.

'Αλληλούϊα, 'Αλληλούϊα.

Τροπάριον, Ἦχος β'.

Ἐν πίστει καὶ ἀγάπῃ, καὶ ἐλπίδι, καὶ πρᾳότητι, καὶ ἁγνείᾳ, καὶ ἐν τῷ Ἱερατικῷ ἀξιώματι, εὐσεβῶς διέπρεψας

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀείμνηστε· διό σε ὁ προαιώνιος Θεὸς, ᾧ καὶ ἐδούλευσας, αὐτὸς καταταξει τὸ πνεῦμά σου, ἐν τόπῳ φωτεινῷ, καὶ τερπνῷ, ἔνθα οἱ Δίκαιοι ἀναπαύονται· ἐντεύξῃ δὲ καὶ παρὰ Χριστοῦ τῇ κρίσει τὴν ἄφεσιν, καὶ τὸ μέγα ἔλεος.

Κάθισμα, Ἦχος πλ. ά.

Γινώσκεις ὁ Θεὸς ἡμῶν, ὅτι ἐν ἁμαρτίαις γεγεννήμεθα· διό σε ἱκετεύομεν· Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα, ἃ ὡς ἄνθρωπος καὶ θνητὸς ἐν βίῳ ἔπραξε, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Προκείμενον, Ἦχος πλ. β'.

Μακάριος, ὃν ἐξελέξω, καὶ προσελάβου, Κύριε.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτοῦ εἰς γενεάν.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους ά. Ἐπιστολῆς Παύλου.

Κεφ. ιέ. 1.

Ἀδελφοὶ, γνωρίζω ἡμῖν τὸ εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι' οὗ καὶ σώζεσθε· τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν εἰ κατάχετε· ἐκτὸς εἰμὴ εἰκῇ ἐπιςεύσατε. Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφάς· καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς· καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς Δώδεκα. Ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν. Ἔπειτα ὤφθη Ἰακώβῳ· εἶτα τοῖς Ἀποστόλοις πᾶσιν. Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί. Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων· ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. Χάριτι δὲ Θεοῦ, εἰμὶ ὅ εἰμι· καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ, οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. Εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε.

Ἀλληλούϊα. Μακάριος, ὃν ἐξελέξω.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ς'. 35.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με, οὐ μὴ πεινάσῃ· καὶ ὁ πιστεύων εἰς ἐμὲ, οὐ μὴ διψήσῃ πώποτε. Ἀλλ' εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε. Πᾶν ὃ δίδωσί μοι ὁ Πατὴρ, πρὸς ἐμὲ ἥξει· καὶ τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω. Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με Πατρὸς, ἵνα πᾶν, ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Εἶτα ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν.

Κύριε, Κύριε, ἡ τῶν θλιβομένων παραμυθία, καὶ τῶν πενθούντων παράκλησις, καὶ πάντων τῶν ἐν ὀλιγοψυχίᾳ ἀντίληψις ὑπάρχων, τοὺς τῷ πένθει συνεχομένους τοῦ κοιμηθέντος ἀδελφοῦ ἡμῶν (δεῖνος) Ἱερέως, τῇ σῇ εὐσπλαγχνίᾳ, παραμύθησαι· πᾶν ἄλγος ἐγκείμενον ἐν ταῖς καρδίαις αὐτῶν θεράπευσον· καὶ τὸν δοῦλόν σου (τὸν δεῖνα) Ἱερέα, ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένον, ἐν κόλποις Ἀβραὰμ ἀνάπαυσον. (*) Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ, καὶ ἡ ἀνάπαυσις, κ.τ.λ.

(*) Ἡ Εὐχὴ ἐν τοῖς Χειρογράφοις περιέχει καὶ τὰ ἑξῆς· «καὶ μετὰ Δικαίων » συναρίθμησον. Ναὶ, Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ σοφίᾳ κατασκευάσας τὸν ἄνθρωπον, καὶ εἰκόνι τῇ σῇ τιμήσας αὐτὸν, καὶ θέμενος αὐτῷ πνεῦμα ζωῆς, καὶ εἰσάγων αὐτὸν εἰς τὸν κόσμον τοῦτον ἐπ' ἐλπίδι ἀναστάσεως » ζωῆς αἰωνίου· καταρτίσαντα δὲ αὐτὸν ὑπάγειν, τὸ μὲν ἐκ γῆς εἰς γῆν ἀναλύσας, τὴν δὲ ψυχὴν αὐτοῦ προσκαλεσάμενος· αὐτὸς καὶ νῦν, Δέσποτα, » πρόσδεξαι τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου σου (δεῖνος) Ἱερέως, καὶ ἀνάπαυσον αὐτὴν ἐν τόπῳ ἀναψύξεως· καὶ εἴ τι ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν ἥμαρτεν, ὡς ἀγαθὸς, ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς, συγχώρησον πάντα τὰ παραπτώματα αὐτοῦ, καὶ ἡμᾶς ἀξίωσον τῆς βασιλείας σου. Ὅτι σὺ » εἶ κ.τ.λ.



Ἀντίφωνον Γ'. Ψαλμὸς πγ'.

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ, καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Μακάριος ἀνὴρ, ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον, ὃν ἔθετο.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν, ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι, ὁ Θεὸς Ἰακώβ.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεὸς, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.

Ἀλληλούϊα, Ἀλληλούϊα.

Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος· ὁ Θεὸς χάριν καὶ δόξαν δώσει. Ἀλληλούϊα, Ἀλληλούϊα.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.

'Αλληλούϊα, 'Αλληλούϊα.

Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. 'Αλληλούϊα, 'Αλληλούϊα.

Δόξα.

'Αλληλούϊα, 'Αλληλούϊα.

Καὶ νῦν.

'Αλληλούϊα, 'Αλληλούϊα.

Εἶτα τὰ Τροπάρια, Ἦχος πλ. β'.

Ἀδελφοί μου ἀγαπητοί, μή μου ἐπιλάθεσθε, ὅταν ὑμνεῖτε τὸν Κύριον· ἀλλὰ μνήσθητέ μου τοῦ πόθου καὶ τῆς ἀγάπης· μνήσθητε καὶ τῆς ἀδελφότητος, καὶ ἱκετεύσατε τὸν Θεόν, ἵνα με ἀναπαύσῃ μετὰ τῶν Δικαίων ὁ Κύριος.

Αἰφνίδιος ἐπέστη ἐπ' ἐμὲ ὁ θάνατος, καὶ ἐχώρισέ με τῶν ἰδίων μου σήμερον· ἀλλὰ μεταστήσας με Χριστέ, ἐν τόποις ἀναψύξεως ἀνάπαυσον.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν.

Καὶ νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην.

Προκείμενον, Ἦχος πλ. β'.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται,

Στίχ. Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ιε'. 20.

Ἀδελφοί, Χριστὸς ἐγήγερται ἐκ νεκρῶν· ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ, ἐν τῇ παρουσίᾳ αὐτοῦ. Εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί· ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύ-



ναμιν. Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. Ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.

Ἀλληλούϊα, Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ς'. 40.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱόν, καὶ πιστεύων εἰς αὐτόν, ἔχῃ ζωὴν αἰώνιον· καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν· Ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ. Καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν λέγει οὗτος· Ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα; Ἀπεκρίθη οὖν ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς· Μὴ γογγύζετε μετ' ἀλλήλων. Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν, καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Εἶθ' οὕτως οἱ Μακαρισμοί, εἰς Ἦχον β'.

Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. Μακάριοι οἱ πενθοῦντες.

Μακάριοι οἱ πραεῖς. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες.

Μακάριοι οἱ ἐλεήμονες.

Πάλαι μὲν ὁ Ἀδὰμ γευσάμενος, τοῦ ξύλου τῆς βρώσεως, τοῦ Παραδείσου ἐξωρίσθη· ὁ δὲ Λῃστὴς ἐν τῷ Σταυρῷ κρεμάμενος, Θεόν σε ὁμολογῶν, ἐν Παραδείσῳ εἰσῳκίσθη· καὶ ἡμεῖς οἱ σωθέντες τῷ πάθει σου Δέσποτα, τὸν Λῃστὴν ἐκμιμούμενοι, ἐν πίστει ἐκβοῶμεν· Μνήσθητι καὶ ἡμῶν, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. Μακάριοι οἱ καθαροί.

Χοῦν λαβὼν ἀπὸ γῆς ὁ πλάσας με, τὸ ἐμὸν σῶμα διέπλασε βουλήματι τῷ θείῳ, τὴν δὲ ψυχὴν ζωηφόρῳ φυσή-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ματι ἐμπνεύσας, ἐνέθηκε προστάγματι τῷ ἁγίῳ· ὅθεν τῇ φθορᾷ τῆς ἁμαρτίας κακῶς ὑπαχθέντα με, ἀνεκαλέσω Φιλάνθρωπε, δι' ἄκραν εὐσπλαγχνίαν. Ἀλλὰ ἀνάπαυσον ὁ Θεὸς, ὃν προσελάβου μετὰ τῶν Ἁγίων σου.

Μακάριοι οἱ εἰρηνοποιοί.

Ὅταν ψυχὴ καὶ σῶμα χωρίζεται, φρικτὸν τὸ μυστήριον καὶ φοβερὸν τοῖς πᾶσιν· ἡ μὲν ψυχὴ θρηνωδῶς πορεύεται, τὸ δὲ σῶμα καλύπτεται τῇ γῇ παραδοθέν. Ὅθεν καὶ ἡμεῖς ἐπιγνόντες τοῦ τέλους τὴν ἔξοδον, τῷ Σωτῆρι προφθάσωμεν, ἐν δάκρυσι βοῶντες· Μνήσθητι καὶ ἡμῶν, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Μακάριοι οἱ δεδιωγμένοι.

Τί με θρηνεῖτε δεινῶς, ὦ ἄνθρωποι; τί μάτην θορυβεῖσθε; ὁ μεταστὰς ἅπασι προσφθέγγεται· ὁ θάνατος γέγονεν ἀνάπαυσις τοῖς πᾶσιν· ὅθεν τῆς φωνῆς τοῦ Ἰὼβ ἀκούσωμεν, λέγοντος· Θάνατος ἀνδρὶ ἀνάπαυσις ὑπάρχει. Ἀλλὰ ἀνάπαυσον ὁ Θεὸς, ὃν προσελάβου μετὰ τῶν Ἁγίων σου.

Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν.

Ὁ πάνσοφος Παῦλος προηγόρευσε, σαφῶς τὴν μετάστασιν, τοὺς πάντας διδάσκων, ὅτι νεκροὶ ἄφθαρτοι ἐγείρονται· ἡμεῖς ἀλλαγησόμεθα κελεύσματι τῷ θείῳ· ὅθεν φοβερῶς καὶ ἡ σάλπιγξ ἐκείνη ἠχήσει, τοὺς ἀπ' αἰῶνος καθεύδοντας ἐξ ὕπνου ἀναστήσει. Ἀλλὰ ἀνάπαυσον ὁ Θεὸς, ὃν προσελάβου, μετὰ τῶν Ἁγίων σου.

Χαίρετε καὶ ἀγαλλιᾶσθε.

Ὁ μεταστὰς καὶ ἐν τάφῳ κείμενος νεκρὸς, εὐδιάλλακτος τοῖς πᾶσιν ἀνακράζει· Δεῦτε πρός με γηγενεῖς, θεάσασθε τὸ κάλλος τοῦ σώματος μεμελανωμένον· ὅθεν ἐξ αὐτοῦ ἐπιγνόντες ἀδελφοὶ τὴν ἔξοδον, τῷ Σωτῆρι προφθάσωμεν ἐν δάκρυσι βοῶντες· Ἀνάπαυσον αὐτὸν ὁ Θεὸς, ὃν προσελάβου, μετὰ τῶν Ἁγίων σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὑπερφυῶς ἐν γαστρί σου Δέσποινα, ἀσπόρως συνέλαβες Θεὸν τὸν προαιώνιον, καὶ σαρκὶ τοῦτον ἀπεκύησας, Θεόν τε καὶ ἄνθρωπον, ἀτρέπτως ἀσυγχύτως· ὅθεν καὶ ἡμεῖς Θεο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη

τόκον ἀεί σε γινώσκοντες, τῷ τεχθέντι ἐκ σοῦ Θεῷ ἐν πίστει βοῶμεν· Μνήσθητι καὶ ἡμῶν Χριστὲ, ἐν τῇ Βασιλείᾳ σου.

Προκείμενον.

Μακάριος, ὃν ἐξελέξω, καὶ προσελάβου Κύριε.

Στίχ. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται.

Ὁ Ἀπόστολος.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου.

Κεφ. ιδ'. 6.

Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ· καὶ ὁ ἐσθίων, Κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει· ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν. Εἰς τοῦτο γὰρ Χριςὸς καὶ ἀπέθανε καὶ ἀνέστη καὶ ἀνέζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.

Ἀλληλούϊα.

Μακάριος, ὃν ἐξελέξω.

Εὐαγγέλιον, ἐκ κατὰ Ἰωάννην.

Κεφ. ϛ'. 48.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι, λέγοντες· Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον· καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Μετὰ δὲ τὸν Ν'. Ψαλμὸν, τὸν παρόντα Κανόνα, οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· Κλήμεντος.

Ἐν ἑκάστῳ δὲ Τροπαρίῳ λέγομεν· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται.

Ὠδὴ α'. Ἦχος πλ. β'. Κύματι θαλάσσης.

Σοὶ τῷ εὐεργέτῃ, καὶ πάντων Δεσπότῃ Χριστῷ προσπίπτομεν, μετὰ δακρύων θερμῶν, τὴν ἐπιτάφιον ταύτην, ἐν κλαυθμῷ ἀναβοῶντες ᾠδήν· Τὸν πιστὸν οἰκέτην σου, ἀνάπαυσον ὡς εὔσπλαγχνος.

Τῆς ἐκ δεξιῶν σου, ἀξίωσον Λόγε, ἁγίας στάσεως, μετὰ τῶν σῶν ἐκλεκτῶν, τὸν ἐπ' ἐλπίδι θανέντα, ἀναστάσεως φιλάνθρωπε, ἐκτενῶς δεόμεθα, μετὰ φωνῆς αἰνέσεως.

Ἐν τῇ οὐρανίῳ, σεπτῇ Βασιλείᾳ ἐκλεκτὸν δοῦλόν σου, φαιδρῶς ἀγάλλεσθαι, τὸν ἀπὸ γῆς μεταστάντα, καταξίωσον Φιλάνθρωπε, παρορῶν ὡς εὔσπλαγχνος, τὰ τῆς ψυχῆς ἐγκλήματα.

Οἴμοι ὡσεὶ χόρτος, ἡ δόξα τοῦ βίου ὁμοῦ ἐξήνθησε, καὶ ἐξηράνθη εὐθύς· ποῦ ἐν τῷ τάφῳ ἀξία; ποῦ μορφὴ ἐστὶν ἢ κάλλος ἐκεῖ; διὸ φεῖσαι Κύριε, τοῦ δούλου σου ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

Καταχρέος πάντες, ὑμνοῦμέν σε πόθῳ, Παρθένε ἄχραντε, Μαρία Μήτηρ Θεοῦ, ὅτι ἀκοίμητον ἔχεις, τῆς πρεσβείας σου τὸ ὄμμα ἀεὶ· ἐκ πταισμάτων ῥῦσαι νῦν, καὶ κρίσεως θανάτου ἡμᾶς.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Οὐκ ἔστιν ἄνθρωπος ἐν γῇ, ὃς οὐχ ἥμαρτε Λόγε· διὸ δέησιν δέξαι, δι' ἡμῶν τῶν ταπεινῶν, καὶ ἄνες, ἄφες Σωτὴρ, τοῦ σοῦ δούλου πάντα τὰ ἐγκλήματα.

Καὶ τίς φιλάνθρωπος ὡς σὺ, Κύριε ἐλεῆμον, συγχωρῶν ἁμαρτίας, καὶ τοῖς ζῶσι καὶ νεκροῖς, κατ' ἐξουσίαν πολλήν; διὰ ταύτης σῶζε καὶ τὸν δοῦλόν σου.

Τῆς ἄνω κλήσεως Σωτὴρ, τὸν πιστῶς μεταστάντα, δεῖξον συγκληρονόμον, προσδεχόμενος αὐτοῦ, τὴν τελευταίαν εὐχὴν, τῶν δακρύων, μόνε ἀναμάρτητε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Θεοτοκίον.

Η ὄντως Δέσποινα ἡμῶν, Παναγία Παρθένε, δυσωποῦσα μὴ παύσῃ, ὃν ἐκύησας Θεὸν, τὸν μεταστάντα πιστῶς, βασιλείας ἄξιον γενέσθαι σοι. Ὁ Εἱρμός.

» Οὐκ ἔστιν ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ » κέρας, τῶν πιστῶν σου ἀγαθὲ, καὶ στερεώσας αὐτοὺς, » ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.

Ὁ Διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, κ.τ.λ.

Ὁ Ἱερεύς· Ὁ Θεὸς τῶν πνευμάτων.

Κάθισμα, Ἦχος πλ. β'.

Ἀληθῶς ματαιότης τὰ σύμπαντα, ὁ δὲ βίος σκιὰ καὶ ἐνύπνιον· καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενὴς, ὡς εἶπεν ἡ Γραφή· ὅτε τὸν κόσμον κερδήσωμεν, τότε τῷ τάφῳ οἰκήσομεν· ὅπου ὁμοῦ βασιλεῖς καὶ πτωχοί· διὸ Χριστὲ τὸν δοῦλόν σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου, μὴ ἐγκαταλίπῃς με, ἀνθρωπίνῃ προστασίᾳ, μὴ καταπιστεύσῃς με· ἀλλ' αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

Ὠδὴ δ'. Τὴν ἐν Σταυρῷ σου.

Ὅτι ἡ κρίσις ἀνυπόστατος, τῆς φρικτῆς ἀπειλῆς, ἐκείνης τῆς ἡμέρας, τοῦ μεταστάντος ἄφεσιν· ὅθεν ἐκτενῶς, καὶ ἀνάστασιν πίστει, Χριστῷ αἰτήσωμεν.

Ὡς μετανοίᾳ σοι ἀνάψαντα, τὴν λαμπάδα Χριστὲ, φαιδρῶς πρὸ τοῦ θανάτου, τὸν σὸν οἰκέτην Δέσποτα, εὔσπλαγχνε Σωτὴρ, τοῦ νυμφῶνός σου τοῦτον φαιδρῶς ἀξίωσον.

Ὅτε γυμνοῖς πάντα τὰ κρύφια, καὶ ἐλέγχεις Χριστὲ, ἡμῶν τὰς ἁμαρτίας, ὃν προσελάβου Κύριε, φεῖσαι ἀγαθὲ, τῆς αὐτοῦ μεμνημένος ἐξαγορεύσεως. Θεοτοκίον.

Μὴ ἐπιλάθῃ τῶν βοώντων σοι, ἐν κλαυθμῷ ἐκτενῶς, ἁγία Θεοτόκε· Δυσώπει τὴν ἀνάπαυσιν, εὑρεῖν ἀγαθὴ, τὸν πιστόν σου οἰκέτην πρὸς τὴν μετάστασιν.

Ὠδὴ ε'. Θεοφανείας σου Χριστέ.

Ἐν τῷ χορῷ τῶν ἐκλεκτῶν, καὶ ἐν τρυφῇ οἰκτίρμον Παραδείσου, ὃν ἐν πίστει μετέστησας οἴκισον· σὺ γὰρ ἔθου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

πᾶσι Σωτὴρ ἡμῶν, τοῖς ἁμαρτάνουσι βροτοῖς, μετάνοιαν ἔνθεον· ὡς Δεσπότης, καὶ τοῦτον τῆς Βασιλείας σου ἀξίωσον.

Κατ' ἐξουσίαν ὡς Θεὸς, δεσποτικῶς ἐλεεῖς τὸ σὸν πλάσμα, οὗ τῷ νόμῳ ἀνθρωπίνῳ Κύριε, ὑπετάγης, μόνε φιλάνθρωπε· διὸ ἄνες ἄφες Σωτὴρ, τοῦ μεταστάντος πίστει τὰς ἁμαρτίας, καὶ τοῦτον τῆς Βασιλείας σου ἀξίωσον.

Οὐδεὶς ἐκφεύξεται ἐκεῖ, τὸ φοβερὸν τῆς κρίσεώς σου βῆμα· βασιλεῖς γὰρ καὶ δυνάσται ἅπαντες, σὺν τοῖς δούλοις ἅμα παρίστανται, καὶ φωνὴ Κριτοῦ φοβερὰ, ἁμαρτήσαντας λαοὺς καλεῖ εἰς κρίσιν, γεέννης· ἐξ ἧς Χριστὲ ῥῦσαι τὸν δοῦλόν σου.

Θεοτοκίον.

Ἐκ σοῦ ἐτέχθη Λυτρωτὴς, ὑπερφυῶς κατὰ φύσιν ἀνθρώπων· ὃν Παρθένε ἐκτενῶς ἱκέτευε, τοῦ ῥυσθῆναι πάντας ἀνύμφευτε, κολάσεως καὶ δεινῶν, καὶ φοβερῶν τοῦ ᾅδου κολαστηρίων, καὶ σῶσαι τὸν ἐξ ἡμῶν νῦν μεταστάντα πιστῶς.

Ὠδὴ ς'. Ἄβυσσος ἐσχάτη.

Θάνατος καὶ τάφος, καὶ κρίσις ἡμᾶς ἀναμένει, στηλιτεύουσα τὰ ἔργα πάντα· ἐξ οὗ τὸν δοῦλόν σου ῥῦσαι, φιλάνθρωπε, ὅν περ νῦν μετέστησας.

Ἄνοιξον Σωτήρ μου, τῷ μεταστάντι δεόμεθά σου, τοῦ ἐλέους σου Χριστὲ τὴν θύραν, ἵνα χορεύῃ ἐν δόξῃ, μετέχων εὐφροσύνης τοῦ κράτους σου.

Λύτρωσον πταισμάτων, τῷ σῷ ἐλέει Σωτὴρ σὸν δοῦλον, ὃν μετέστησας νυνὶ ἐν πίστει· ὅτι οὐδεὶς δικαιοῦται, ἐξ ἔργων ἀνθρωπίνων, φιλάνθρωπε.

Θεοτοκίον.

Νέκρωσις θανάτου, καὶ κατάρας ἀναίρεσις ὁ Κτίστης, σαρκὶ ἐτέχθη Θεογεννῆτορ, καὶ πάντας τοὺς θανόντας, σώζει, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ Εἱρμός.

» Ἄβυσσος ἐσχάτη, ἁμαρτημάτων ἐκύκλωσέ με, καὶ τὸν
» κλύδωνα μηκέτι φέρων, ὡς ὁ Ἰωνᾶς τῷ Δεσπότῃ, βοῶ
» σοι· Ἐκ φθορᾶς με ἀνάγαγε.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. Ἔτι δεόμεθα ὑπὲρ μακαρίας.

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι. Ὅπως Κύριος ὁ Θεός.

Ὁ Ἱερεύς· Ὁ Θεὸς τῶν πνευμάτων, κ.τ.λ.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα τὸ Κοντάκιον.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριςὲ τὴν ψυχὴν τοῦ δούλου σου, ἔνθα ἐκ ἔςι πόνος, οὐ λύπη, οὐ ςεναγμὸς, ἀλλὰ ζωὴ ἀτελεύτητος. Καὶ τὰ παρόντα Τροπάρια. (*)

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον· οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα, καθὼς ἐκέλευσας ὁ πλάσας με, καὶ εἰπών μοι· Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ὅπου πάντες βροτοὶ πορευσόμεθα, ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδὴν τὸ,

Ἀλληλούϊα.

Νουνεχῶς δυσωπῶ ἐπακούσατε· μετὰ μόνων γὰρ ταῦτα καὶ φθέγγομαι· δι' ἡμᾶς γὰρ τὸν θρῆνον ἐποίησα, ἴσως ἔχειν τινὰ πρὸς ὠφέλειαν. Ἀλλ' ὅτε ταῦτα μελῳδήσητε, μνημονεύσατέ μου τοῦ ποτὲ γνωρίμου· πολλάκις γὰρ ὁμοῦ συνεισήλθομεν, καὶ ἐν οἴκῳ Θεοῦ συνεψάλλομεν τὸ,

Ἀλληλούϊα.

Ἀναστάντες οὖν πάντες συνάχθητε, καὶ καθίσαντες λόγον ἀκούσατε· φοβερὸν ἀδελφοὶ τὸ κριτήριον, ὅπου μέλλομεν πάντες παρίστασθαι· οὐκ ἔνι ἐκεῖ δοῦλος, οὐδὲ ἐλεύθερος· οὐδέ ἐστιν ἐκεῖ μικρὸς, οὔτε μέγας· ἀλλὰ πάντες γυμνοὶ παριστάμεθα· διὰ τοῦτο καλὸν τὸ βοᾷν συνεχῶς τὸν ψαλμὸν,

Ἀλληλούϊα.

Συγκαιόμεθα πάντες τοῖς δάκρυσιν, ὅταν ἴδωμεν λείψανον κείμενον· καὶ ἐγγίζομεν πάντες ἀσπάζεσθαι, ἴσως δὲ καὶ τοιαῦτα προσφθέγγεσθαι· Ἰδοὺ ἀφῆκας τὰς φιλοῦντάς σε· οὐ λαλεῖς τοῦ λοιποῦ μεθ' ἡμῶν, φίλε; διὰ τί οὐ λαλεῖς ὡς ἐλάλεις ἡμῖν, ἀλλ' οὕτω σιγᾷς τοῦ λαλεῖν μεθ' ἡμῶν τὸ,

Ἀλληλούϊα;

(*) Τὰ πρὸς τὸν ῥυθμὸν τοῦ παρόντος μελουργηθέντα ἐφεξῆς Τροπάρια φέρουσιν ἀκροστιχίδα· Ἀναστασίου τοῦ τα... κου.... ἐξ οὗ φανερὸν, ὅτι ἄλλα μὲν ἐλλείπουσιν, ἄλλα δὲ καὶ μετηλλάγησαν. Πληρέστερα ὅμως ἀπαντῶνται ἐν Χειρογράφῳ τοῦ ιϛ΄. αἰῶνος (ἐξ οὗ καὶ διωρθώθησαν, ὡς ἦν δυνατὸν), ὅπου ἀκροστιχίζουσιν· Ἀναστασίου τοῦ ταπεινοῦ νοσηέας· ἔστι δὲ ἡ λέξις αὕτη ἀνερμήνευτος ὅλως, καὶ διεφθαρμένη. Ἀλλ' ἐν ἀρχαιοτέροις Χειρογράφοις ἕτερά τινα, παρὰ ταῦτα, ἀπαντῶνται, φέροντα μὲν ἀκροστιχίδα· Τοῦ ταπεινοῦ Ῥωμανοῦ ψαλμός· γλαφυρώτατα δὲ καὶ κατανυκτικώτατα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Τί πικρὰ τῶν θνησκόντων τὰ ῥήματα, ἅπερ φθέγγονται ὅταν πορεύωνται; ἀδελφοί, ἀδελφῶν ἐξορίζομαι· φίλους πάντας ἀφῶ καὶ πορεύομαι· ποῦ οὖν ὑπάγω οὐκ ἐπίσταμαι, ἢ πῶς μέλλω εἶναι ἐκεῖ οὐ γινώσκω, εἰ μὴ μόνον Θεὸς ὁ καλέσας με. Ἀλλὰ μνείαν ποιεῖτέ μου μετ᾽ ᾠδῆς,

Ἀλληλούϊα.

Ἆρα ποῦ αἱ ψυχαὶ νῦν ὑπάγουσιν; ἆρα πῶς νῦν ἐκεῖ συνδιάγουσιν; ἐπεθύμουν μαθεῖν τὸ μυστήριον, ἀλλ᾽ οὐδεὶς ἱκανὸς διηγήσασθαι· ἆρα κἀκεῖνοι μνημονεύουσι τῶν ἰδίων αὐτῶν, ὡς ἡμεῖς ἐκείνων; ἢ ἐκεῖνοι λοιπὸν ἐπελάθοντο, τῶν θρηνούντων αὐτούς, καὶ ποιούντων ᾠδήν, τό,

Ἀλληλούϊα.

Συνοδεύσατε φίλοι τοῖς θνήσκουσι, καὶ σπουδῇ πρὸς τὸ μνῆμα προφθάσατε, καὶ ἐκεῖ νουνεχῶς ἀτενίσατε, καὶ τοὺς πόδας ὑμῶν εὐτρεπίσατε· πᾶσα ἡ νεότης ἐκεῖ διαῤῥεῖ· πᾶσα ἡλικία ἐκεῖ ἐμαράνθη· ἐκεῖ κόνις καὶ τέφρα καὶ σκώληκες· ἐκεῖ πᾶσα σιγή, καὶ οὐδεὶς ὁ λαλῶν τό,

Ἀλληλούϊα.

Ἰδοὺ νῦν θεωροῦμεν τὸν κείμενον, ἀλλ᾽ ἡμῖν τοῦ λοιποῦ μὴ προκείμενον· ἰδοὺ δὴ καὶ ἡ γλῶσσα ἡσύχασεν· ἰδοὺ δὴ καὶ τὰ χείλη ἐπαύσαντο· ἔῤῥωσθε φίλοι, τέκνα· σώζεσθε ἀδελφοί, σώζεσθε γνώριμοι· ἐγὼ γὰρ τὴν ὁδόν μου πορεύομαι· ἀλλὰ μνείαν ποιεῖτέ μου μετ᾽ ᾠδῆς,

Ἀλληλούϊα.

Οὐδεὶς γὰρ τῶν ἐκεῖθεν ἀνέζησεν, ἵνα εἴπῃ ἡμῖν πῶς διάγουσιν, οἱ ποτὲ ἀδελφοὶ καὶ τὰ ἔγγονα, τὰ ἐκεῖ προλαβόντα πρὸς Κύριον. Διὸ πολλάκις ἀεὶ λέγομεν· Ἆρα ἔνι ἐκεῖ ἰδέσθαι ἀλλήλους; ἆρα ἔνι ἐκεῖ ἰδέσθαι ἀδελφούς; ἆρα ἔνι ἐκεῖ ἐν τῷ ᾅδῃ ποιεῖν τό, Ἀλληλούϊα;

Ὑπάγομεν ὁδὸν τὴν αἰώνιον, πρὸς τὸν μόνον Θεὸν τὸν αἰώνιον, παριστάμενοι ὥς περ κατάδικοι, κάτω νεύοντες ὅλοι τὰ πρόσωπα. Ποῦ τὸ κάλλος τότε; ποῦ τὰ χρήματα; ποῦ ἡ δόξα τότε ἡ τοῦ βίου τούτου; Οὐδὲν τῶν ἐκεῖ βοηθήσει ἡμῖν, εἰμὴ μόνον τὸ λέγειν συχνῶς τὸν ψαλμόν,

Ἀλληλούϊα.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Τί ταράττῃ ἀκαίρως, ὦ ἄνθρωπε; μία ὥρα, καὶ πάντα παρέρχεται· οὐ γάρ ἐστιν εἰς ᾅδην μετάνοια, οὐδὲ ἔστιν ἐκεῖ λοιπὸν ἄνεσις· ἐκεῖ ὁ σκώληξ ὁ ἀκοίμητος, ἐκεῖ γῆ σκοτεινὴ καὶ ζοφερὰ ὅλη, ὅπου μέλλω ἐγὼ κατακρίνεσθαι· οὐ γὰρ ἔσπευσα ὅλως τοῦ λέγειν συχνῶς τὸν ψαλμὸν

'Αλληλούϊα.

Οὐδὲν οὕτως ἐστὶν εὐληθάργητον, ὡς βροτὸν ἐκ βροτοῦ χωριζόμενον· κἂν γὰρ χρόνον μικρὸν μνημονεύωμεν, ἀλλ' εὐθὺς τοῦ θανάτου λανθάνομεν, ὡς μὴ φανέντα τοῦτον ἔχοντες· καὶ γονεῖς γὰρ τέκνων πάντων ληθαργοῦσιν, ἃ ἐκ σπλάγχνων γεννήσαντες ἔθρεψαν, καὶ προέπεμψαν δάκρυσι μετ' ᾠδῆς τό, 'Αλληλούϊα.

Ὑπομνήσκω ὑμᾶς πρὸς τὸν Κύριον, ἀδελφοί μου καὶ τέκνα καὶ φίλοι μου, μή μου λάθεσθε ὅταν προσεύχησθε, δυσωπῶ ἱκετεύω καὶ δέομαι· μάθετε ταῦτα εἰς μνημόσυνον, καὶ θρηνήσατέ με νυκτὸς καὶ ἡμέρας· ὡς ὁ Ἰὼβ πρὸς τοὺς φίλους, Καθίσατε, πάλιν ἐρῶ, εἰπεῖν τὸν ψαλμὸν

'Αλληλούϊα.

Τὰ μὲν πάντα ἀφέντες ὑπάγομεν, καὶ γυμνοὶ καὶ στυγνοὶ παριστάμεθα· τὸ γὰρ κάλλος ὡς χλόη μαραίνεται, ἀλλὰ μόνον πλανώμεθα ἄνθρωποι· γυμνὸς ἐτέχθης ὦ ταλαίπωρε, γυμνὸς μέλλεις ἐκεῖ παραστῆναι πάντως· μὴ φαντάζου βροτὲ ἐν τῷ βίῳ τρυφᾶν, ἀλλὰ πάντοτε στέναζε μετὰ κλαυθμοῦ τό, 'Αλληλούϊα.

Ἂν ἠλέησας ἄνθρωπε ἄνθρωπον, αὐτὸς μέλλει ἐκεῖ ἐλεῆσαί σε· κἂν τινὶ ὀρφανῷ συνεπάθησας, αὐτὸς μέλλει ἐκεῖ συμπαθῆσαί σοι· ἂν ἐξ ἀνάγκης τινὰ ἔσωσας, τῆς ἀνάγκης αὐτὸς ἐκεῖ μέλλει ῥύσασθαι· ἂν γυμνὸν ἐν τῷ βίῳ ἐσκέπασας, αὐτὸς μέλλει ἐκεῖ σκεπάσαι σε, καὶ ὁ ψαλμός,

'Αλληλούϊα.

Πονηρὰ ἡ ὁδὸς ἣ ἀπέρχομαι, ἣν οὐδέποτε ὄντως ἐβάδισα· καὶ ἡ χώρα ἐκείνη ἀγνώριστος, ὅπου οὐδεὶς οὐδαμῶς οὐ γνωρίζει με· φρικτὸν ἰδέσθαι τοὺς ἀπάγοντας· φοβερώτερον δέ, τὸν καλέσαντά με, τὸν ζωῆς καὶ θανάτου δεσπόζοντα, καὶ καλοῦντα ἡμᾶς, ὅταν ἔλθῃ εἰπεῖν τό, 'Αλληλούϊα.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Εἰ γὰρ χώραν ἐκ χώρας βαδίζομεν, (*) ὁδηγούντων τινῶν προσδεόμεθα· τί ποιήσωμεν ὅταν ὑπάγωμεν, εἰς τὴν χώραν ὅπου οὐ γνωρίζομεν; πολλῶν σοι τότε ὁδηγῶν χρεία· πολλῶν σοι τῶν εὐχῶν τῶν συνοδευόντων, διασῶσαι ψυχὴν τὴν ταλαίπωρον, ἕως φθάσαι Χριστὸν, καὶ εἰπεῖν πρὸς αὐτὸν τὸ,

Ἀλληλούϊα.

Ὑλικοῖς οἱ προκείμενοι πάθεσιν, ἐκεῖ ἄνεσιν ὅλως οὐκ ἔχουσιν· ἐκεῖ μὲν φοβεροὶ οἱ κατήγοροι, ἐκεῖ δὲ καὶ αἱ βίβλοι ἀνοίγονται· ποῦ περιβλέψῃ τότε, ἄνθρωπε; ἢ τίς μέλλει ἐκεῖ βοηθῆσαί σοι τότε; εἰμὴ ζῶν ἀγαθόν τι ἐποίησας, καὶ καλὸν τοῖς πτωχοῖς βοήσας ᾠδὴν, τὸ,

Ἀλληλούϊα.

Καὶ νεότης καὶ κάλλος τοῦ σώματος, τῷ καιρῷ τοῦ θανάτου μαραίνονται· καὶ ἡ γλῶσσα δεινῶς τότε φλέγεται, καὶ ὁ λάρυγξ ψυγεὶς ἀναφλέγεται· ὀφθαλμῶν κάλλος τότε σβέννυται, κάλλος τὸ τοῦ προσώπου ἀλλοιοῦται ὅλον, κάλλος τὸ τοῦ τραχήλου συντρίβεται· καὶ λοιπὸν ἡσυχάζει τοῦ λέγειν ψαλμὸν, τὸ,

Ἀλληλούϊα.

Ἡσυχάσατε δὴ ἡσυχάσατε· τῷ κειμένῳ λοιπόν μοι ὀχλήσατε· ἠρεμήσατε θόρυβον λύσαντες, καὶ τὸ μέγα μυστήριον βλέψεται· φοβερὰ ἡ ὅρασις, σιωπήσατε, ἵνα μετ' εἰρήνης ἡ ψυχὴ ἀπέλθῃ· εἰς ἀγῶνα γὰρ μέγαν συνέχεται, καὶ ἐν φόβῳ πολλῷ δυσωπεῖ τὸν Θεὸν τῷ,

Ἀλληλούϊα.

Ἐγὼ εἶδον καὶ νήπιον θνήσκοντα, καὶ ζωὴν τὴν ἐμὴν ἐταλάνισα· ἐταράχθη γὰρ ὅλως καὶ ἔτρεμε, καὶ ὡς ἦλθεν ἡ ὥρα ἐβόησε· Πάτερ βοήθει μοι, μῆτερ σῶσόν με· καὶ οὐδεὶς ἱκανὸς τούτῳ βοηθῆσαι, εἰμὴ μόνον ὁρῶντες μαραίνονται, καὶ ἐν τάφῳ θρηνοῦντες, καὶ ποιοῦντες ᾠδὴν, τὸ,

Ἀλληλούϊα.

Ἆρα πόσοι ἐξαίφνης ἡρπάγησαν, ἐξ αὐτῶν τῶν παστῶν ἐν τῷ μνήματι, καὶ ἐζεύχθησαν ζεῦξιν αἰώνιον, καὶ ἐ-

(*) Οὕτω διωρθώσαμεν ἐκ τοῦ χειρογράφου, ἀντὶ τοῦ, Οἱ γὰρ .... βαδίσαντες.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ποίησαν θρῆνον ἀδάπανον, καὶ τοῦ νυμφῶνος οὐκ ἀνέστησαν; ἀλλ' ὁμοῦ ὁ γάμος, ὁμοῦ καὶ ὁ τάφος, ὁμοῦ ζεῦξις, ὁμοῦ καὶ ἀπόζευσις, ὁμοῦ γέλως καὶ θρῆνος, ὁμοῦ καὶ ὁ ψαλμός, Ἀλληλούϊα.

Συγκαιόμεθα μόνον ἀκούοντες, ὅτι ἐστὶν ἐκεῖ φῶς αἰώνιον· ὅτι ἐκεῖ ἡ πηγὴ τῆς ζωῆς ἡμῶν, καὶ ἐκεῖ ἡ τρυφὴ ἡ αἰώνιος· ἐκεῖ ὑπάρχει ὁ Παράδεισος, ὅπου πᾶσα ψυχὴ τῶν Δικαίων χαίρει· συνεισέλθωμεν πάντες ἐν Χριστῷ καὶ ἡμεῖς, ἵνα οὕτω βοήσωμεν Θεῷ τό, Ἀλληλούϊα.

Θεοτοκίον.

Παναγία Παρθένε ἀνύμφευτε, ἡ τεκοῦσα τὸ φῶς τὸ ἀπρόσιτον, δυσωπῶ ἱκετεύω καὶ δέομαι· Δυσωποῦσα μὴ παύσῃ τὸν Κύριον, ὑπὲρ τοῦ κοιμηθέντος δούλου σου ἄχραντε, ὅπως εὕρῃ ἐκεῖ ἄφεσιν πταισμάτων, ἐν ἡμέρᾳ τῆς κρίσεως πάναγνε· παῤῥησίαν γὰρ ἔχεις δυσωπεῖν σὸν Υἱὸν τῷ. Ἀλληλούϊα.

Καὶ πάλιν τὸ Κοντάκιον· Μετὰ τῶν Ἁγίων ἀνάπαυσον.

Εἶτα τὰ λοιπὰ τοῦ Κανόνος.

Ὠδὴ ζ'. Ἄφραστον θαῦμα.

Πυρὸς γεέννης, καὶ τῆς φρικτῆς ἀποφάσεως, ὡς οἰκτίρμων λύτρωσαι Χριστὲ, ὃν πίστει τανῦν προσελάβου δοῦλόν σου, καὶ μελῳδεῖν σοι παράσχου σῷ οἰκέτῃ· Λυτρωτὰ, ὁ Θεὸς εὐλογητὸς εἶ.

Εἰς γῆν πρᾳέων, καὶ Παραδείσου ἀπόλαυσιν, κοιμηθέντα δοῦλόν σου πιστῶς, ἐν τόπῳ σκηνῆς δόξης θαυμαστῆς ὁ Θεὸς, καταξιώσας, παράσχου μελῳδεῖν σοι· Λυτρωτὰ, ὁ Θεὸς εὐλογητὸς εἶ.

Πολλὴ ἡ κρίσις, ἀνάγκη δὲ ἀδιήγητος, ἐν γεέννῃ ἐστὶν ἀδελφοί· ἐκεῖ γὰρ ψυχαὶ σώματι μὲν φλέγονται, καὶ ἐν ὀδύνῃ δακρύουσι βοῶσαι· Λυτρωτὰ, ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Τοὺς ἀδιστάκτως, Θεοῦ Μητέρα ὑμνοῦντάς σε, Θεοτόκε ἄχραντε ἁγνὴ, καὶ ζῶντας ἀεὶ, φρούρει ταῖς πρεσβείαις σου, καὶ μεταστάντας ῥῦσαι πυρὸς βοῶντας· Λυτρωτὰ, ὁ Θεὸς εὐλογητὸς εἶ.


ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ η'. Ἔκστηθι φρίττων οὐρανέ.

Ὢ ποία ὥρα φοβερὰ, τοὺς ἁμαρτάνοντας ἀναμένει ἀδελφοί! ὢ ποῖος φόβος τότε λήψεται! πῦρ καταφάγεται, γεέννης τὸ ἄσβεστον· καὶ ἕρπων, καταπίεται ὄφις· διὸ Χριστὲ οἰκτίρμον, ῥῦσαι φρικτῆς γεέννης, ἐκείνης τῆς ἡμέρας.

Ὢ τῶν δικαίων τῆς χαρᾶς, ἧς ἀπολαύονται ὅταν ἔλθῃ ὁ Κριτής! ἐκεῖ γὰρ ὁ νυμφὼν ηὐτρέπισται, καὶ ὁ Παράδεισος, καὶ πᾶσα ἡ Χριστοῦ Βασιλεία· ἐν ᾗ τοὺς σοὺς οἰκέτας, εὐφραινομένους δεῖξον, μετὰ τῶν σῶν Ἁγίων, Χριστὲ εἰς τοὺς αἰῶνας.

Τίς ὑποστήσεται Χριστὲ, τῆς παρουσίας σου τὴν φρικώδη ἀπειλήν; ἐκεῖ ὁ οὐρανὸς εἱλίσσεται, ὥσπερ βιβλίον φρικτὸν, καὶ πίπτουσι τὰ ἄστρα, τῷ φόβῳ, κλονεῖται πᾶσα κτίσις, καὶ τὸ φῶς ἀλλοιοῦται· τότε οὖν φεῖσαι Λόγε, τοῦ ἔνθεν μεταστάντος. Θεοτοκίον.

Ὃν ἐσωμάτωσας Υἱὸν, ὑπερφυῶς Ἁγνὴ, οὗτος ἐστὶν ὁ Κριτὴς, καὶ ζώντων καὶ νεκρῶν, καὶ κρίνων πᾶσαν τὴν γῆν· καὶ σώζει τῶν βασάνων οὓς θέλει, καὶ μάλιστα τοὺς πόθῳ, προσκυνοῦντας ἐν τύποις, αὐτὸν, καὶ σὲ ὑμνοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Μὴ ἐποδύρου μου Μῆτερ.

Μὴ ἐποδύρεσθε πάντες, οἱ ἐν πίστει θανέντες, ὅτι Χριστὸς ὑπὲρ ἡμῶν ὑπέμεινε σαρκὶ, καὶ σταυρὸν καὶ ταφὴν, ἀθανασίας υἱοὺς ἀπειργάσατο πάντας, βοῶντας πρὸς αὐτόν· Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου.

Ὡς ἐλπίδι θανέντες, ἀναστάσεως θείας, τὴν ἐν Χριστῷ πάντων ζωὴν εὑρήκαμεν πιστοί· ἀλλὰ κρίσις πολλὴ ἐνταῦθα ἀδελφοὶ, καὶ οὐδεὶς ἐν ᾅδῃ λυτροῦται ἑαυτόν. Ἀλλ' ὑμεῖς ὑπὲρ πάντων Χριστῷ δεηθῆτε.

Ἐν τῇ ἀγήρῳ σου δόξῃ, καὶ τρυφῇ Παραδείσου, τὸν ἐξ ἡμῶν μεταστάντα νῦν τάξον Ἀγαθὲ, ὡς ὀρθοδοξίᾳ, καὶ μετανοίᾳ σοι προσδραμόντα ἐν πίστει· καὶ ποίησον αὐτὸν, ἐκλεκτὸν παραστάτην τῆς βασιλείας σου. Θεοτοκίον.

Σὲ τῆς ζωῆς ὡς Μητέρα, Θεοτόκε Παρθένε, ὑπερφυῶς καὶ εὐσεβῶς ὑμνοῦμεν οἱ πιστοί· διὰ σοῦ γὰρ ἡμεῖς οἱ τε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

θνηκότες τοπρὶν, ἀθανατισθέντες εὑρήκαμεν ζωὴν, καὶ ἰδοὺ σοι τὸν ὕμνον ἀποπληρούμεθα. Ὁ Εἱρμός.

» Μὴ ἐποδύρου μου Μῆτερ, καθορῶσα ἐν τάφῳ, ὃν ἐν γα-
» στρὶ ἄνευ σπορᾶς συνέλαβες Υἱόν· ἀναστήσομαι γὰρ
» καὶ δοξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ ἀπαύστως ὡς Θεὸς,
» τοὺς ἐν πίστει καὶ πόθῳ σὲ μεγαλύνοντας.

Ὁ Διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, κ.τ.λ.

Ὁ Ἱερεύς· Ὁ Θεὸς τῶν πνευμάτων.

Εἶτα τὸ Ἐξαποστειλάριον.

Νῦν ἀνεπαυσάμην, καὶ εὗρον ἄνεσιν πολλὴν, ὅτι μετέστην ἐκ φθορᾶς, καὶ μετετέθην πρὸς ζωήν. Κύριε δόξα σοι.

Στίχ. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ.

Στίχ. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ.

Στίχ. Καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Εἰς καθέκαστον δὲ Στίχον λέγεται τὸ Ἐξαποστειλάριον.

Εἶτα τὸ Θεοτοκίον.

Νῦν ἐξελεξάμην, τὴν Θεομήτορα Κόρην, ὅτι ἐτέχθη ἐξ αὐτῆς, Χριστὸς ὁ πάντων λυτρωτής. Κύριε δόξα σοι.

Εἰς δὲ τοὺς Αἴνους ψάλλομεν τὰ παρόντα Στίχηρά.

Ἦχος πλ. β'.

Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον.

Θεοποιηθεὶς ἐν τῇ μεταστάσει, τῷ ζωοποιῷ σου νῦν μυστηρίῳ, πρὸς σὲ μεταβέβηκεν, ὁ θεῖος λειτουργός σου· δέξαι ἐν ταῖς χερσί σου, τὴν ψυχὴν αὐτοῦ Σῶτερ· τάξον αὐτὸν ἐν ταῖς αὐλαῖς σου, καὶ Ἀγγέλων χορείαις, καὶ ἀνάπαυσον ὃν προσελαβου, τῇ προςάξει σου Κύριε, διὰ τὸ μέγα σου ἔλεος. Δίς.

Ξένον τὸ μυστήριον τοῦ θανάτου· ἐπεισέρχεται γὰρ πᾶσιν ἐν ἀωρίᾳ· ἡ φύσις λυμαίνεται, βίᾳ πρεσβύτας αἴρει, ἡγουμένους, γραμματεῖς, διδασκάλους, τοὺς μάταια φρονοῦντας· φθείρει Ποιμένας, Ἐπισκόπους, καὶ πᾶσαν βροτῶν οὐσίαν· ἀλλὰ κράξωμεν μετὰ δακρύων· Ὃν προσελάβου τῇ προστάξει σου Κύριε, μετὰ Ἁγίων ἀνάπαυσον.

Πεπολιτευμένος ἐν εὐσεβείᾳ, καὶ κεκοσμημένος ὁ Ἱερεύς σου, ὁ θύτης καὶ πρόπολος τῶν θείων Μυστηρίων, θεία

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

προστάξει σου μετῆλθε, τῶν τοῦ βίου θορύβων· ὄν περ ὡς Ἱερέα Σῶτερ προσδεξάμενος σῶσον, καὶ ἀνάπαυσον μετὰ Δικαίων, ὃν προσελάβου τῇ προστάξει σου Κύριε, διὰ τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε· αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶθ' οὕτω, Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεός. Δόξα σοι τῷ δείξαντι. Δόξα ἐν ὑψίστοις Θεῷ· καὶ μετὰ τό, Καταξίωσον Κύριε, τὰ παρόντα

Στιχηρὰ Ἰδιόμελα τοῦ Δαμασκηνοῦ (*).

Ἦχος α΄.

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος; πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα· μία ῥοπή, καὶ ταῦτα πάντα θάνατος διαδέχεται. Ἀλλ' ἐν τῷ φωτὶ Χριστὲ τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ὃν ἐξελέξω ἀνάπαυσον ὡς φιλάνθρωπος.

Στίχ. Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.

Ἔργῳ Σωτήρ μου δεικνύεις, ὅτι σὺ ἡ πάντων ἀνάστασις· λόγῳ Λόγε Λάζαρον ἐκ νεκρῶν ἐξανέστησας· τότε μοχλοὶ συνετρίβησαν, πύλαι δὲ ᾅδου συνεταράχθησαν· τότε ὕπνος ὁ τῶν ἀνθρώπων θάνατος ἀπεδείκνυτο. Ἀλλ' ὁ εἰς τὸ σῶσαί σου τὸ πλαστούργημα, καὶ οὐκ εἰς τὸ κρῖναι παραγενόμενος, ὃν ἐξελέξω ἀνάπαυσον ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Πάντων προστάτις θερμή, ἀνεδείχθης Θεογεννήτρια· πάντων σκέπη, κράτος τε, ἐκ Θεοῦ τοῖς προσφύγοις σου· τοῖς ἐν ἀνάγκαις ἐπίκουρος, τοῖς αἰχμαλώτοις ταχεῖα λύτρωσις· σὲ γὰρ Χριστὸς κατὰ βαρβάρων, ἔθετο ἀμυντήριον, καὶ προα-

(*) Τὰ παρόντα Στιχηρὰ ἐν τοῖς Χειρογράφοις εἰσὶ πλειότερα τὸν ἀριθμόν· καὶ τὰ μὲν πρὸς τὸν α΄. Ἦχον ἀποτελοῦσιν ἀκροστιχίδα, Πέντε· τὰ δὲ πρὸς τὸν β΄. Ὀδυρμός· τὰ δὲ πρὸς τὸν γ΄. Παρακαλῶ· τὰ δὲ πρὸς τὸν δ΄. Πενθῶ· τὰ δὲ πρὸς τὸν πλ. α΄. Οἶκτος· τὰ δὲ πρὸς τὸν πλ. β΄. Ἄλγος· τὰ δὲ πρὸς τὸν βαρύν, Κλαυθμός· τὰ δὲ πρὸς πλ. δ΄. Θρηνῶ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σπιςὴν, καὶ τεῖχος ἀπόρθητον, ὡς τῶν ἀσθενῶν ἰσχὺν ἀπροσμάχητον, καὶ τῆς εἰρήνης βραβευτήριον τῶν ψυχῶν ἡμῶν.

Στιχηρὰ Ἰδιόμελα, Ἦχος β'.

Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ χωριζομένη ἐκ τοῦ σώματος! οἴμοι, πόσα δακρύει τότε, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν! πρὸς τοὺς Ἀγγέλους τὰ ὄμματα ῥέπουσα, ἄπρακτα καθικετεύει· πρὸς τὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα, οὐκ ἔχει τὸν βοηθοῦντα. Διὸ ἀγαπητοί μου ἀδελφοὶ, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τῷ μεταστάντι τὴν ἀνάπαυσιν παρὰ Χριστῷ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Στίχ. Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα.

Δεῦτε ἴδωμεν πάντες θαῦμα ὑπὲρ νοῦν· ὁ χθὲς συμψάλλων ἡμῖν, νῦν κεῖται νεκρός· δεῦτε γνῶμεν τί μετ' ὀλίγον, οἱ ταραττόμενοι τελύμεθα; πῶς οἱ τὰ μύρα χριόμενοι, δύσπνοον κεῖνται ὀσφράδιον; πῶς οἱ χρυσίῳ κοσμύμενοι, ἄκοσμοι κεῖνται καὶ ἄμορφοι; Διὸ ἀγαπητοί μου ἀδελφοὶ, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τῷ μεταςάντι τὴν ἀνάπαυσιν, παρὰ Χριστοῦ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Στίχ. Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων.

Σώζου μάταιε βίε, σώζεσθε πάντες φίλοι, συγγενεῖς τε καὶ τέκνα· εἰς ὁδὸν γὰρ ὑπάγω, ἣν οὐδέποτε διώδευσα. Ἀλλὰ δεῦτε μνησθέντες μου τῆς πρὸς ὑμᾶς ἀγάπης, συνακολουθήσατε, καὶ τάφῳ παράδοτε τὸν πηλόν μου τοῦτον· καὶ τὸν ἔχοντα κρῖναι τὴν ταπεινήν μου ψυχὴν, σὺν δάκρυσι Χριστὸν ἱκετεύσατε, ὅπως με πυρὸς ἐξέληται τοῦ ἀσβέστου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἀδιόδευτε πύλη, μυστικῶς ἐσφραγισμένη, εὐλογημένη Θεοτόκε Παρθένε, δέξαι τὰς δεήσεις ἡμῶν, καὶ προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Στιχηρὰ Ἰδιόμελα, Ἦχος γ'.

Ἰδοὺ κεῖμαι ἀγαπητοί μοι ἀδελφοὶ, ἐν μέσῳ πάντων σιγηρὸς καὶ ἄφωνος· τὸ στόμα ἤργησεν, ἡ γλῶσσα πέπαυται, καὶ τὰ χείλη κεκώλυνται· αἱ χεῖρες συνδέδενται, καὶ οἱ πόδες συμπλέκονται· ἡ μορφὴ ἠλλοίωται, οἱ ὀφθαλμοὶ ἐσβέσθησαν, καὶ οὐ κατανοοῦσι τοὺς θρηνοῦντας· ἡ ἀκοὴ οὐ παρα-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

δέχεται, τῶν λυπουμένων τὸν ὀλολυγμόν· ἡ ῥὶς οὐκ ὀσφραίνεται, τοῦ θυμιάματος τὴν εὐωδίαν· ἡ δὲ ἀληθινὴ ἀγάπη, οὐδέποτε νεκροῦται· διὸ ἱκετεύω πάντας τοὺς γνωστοὺς, καὶ προσφιλεῖς μου· Μνείαν ποιεῖτέ μου ἐν ἡμέρᾳ κρίσεως, ἵνα εὕρω ἔλεος, ἐπὶ τοῦ βήματος ἐκείνου τοῦ φοβεροῦ.

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη.

Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισται· διὸ Χριστῷ τῷ ἀθανάτῳ βοήσωμεν· Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία (*).

Στίχ. Ἡ βοήθειά μου παρὰ Κυρίου.

Ἄνθρωποι, τί μάτην ταραττόμεθα; ὁ δρόμος ταχὺς καὶ βραχύς ἐστιν, ὃν τρέχομεν· καπνὸς ὑπάρχει ὁ βίος· ἀτμὶς καὶ τέφρα καὶ κόνις· πρὸς ὀλίγον φαινόμενος, καὶ ταχέως ἀχρειούμενος· διὸ Χριστῷ τῷ ἀθανάτῳ βοήσωμεν· Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Λιμένα σε σωτηρίας ἔχομεν, Θεοτόκε Παρθένε, οἱ ἐν τῷ πελάγει τοῦ βίου χειμαζόμενοι· διὸ πρέσβευε τῷ ἐκ σοῦ ἀσπόρως σαρκωθέντι Θεῷ, καὶ ἀφράστως ἐνανθρωπήσαντι, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στιχηρὰ Ἰδιόμελα, Ἦχος δ'.

Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια; ποῦ ἐστιν ἡ τῶν προσκαίρων φαντασία; ποῦ ἐστιν ὁ χρυσὸς καὶ ὁ ἄργυρος; ποῦ ἐστι τῶν οἰκετῶν, ἡ πλημμύρα καὶ ὁ θόρυβος; πάντα κόνις, πάντα τέφρα, πάντα σκιά. Ἀλλὰ δεῦτε βοήσωμεν, τῷ ἀθανάτῳ Βασιλεῖ· Κύριε τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον, τὸν μεταστάντα ἐξ ἡμῶν, ἀναπαύων αὐτὸν ἐν τῇ ἀγήρῳ μακαριότητι.

(*) Τὸ Χειρόγραφον ἐνταῦθα προστίθησι καθ' ἕκαστον Τροπάριον καὶ τό, ἐν σοί, δοξάζειν σου τὴν Θεότητα.



Στίχ. Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι

Ἐπῆλθεν ὁ θάνατος ὡς ἅρπαξ, ἐπῆλθεν ὁ φθορεὺς, καὶ καθεῖλέ με· ἐπῆλθε, καὶ οὐκ ὄντα με ἔδειξεν· ἐπῆλθε, καὶ γῆ δὲ ὢν, ὡς οὐκ ὢν κατάκειμαι· ὄντως ὄναρ, ὄντως φάσμα ἐσμὲν οἱ βροτοί. Ἀλλὰ δεῦτε βοήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ· Κύριε τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον, τὸν μεταστάντα ἐξ ἡμῶν, ἀναπαύων αὐτὸν ἐν τῇ ἀγήρῳ ζωῇ.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στιχηρὰ Ἰδιόμελα, Ἦχος πλ. α'.

Ἐμνήσθην τοῦ Προφήτου βοῶντος· Ἐγώ εἰμι γῆ καὶ σποδός· καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι, καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα, καὶ εἶπον· Ἄρα τίς ἐστι βασιλεὺς; ἢ στρατιώτης; ἢ πλούσιος; ἢ πένης; ἢ δίκαιος; ἢ ἁμαρτωλός; Ἀλλ' ἀνάπαυσον Κύριε, μετὰ Δικαίων τὸν δοῦλόν σου.

Στίχ. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου.

Σὺ εἶπας Χριστέ· Ὁ πιστεύων εἰς ἐμὲ, θάνατον οὐκ ὄψεται· καὶ ὡς ἐγὼ φῶς ἐκ φωτὸς, οὕτω λάμψουσι σὺν ἐμοὶ οἱ ζητοῦντές με, καὶ μετ' ἐμοῦ συνόντες, ἐπαπολαύσουσι δόξης τῆς θεϊκῆς· ἧς καὶ τὸν δοῦλόν σου ἀξίωσον ὑπεράγαθε, τὸν ἐκδημήσαντα πρὸς σὲ τὸν φιλάνθρωπον, συγχώρησιν παρέχων, τοῖς αὐτοῦ πταίσμασι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σὲ δυσωποῦμεν ὡς Θεοῦ Μητέρα· Εὐλογημένη, πρέσβευε τοῦ σωθῆναι ἡμᾶς.

Στιχηρὰ Ἰδιόμελα, Ἦχος πλ. β'.

Ἀρχή μοι καὶ ὑπόστασις, τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε, καὶ ὁρατῆς με ζῶον συμπῆξαι φύσεως, γῆθέν μου τὸ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχὴν τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει. Διὸ Χριστὲ τὸν δοῦλόν σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Ἐτίμησας εἰκόνι σου, τὸ τῶν χειρῶν σου Σῶτερ πλαστούργημα, ζωγραφήσας ἐν ὑλικῇ μορφῇ, τῆς νοερᾶς οὐσίας

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σου τὸ ὁμοίωμα· ἧς καὶ κοινωνόν με κατέστησας, θέμενος τῶν ἐπὶ γῆς κατάρχειν με κτισμάτων, τῷ αὐτεξουσίῳ νόμῳ. Διὸ Σωτὴρ τὸν δοῦλόν σου ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνή, μόνη εὐλογημένη· διὸ ἀπαύστως σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

Στιχηρὰ Ἰδιόμελα, Ἦχος βαρύς.

Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον, ἐν Παραδείσῳ τέθεικας, κατάρχειν σου τῶν κτισμάτων· φθόνῳ δὲ διαβόλου ἀπατηθείς, τῆς βρώσεως μετέσχε, τῶν ἐντολῶν σου παραβάτης γεγονώς. Διὸ πάλιν εἰς γῆν ἐξ ἧς ἐλήφθη, κατεδίκασας ἐπιστρέφειν Κύριε, καὶ αἰτεῖσθαι τὴν ἀνάπαυσιν.

Στίχ. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε.

Λύει ἅπασαν λοιπὸν ὁ θάνατος, μεταδοθεὶς ἐκ τοῦ Ἀδάμ, τὴν φύσιν ἡμῶν· καὶ γὰρ φθαρτοὶ γεγόναμεν, τῆς βρώσεως μετασχόντες· γνῶμεν οὖν πάλιν, ὡς ἐκ τῆς γῆς πλασθέντες, κόνις τοίνυν καὶ γενησόμεθα. Διὸ μετὰ φωνῆς αἰνέσεως, τὸν Κτίστην δυσωπήσωμεν, τῷ μεταστάντι ἄνεσιν δωρήσασθαι, καὶ τὸ πλούσιον ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σὲ Θεοτόκε τεῖχος ἄρρηκτον, καὶ ἐλπίδα οἱ πιστοὶ κεκτήμεθα· διὸ μὴ παύσῃ Δέσποινα, πρεσβεύειν ὑπὲρ τῶν πίστει κοιμηθέντων σου δούλων, ἄνεσιν αὐτοῖς γενέσθαι ἐν τῇ κρίσει, ὅταν καθίσῃ ὁ Υἱός σου καὶ Θεός· τὴν φύσιν γὰρ αὐτὴ ἐπίστασαι, ὡς πᾶσιν ἁμαρτήμασιν, ὅτι νῦν συμπέφυρται· ἵνα σὲ πάντες μακαρίζωμεν.

Στιχηρὰ Ἰδιόμελα, Ἦχος πλ. δ'.

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην, τὴν κατ' εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος· ὢ τοῦ θαύματος! τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ, καὶ συνεζεύχθημεν τῷ θανάτῳ; ὄν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τῷ μεταστάντι τὴν ἀνάπαυσιν.

Στίχ. Κύριε τῶν δυνάμεων, ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μȣ.

Ῥευστοὶ πῶς γεγόναμεν, ἄφθαρτον εἰκόνα φορέσαντες, καὶ ἐμφυσήματι Θείῳ λαβόντες ψυχὴν ἀθάνατον, καὶ μικτὸν γεγονότες, ὡς γέγραπται; πῶς καὶ παρέβημεν Θεȣ̃ τὰς προστάξεις; ὢ τοῦ θαύματος! πῶς τῆς ζωῆς τὴν βρῶσιν ἀφέντες, βρῶσιν ἐφάγομεν, τὴν πρόξενον θανάτου καὶ πικράν; πῶς ἠπατήθημεν, πεισθέντες οἰκτρᾶς συμβουλῆς; Διὸ ἐκβοήσωμεν· Ὃν προσελάβου, ἐν ταῖς αὐλαῖς σου Σῶτερ σύνταξον.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἡ σκέπη σου Θεοτόκε Παρθένε, ἰατρεῖον ὑπάρχει πνευματικόν· ἐν αὐτῇ γὰρ καταφεύγοντες, ψυχικῶν νοσημάτων λυτρούμεθα.

Ἕτερα Στιχηρὰ Ἰδιόμελα, Ἦχος ὁ αὐτός.

Ἀμέτρητος ὑπάρχει, τοῖς ἀσώτως βιȣ̃σιν ἡ κόλασις, βρυγμὸς ὀδόντων, καὶ κλαυθμὸς ἀπαράκλητος, γνόφος ἀφεγγής, καὶ σκότος ἐξώτερον, καὶ σκώληξ ἀκοίμητος, δάκρυα ἀνενέργητα, καὶ κριτὴς ἀσυμπάθητος. Διὰ τοῦτο πρὸ τέλους βοήσωμεν, λέγοντες· Δέσποτα Χριστὲ, ὃν ἐξελέξω, μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον.

Ἐβρόντησεν ἡ σάλπιγξ· ὡς ἐξ ὕπνου νεκροὶ ἀναστήσονται· ζωὴν ποθήσας τὴν οὐράνιον Δέσποτα, ἤλπισεν εἰς σὲ τὸν Κτίστην ὁ δοῦλός σου φιλάνθρωπε· θνητὸς γὰρ ὁ ἀθάνατος, δι' ἡμᾶς ἐχρημάτισας. Διὰ τοῦτο θαῤῥοῦντες, προσπίπτομεν λέγοντες· Δέξαι συμπαθῶς ὃν ἐξελέξω, καὶ σὺν τοῖς ἐκλεκτοῖς σου συναρίθμησον.

Ἰδοὺ καὶ τὰ στοιχεῖα, οὐρανὸς καὶ ἡ γῆ ἀλλαγήσονται, καὶ πᾶσα κτίσις ἀμφιάσεται τὰ ἄφθαρτα· λυθήσεται φθορὰ, καὶ σκότος φευχθήσεται ἐν τῇ παρουσίᾳ σου· μέλλεις γὰρ πάλιν ἔρχεσθαι μετὰ δόξης, ὡς γέγραπται, ἀποδοῦναι ἑκάστῳ καθὼς διεπράξατο. Ὅθεν οὖν Χριστὲ, ὃν ἐξελέξω, μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον. Θεοτοκίον.

Φανεὶς ἐκ τῆς Παρθένου, παρθενίαν Σωτήρ μου ἐδόξασας· χοροὶ δὲ παρθένων τὰς λαμπάδας ἀνάψαντες, ψάλλου-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σιν εἰς σέ, ποθοῦντες τὴν δόξαν σου· ὅθεν καὶ τὸν δοῦλόν σου, ὥσπερ τὰς φρονίμους, εἰς τὸν θεῖον νυμφῶνά σου, ταῖς πρεσβείαις εἰσάγαγε, τῆς σὲ ἀσπόρως τεκούσης Κόρης ἁγνῆς, εὐλογημένης Μητρός σου, καὶ πάντων τῶν Ἁγίων σου, φιλάνθρωπε.

Δόξα, Ἦχος πλ. β'.

Δεῦτε καὶ θεάσασθε ἅπαντες, ξένον καὶ φρικτὸν θέαμα, τοῖς πᾶσι γνωριζόμενον, τὴν εἰκόνα τὴν νῦν ὁρωμένην, καὶ μηκέτι φρονεῖτε τὰ πρόσκαιρα. Σήμερον ψυχὴ χωρίζεται τοῦ σώματος, πρὸς αἰώνιον κόσμον μεθισταμένη· εἰς ὁδὸν γὰρ ὑπάγει, ἣν οὐδέποτε διώδευσε, καὶ εἰς Κριτὴν ἀπροσωπόληπτον, ὅπου παρίστανται Ἀγγέλων τάγματα· φοβερὸν γὰρ ἀδελφοί μου τὸ κριτήριον ἐκεῖνο· ὅπου πάντες γυμνοὶ παραστησόμεθα, οἱ μὲν αἰσχυνόμενοι, οἱ δὲ στεφανούμενοι. Διὸ βοήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ· Ὅταν μέλλῃς ἐτάζειν τὰ κρυπτὰ τῶν ἀνθρώπων, φεῖσαι τοῦ δούλου σου Δέσποτα, ὃν προσελάβου, Κύριε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον. Πρεσβείαις τῆς Τεκούσης σε.

Εἶτα· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι· καὶ μετὰ τὸ Τρισάγιον, τὸ παρὸν Τροπάριον, Ἦχος πλ. α'.

Ἀνάπαυσον Σωτὴρ ἡμῶν, μετὰ Δικαίων τὸν δοῦλόν σου, καὶ τοῦτον κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα αὐτοῦ τὰ ἑκούσια καὶ τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ, καὶ γνώσει, φιλάνθρωπε.

Δόξα. Καὶ πάντα τὰ ἐν ἀγνοίᾳ, καὶ γνώσει, φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτός, Ἀγγελικοῖς σε ὕμνοις τιμῶντες, εὐσεβῶς μεγαλύνομεν.

Εἶτα· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κ.τ.λ.

Καὶ ἡ Εὐχή· Ὁ Θεὸς τῶν πνευμάτων.

Οὗ Ἀσπασμός· οὗ γινομένου, ψάλλομεν τὰ προσόμοια, Ἦχος β'.

Δεῦτε τελευταῖον ἀσπασμόν.

Καὶ τὰ λοιπά, ὡς προεγράφησαν ἐν τῇ Ἀκολουθίᾳ τῶν Μοναχῶν σελ. 423.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Ὁρῶντές με ἄφωνον καὶ ἄπνουν προκείμενον, κλαύσατε πάντες ἐπ' ἐμοί, ἀδελφοὶ καὶ φίλοι, συγγενεῖς καὶ γνωστοί· τὴν γὰρ χθὲς ἡμέραν μεθ' ὑμῶν ἐλάλουν, καὶ ἄφνω ἐπῆλθέ μοι ἡ φοβερὰ ὥρα τοῦ θανάτου· ἀλλὰ δεῦτε πάντες οἱ ποθούμενοί με, καὶ ἀσπάσασθέ με τὸν τελευταῖον ἀσπασμόν· οὐκέτι γὰρ μεθ' ὑμῶν πορεύσομαι, ἢ συλλαλήσω τοῦ λοιποῦ· εἰς Κριτὴν γὰρ ἀπέρχομαι, ἔνθα προσωποληψία οὐκ ἔςι· δοῦλος γὰρ καὶ δεσπότης ὁμοῦ παρίστανται, βασιλεὺς καὶ ςρατιώτης, πλούσιος καὶ πένης, ἐν ἀξιώματι ἴσῳ· ἕκαστος γὰρ ἐκ τῶν ἰδίων ἔργων, ἢ δοξασθήσεται, ἢ αἰσχυνθήσεται. Ἀλλ' αἰτῶ πάντας καὶ δυσωπῶ· Ἀδιαλείπτως ὑπὲρ ἐμοῦ προσεύξασθε Χριστῷ τῷ Θεῷ, ἵνα μὴ καταταγῶ διὰ τὰς ἁμαρτίας μου εἰς τὸν τόπον τῆς βασάνου, ἀλλ' ἵνα με κατατάξῃ ὅπου τὸ φῶς τῆς ζωῆς.

Ἀπερχόμενοι δὲ εἰς τὸν τάφον, ψάλλουσιν οἱ Ἱερεῖς τοὺς παρόντας Εἱρμοὺς ἐκ τοῦ Μεγάλου Κανόνος.

Ἦχος πλ. β'.

» Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός
» μου Θεός, καὶ δοξάσω αὐτόν· Θεὸς τοῦ Πατρός μου,
» καὶ ὑψώσω αὐτόν· ἐνδόξως γὰρ δεδόξασται.

» Πρόσεχε, οὐρανὲ καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστόν, τὸν
» ἐκ Παρθένου σαρκὶ ἐπιδημήσαντα.

» Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι Θεός, ὁ μάννα ἐπομβρήσας, καὶ
» τὸ ὕδωρ ἐκ πέτρας πηγάσας πάλαι, ἐν ἐρήμῳ τῷ λαῷ
» μου, τῇ μόνῃ δεξιᾷ, καὶ τῇ ἰσχύϊ τῇ ἐμῇ.

» Ἐπὶ τὴν ἀσάλευτον Χριστὲ πέτραν τῶν ἐντολῶν σου, τὴν
» Ἐκκλησίαν σου στερέωσον.

» Στερέωσον Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου, σα-
» λευθεῖσαν τὴν καρδίαν μου, ὅτι μόνος ἅγιος, ὑπάρχεις
» καὶ Κύριος.

» Ἀκήκοεν ὁ Προφήτης, τὴν ἔλευσίν σου Κύριε, καὶ ἐφοβή-
» θη· ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι, καὶ ἀνθρώ-
» ποις δείκνυσθαι, καὶ ἔλεγεν· Ἀκήκοα τὴν ἀκοήν σου καὶ
» ἐφοβήθην· δόξα τῇ δυνάμει σου Κύριε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

» Ἐκ νυκτὸς ὀρθρίζοντα φιλάνθρωπε, φώτισον δέομαι, καὶ
» ὁδήγησον κἀμὲ ἐν τοῖς προστάγμασί σου, καὶ δίδα-
» ξόν με Σωτὴρ, ποιεῖν τὸ θέλημά σου.
» Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου πρὸς τὸν οἰκτίρμονα Θεόν·
» καὶ ἐπήκουσέ μου ἐξ ᾅδου κατωτάτου, καὶ ἀνήγαγεν
» ἐκ φθορᾶς τὴν ζωήν μου.
» Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου, οὐδὲ
» συνετηρήσαμεν, ὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν·
» ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός.
» Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερου-
» βὶμ, καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ καὶ κτίσις, ὑμνεῖτε
» εὐλογεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.
» Ἀσπόρυ συλλήψεως, ὁ τόκος ἀνερμήνευτος, Μητρὸς ἀνάν-
» δρου, ἄφθορος ἡ κύησις· Θεοῦ γὰρ ἡ γέννησις, καινο-
» ποιεῖ τὰς φύσεις· διό σε πᾶσαι αἱ γενεαὶ, ὡς θεόνυμφον
» Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Εἶτα τὸ Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐςι.

Καὶ τὰ Τροπάρια·

Μετὰ πνευμάτων Δικαίων τετελειωμένων.

Εἰς τὴν κατάπαυσίν σου Κύριε.

Δόξα. Σὺ εἶ ὁ Θεὸς ὁ καταβάς.

Καὶ νῦν. Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος.

Ὁ Διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κ.τ.λ.

Ὁ Ἱερεύς· Ὁ Θεὸς τῶν πνευμάτων.

Καὶ μετὰ τὸ κηδεῦσαι τὸ λείψανον, γίνεται τελεία Ἀπόλυσις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΝΕΚΡΩΣΙΜΟΣ ΕΙΣ ΚΟΣΜΙΚΟΥΣ ΑΝΔΡΑΣ. (*)

Μετὰ τὸν Εὐλογητὸν, Τρισάγιον, κτλ. καὶ λέγομεν τὸν Ψαλμὸν, Ὁ κατοικῶν ἐν βοηθείᾳ· τὸ, Ἀλληλούϊα· εἶτα τὸν παρόντα Κανόνα.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Τῶν ζώντων ὑπάρχων Χριστὲ ζωὴ, καὶ τῶν τεθνεώτων, ἐξανάστασις ἀληθὴς, τὸν πίστει θανόντα ἐπ' ἐλπίδι, τῆς αἰωνίου ζωῆς καταξίωσον.

Ὁ φύσει ὑπάρχων τῇ θεϊκῇ, ἀθάνατος μόνος, τῶν θνητῶν δὲ τὸ ἀσθενὲς, γινώσκων, τὸν δοῦλόν σου θανόντα, ἀθανασίας μελλούσης ἀξίωσον.

Τῆς ἐν Παραδείσῳ θείας τρυφῆς, καὶ τῆς μακαρίας, τῶν Ἁγίων διαγωγῆς, ἀνάδειξον μέτοχον Οἰκτίρμον, ὃν ἐξ ἡμῶν προσελάβου οἰκέτην σου.

(*) Τὴν παροῦσαν νεκρώσιμον Ἀκολουθίαν εἰς Κοσμικοὺς, ἐν ᾗ, κατὰ παλαιὰν παράδοσιν τῶν θείων τῆς Ἐκκλησίας Πατέρων, ἐπιχέομεν ἔλαιον τοῖς τελευτήσασιν, (ὅρ. Χρυσόστομ. Λόγ. Περὶ τοῦ μὴ πικρῶς κλαίειν τοὺς τελευτῶντας, σελ. 944) οὐκ ἔχει τὸ Χειρόγραφον, ἀλλὰ μόνον Ἀκολουθίαν τοῦ Εὐχελαίου, γινομένην εἰς Κεκοιμημένους ὑπὸ ἑπτὰ Ἱερέων, ἧς ὁ ἄνωθεν Κανὼν ἀπαρτίζει μέρος. Περὶ δὲ τῆς τοιαύτης τοῦ Εὐχελαίου Ἀκολουθίας, ἀσυνήθους σχεδὸν οὔσης καὶ ἐν τοῖς χρόνοις τοῦ Θεσσαλονίκης Συμεὼν, γράφει ὁ μακάριος οὗτος Πατήρ· « Καὶ τοῖς τεθνεῶσιν ἐν Χριστῷ ἀδελφοῖς ἐπιχέομεν ἔλαιον· πλὴν οὐ τὸ διδόμενον ἅγιον Ἔλαιον τοῖς ζῶσιν, ὅ φησιν ὁ Θεάδελφος, ἀλλ' ἐκ τῆς Λυχνίας τοῦ » Ναοῦ, καὶ μᾶλλον τοῦ Θυσιαστηρίου... καὶ ἐν τοῖς κοσμικοῖς δὲ κατὰ Χριστὸν » ἀδελφοῖς τελευτήσασι χοῦν τοῦ θυμιατηρίου σταυροειδῶς ἐπιβάλλομεν...· » Ἐνταῦθα καί τινες τελετὴν ποιοῦσιν Ἐλαίου ὑπὲρ τῶν ἐν Χριστῷ κοιμηθέν» των· ἣν καὶ τῶν Ἀρχιερέων τινὲς μὲν κωλύουσι γίνεσθαι, ὡς μὴ παραδεδομένην » οὖσαν ἐν τῇ Γραφῇ· τινὲς δὲ οὔ, ὡς ὑπὲρ ψυχῶν γινομένην ». Καὶ κατωτέρω· « Πλὴν οὐκ ἔλαιον τοῦτο τὸ παραδεδομένον ὑπὸ τοῦ Σωτῆρος καὶ τῶν Ἀποστό» λων ἐστὶν, ἀλλ' ὑπὲρ τῶν κεκοιμημένων προσάγεται ἔλαιον εἰς προσαγωγὴν Θεοῦ » καὶ τιμὴν, ὑπὲρ ἐλέους καὶ συμπαθείας τῶν ἀπελθόντων, ὡς θυμίαμα, καὶ » λοιπὰ ἕτερα ὑπὲρ αὐτῶν τῷ Ναῷ, καὶ ἐν τοῖς ἐνταφίοις αὐτῶν προσφερόμενα ». (Περὶ τοῦ ἁγίου Εὐχελαίου Κεφ. σπζ΄. σελ. 201. Ἐκδ. Γιασσίου, 1683. εἰς φύλ.)

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Θεοτοκίον.

Η μόνη κυήσασα ἐπὶ γῆς, πηγὴν ἀφθαρσίας, καὶ ἀνάστασιν καὶ ζωήν, Ἁγνὴ Θεοτόκε ἐκδυσώπει, τῷ μεταστάντι δοθῆναι ἀνάπαυσιν.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Οὐρανίου σου δόξης, καὶ φωταυγοῦς λάμψεως, καὶ αἰωνιζούσης Οἰκτίρμον μακαριότητος, μέτοχον ποίησον, τὸν ἐξ ἡμῶν μεταστάντα, εὐσεβῶς οἰκέτην σου, ἐκδυσωποῦμέν σε.

Τὰς ἐμὰς ἁμαρτίας, ἃς ἐν κρυφῇ ἔπραξα, καὶ τὰς χαλεπὰς ἀνομίας, ἃς ἐπλημμέλησα, πάριδε δέομαι, ὁ σὸς κραυγάζει οἰκέτης, δι' ἡμῶν τῶν δούλων σου, εὔσπλαγχνε Κύριε.

Τέλος σχόντα τοῦ βίου, καὶ ὑπὸ γῆν κείμενον, τῆς ἀτελευτήτου σου δόξης, κοινωνὸν ποίησον, Δέσποτα Κύριε, ὃν ἐξ ἡμῶν προσελάβου, ὀρθοδόξῳ πίστει σε Σῶτερ λατρεύσαντα.

Θεοτοκίον.

Παναγία Παρθένε, τὸ τοῦ Θεοῦ σκήνωμα, ἡ τοὺς κενεῶνας τοῦ ᾅδου, τῷ θείῳ τόκῳ σου, ἀναμοχλεύσασα, τῷ ἐξ ἡμῶν μεταστάντι, τὴν διαιωνίζουσαν ἄνεσιν αἴτησαι.

Εἶτα ὁ Ἱερεὺς μνημονεύει· καὶ τὸ Τροπάριον·

Ἀληθῶς ματαιότης τὰ σύμπαντα, κ.τ.λ.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἁμαρτίας νεότητος, Σῶτερ καὶ ἀγνοίας μου ὑπεράγαθε, μὴ μνησθῇς, βοᾷ ὁ δοῦλός σου, μεταστὰς καὶ τάφῳ νεκρὸς κείμενος.

Ἀνθρωπίνης ὑπάρξεως, Λόγε ἐπιστάμενος τὴν ἀσθένειαν, τοῦ σοῦ δούλου τὰ ἐγκλήματα, παριδών, Ἁγίοις τοῦτον σύνταξον.

Παραδείσου ἀνάδειξον, Κύριε πολίτην, καὶ τῆς μελλούσης σου, κοινωνὸν θείας λαμπρότητος, τὸν πιστόν σου δοῦλον δυσωποῦμέν σε.

Θεοτοκίον.

Ὑπεράγαθε Δέσποινα, Λόγον ὑπεράγαθον ὃν ἐκύησας, ἐκδυσώπει τὸν οἰκέτην σου, ἐν τῇ κρίσει δεῖξαι ἀκατάκριτον.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Ἀμελείᾳ συζήσας, τέθνηκα καὶ ἄφωνος τάφῳ κατάκειμαι, καὶ νῦν ἀναμένω, τὴν ἐσχάτην ἐγεῖραί με σάλπιγγα, ὁ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη

θανὼν κραυγάζει· ἀλλὰ Χριστὸν αἰτεῖσθε φίλοι, δεξιοῖς ἀριθμῆσαι προβάτοις με.

Ἀποςόλων ἁγίων. δῆμος, Ἀθλοφόρων τε θεῖος κατάλογος, δυσωπεῖ σε Σῶτερ, ἀναπαῦσαι πιστὸν ὃν μετέστησας, Ἀβραὰμ ἐν κόλποις, ὅπου τὸ φῶς τοῦ σοῦ προσώπου, ἐπιλάμπει Χριστὲ πολυέλεε.

Ὁ συντρίψας τὰς πύλας, Σῶτερ καταβάσει σου τοῦ ᾅδου Κύριε, Ἀβραὰμ ἐν κόλποις, ἀναπαύεσθαι τοῦτον ἀξίωσον, τὸν πιστόν σου δοῦλον, τὸν ἐπ' ἐλπίδι μεταστάντα, αἰωνίου ζωῆς τῇ προστάξει σου.

Θεοτοκίον.

Παναγία Παρθένε, ἡ τὸν ὑπεράγιον Λόγον κυήσασα, ἐν σκηναῖς Δικαίων, μεσιτείαις ἁγίαις σου αἴτησαι, ἐπαναπαυθῆναι, τὸν ἀπὸ γῆς νῦν μεταστάντα, προστασία πιστῶν χρηματίζουσα.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Τῆς ἐπωδύνου ζωῆς, τοῦ βίου μεταχωρήσαντα, τῆς ἀνωδύνου Χριστὲ, ἀξίωσον λήξεως, πιστὸν ὃν μετέστησας, ἱκεσίαις πάντων, τῶν ἁγίων Ἀθλοφόρων σου.

Ἐν ἀμελείᾳ πολλῇ, τὸν βίον μου κατηνάλωσα, καὶ μεταστὰς τὸ φρικτὸν, προσμένω κριτήριον· ἐν ᾧ ἀκατάκριτον, διατήρησόν με, Ἰησοῦ, βοᾷ ὁ δοῦλός σου.

Ἐν συμπαθείᾳ πολλῇ, δακρύσατέ με φιλόχριστοι, καὶ τὸν τῶν ὅλων Θεὸν, θερμῶς ἐξαιτήσασθε, τοῦ διαναπαῦσαί με, μετὰ τῶν Ἁγίων, ὁ θανὼν βοᾷ θρηνῶν πρὸς ἡμᾶς.

Θεοτοκίον.

Καὶ ζώντων καὶ τῶν νεκρῶν, Ἁγνὴ προστάτις ὑπάρχουσα, δυσώπησον τὸν ἐκ σοῦ, τεχθέντα Θεὸν ἡμῶν, τῆς μερίδος μέτοχον, τῆς τῶν σωζομένων, ἀπεργάσασθαι τὸν δοῦλόν σου.

Καὶ ὁ Ἱερεὺς μνημονεύει.

Κοντάκιον. Ἦχος πλ. δ'.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, κ.τ.λ.

Ὁ Οἶκος.

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, κ.τ.λ.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

'Ωδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὁ ἐκ γῆς διαπλάσας, τῶν βροτῶν τὴν οὐσίαν, τῆς οὐρανίου σου, χαρᾶς καὶ εὐφροσύνης, κραυγάζοντα τὸν πίστει, μεταστάντα ἀξίωσον· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὁ ἀμέτρητον ἔχων, εὐσπλαγχνίαν Οἰκτίρμον πολλά σε πταίσαντα, τὸν δοῦλόν σου μὴ κρίνῃς, ἀλλ' οἴκτειρον, καὶ δόξης, μελῳδοῦντα ἀξίωσον· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Πλημμελήσας ἐν γνώσει, καὶ ἀγνοίᾳ τοῦ βίου πέρας ἐδέξατο, ὁ δοῦλός σου Οἰκτίρμον· διὸ ἀτελευτήτου, ζωῆς τοῦτον ἀξίωσον, τὰ ἐσφαλμένα αὐτῷ, συγχωρῶν ἐλεῆμον.

Θεοτοκίον.

Ἡ τὸν εὔσπλαγχνον Λόγον, ἀποῤῥήτῳ λοχείᾳ κυοφορήσασα, τρυφῆς τοῦ Παραδείσου, καὶ δόξης ἀϊδίου, μετασχεῖν καταξίωσον, ταῖς μητρικαῖς σου λιταῖς, τὸν σὸν πιστὸν οἰκέτην.

'Ωδὴ ή. Νικηταὶ τυράννου.

Ἡ ζωὴ τῶν ζώντων, ὁ θανὼν καὶ θάνατον ἀπονεκρώσας, ζωῆς τῆς ἀϊδίου, καὶ φωτὸς τὸν δοῦλόν σου μέτοχον δεῖξον, οὗ ἀπέδρα λύπη, στεναγμὸς, καὶ δάκρυον, τοῦτον κατατάξας, ὡς μόνος ἐλεήμων.

Ἀδελφοὶ καὶ φίλοι, συγγενεῖς καὶ γνώριμοι ἐκδυσωπεῖτε, τὸν Θεὸν τῶν ὅλων, Παραδείσου δεῖξαί με τερπνὸν πολίτην, καὶ Ἁγίων δήμοις συγκαταριθμῆσαί με, κράζει ἀοράτως, ὁ μεταστὰς τοῦ βίου.

Θελητὰ ἐλέους, ἐλέησον τὸν δοῦλόν σου ὃν προσελάβου, καὶ μὴ ἀποπέμψῃς, σοῦ καταμελήσαντα νόμου δικαίου· οἶδας γὰρ Οἰκτίρμον τὴν βροτῶν ἀσθένειαν, ταύτην ἐκ Παρθένου, φορέσας ἀσυγχύτως.

Θεοτοκίον.

Ἡ φωτεινοτάτη, πύλη ἣν διώδευσε Θεὸς ὡς οἶδε, πύλας οὐρανίους, ἀνοιχθῆναι αἴτησαι τῷ σῷ οἰκέτῃ, ὅπως σὲ δοξάζῃ ἐπαναπαυόμενος, μόνη προστασία, καὶ ζώντων καὶ θανόντων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ Θ'. Ἔφριξε πᾶσα ἀκοή.

Τέθνηκε φύσεως θεσμοῖς, καὶ τὸν τάφον κατοικεῖ τὸν ἐπώδυνον, ἀπεκδεχόμενος, τὴν δι' Ἀγγέλου ἐσχάτην σάλπιγγα, ὁ μεταστὰς Λόγε Θεοῦ· διὸ δυσωποῦμέν σε, τῆς δεξιᾶς αὐτὸν καταξίωσον, Χριστὲ θείας στάσεως.

Κύριε μόνε Βασιλεῦ, βασιλείας οὐρανίου ἀξίωσον, ὃν νῦν μετέστησας, πιστὸν σὸν δοῦλον παρακαλοῦμέν σε, καὶ ἀκατάκριτον αὐτὸν τότε διατήρησον, ἡνίκα ἅπας βροτὸς παραστῇ σοι, τῷ Κριτῇ μέλλων κρίνεσθαι.

Τέθαπται σῶμα μὲν ἐν γῇ, ἡ ψυχὴ δὲ ἐν ἀδήλοις πορεύεται, προσαναμένουσα τὴν ἐσομένην νεκρῶν ἀνάστασιν· ἐν ᾗ φιλάνθρωπε Σωτὴρ, λαμπρύνας τὸν δοῦλόν σου, Ἁγίοις σύνταξον καὶ ἐν κόλποις, Ἀβραὰμ διανάπαυσον.

Θεοτοκίον.

Ἄχραντε Δέσποινα ἁγνὴ, τὸν Υἱόν σου καὶ κριτὴν καὶ Θεὸν ἡμῶν, ὑπὲρ τοῦ δούλου σου, τοῦ μεταστάντος θερμῶς ἱκέτευσον, ἐν χώρᾳ ζώντων ἔνθα φῶς, ὑπάρχει τὸ ἄδυτον, κατασκηνῶσαι αὐτὸν μετὰ πάντων, ἐκλεκτῶν ἀειπάρθενε.

Εἶτα ὁ Ἱερεὺς μνημονεύει· καὶ τὰ παρόντα

Στιχηρὰ Προσόμοια, Ἦχος πλ. β'.

Ἡ ἀπεγνωσμένη.

Ἀπηγορευμένος τοῖς ἀδελφοῖς μου, καὶ κεχωρισμένος τῶν προσφιλῶν μου, κραυγάζω τῷ πνεύματι, ἐκ τάφου δυσωδίας· μή μου τὰ πταίσματα ἐτάσῃς, ἐν τῇ κρίσεως ὥρᾳ· μή μου τὰ δάκρυα παρίδῃς, ἡ χαρὰ τῶν Ἀγγέλων· ἀλλ' ἀνάπαυσον ὃν προσελάβου, τῇ προστάξει σου Κύριε, διὰ τὸ μέγα σου ἔλεος.

Βεβορβορωμένος ταῖς ἁμαρτίαις, καὶ γεγυμνωμένος κατορθωμάτων, κραυγάζω τῷ πνεύματι, ἡ βορὰ τῶν σκωλήκων· Μή με τὴν τάλαιναν ἀποῤῥίψῃς, ἀπὸ τοῦ σοῦ προσώπου· μή με ἐξ εὐωνύμων στήσῃς, ὁ χερσί σου με πλάσας· ἀλλ' ἀνάπαυσον ὃν προσελάβου, τῇ προστάξει σου Κύριε, διὰ τὸ μέγα σου ἔλεος.

Γένος καὶ πατρίδα νῦν καταλείψας, μόνος ἐπορεύθην πρὸς ξένην τρίβον, καὶ τάφῳ ἐγκέχωσμαι, ὡς δυσώδης σαπρία·



Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

οἴμοι, οὐδεὶς ὁ βοηθῶν μοι, ἐν ἐκείνῃ τῇ ὥρᾳ· οἴμοι, ὅτι Θεοῦ ἡ κρίσις, ἀδέκαστος ὑπάρχει· ἀλλ' ἀνάπαυσον ὃν προσελάβου, τῇ προστάξει σου Κύριε, διὰ τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν.

Δεῦτε καὶ θεάσασθε ἅπαντες, ξένον καὶ φρικτὸν θέαμα, τοῖς πᾶσι γνωριζόμενον, τὴν εἰκόνα τὴν νῦν ὁρωμένην, καὶ μηκέτι φρονεῖτε τὰ πρόσκαιρα. Σήμερον ψυχὴ χωρίζεται τοῦ σώματος, πρὸς αἰώνιον κόσμον μεθισταμένη· εἰς ὁδὸν γὰρ ὑπάγει, ἣν οὐδέποτε διώδευσε, καὶ εἰς Κριτὴν ἀπροσωπόληπτον, ὅπου παρίστανται Ἀγγέλων τάγματα· φοβερὸν γὰρ ἀδελφοί μου τὸ κριτήριον ἐκεῖνο· ὅπου πάντες γυμνοὶ παραστησόμεθα, οἱ μὲν αἰσχυνόμενοι, οἱ δὲ στεφανούμενοι. Διὸ βοήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ· Ὅταν μέλλῃς ἐτάζειν τὰ κρυπτὰ τῶν ἀνθρώπων, φεῖσαι τοῦ δούλου σου, ὃν προσελάβου, Κύριε φιλάνθρωπε.

Εἶτα μνημονεύει· καὶ γίνεται ὁ Ἀσπασμός.

Ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε.

Δεῦτε τελευταῖον ἀσπασμὸν, δῶμεν ἀδελφοὶ τῷ θανόντι, εὐχαριστοῦντες Θεῷ· οὗτος γὰρ ἐξέλιπε τῆς συγγενείας αὐτοῦ, καὶ πρὸς τάφον ἐπείγεται, οὐκ ἔτι φροντίζων, τὰ τῆς ματαιότητος, καὶ πολυμόχθου σαρκός· ποῦ νῦν συγγενεῖς τε καὶ φίλοι; ἄρτι χωριζόμεθα, ὅν περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Ποῖος χωρισμὸς ὦ ἀδελφοί; ποῖος κοπετὸς, ποῖος θρῆνος, ἐν τῇ παρούσῃ ῥοπῇ; δεῦτε οὖν ἀσπάσασθε τὸν πρὸ μικροῦ μεθ' ἡμῶν· παραδίδοται τάφῳ γὰρ, καλύπτεται λίθῳ, σκότει κατοικίζεται, νεκροῖς συνθάπτεται· πάντες συγγενεῖς τε καὶ φίλοι, ἄρτι χωριζόμεθα, ὅν περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Ἄρτι ἡ τοῦ βίου πονηρὰ, λύεται πανήγυρις πᾶσα, τῆς ματαιότητος· πνεῦμα γὰρ ἐξέλιπεν ἀπὸ σκηνώματος· ὁ πηλὸς μεμελάνωται, τὸ σκεῦος ἐῤῥάγη, ἄφωνον, ἀναίσθητον, νεκρὸν, ἀκίνητον· ὅν περ, παραπέμποντες τάφῳ, Κύριον εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμὸς, μέγας στεναγμὸς καὶ ἀνάγκη, ὁ χωρισμὸς τῆς ψυχῆς· ᾅδης καὶ ἀπώλεια, ἡ τῶν προσκαίρων ζωή· ἡ σκιὰ ἡ ἀνύπαρκτος· ὁ ὕπνος τῆς πλάνης, ὁ ἀκαιροφάνταστος, μόχθος τοῦ βίου τῆς γῆς· πόῤῥω ἐκφευξώμεθα κόσμου, ἅπαν τὸ ἁμάρτημα, ἵνα, τὰ οὐράνια κληρονομήσωμεν.

Βλέποντες προκείμενον νεκρὸν, τύπον ἀναλάβωμεν πάντες, τῆς τελευταίας ῥοπῆς· οὗτος γὰρ παράγεται, ὥσπερ καπνὸς ἀπὸ γῆς· ὡσεὶ ἄνθος ἐξήνθησεν, ὡς χόρτος ἐτμήθη, ῥάκει σπαργανούμενος, γῇ καλυπτόμενος· ὃν περ ἀφανῆ λελοιπότες, τῷ Χριστῷ εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Δεῦτε οἱ ἀπόγονοι Ἀδὰμ, ἴδωμεν εἰς γῆν βεβλημένον, τὸν κατ' εἰκόνα ἡμῶν, ὅλην τὴν εὐπρέπειαν ἀποβαλόμενον, λελυμένον ἐν μνήματι, σαπρίαν σκωλήκων, σκότει δαπανώμενον, γῇ καλυπτόμενον· ὃν περ ἀφανῆ λελοιπότες, τῷ Χριστῷ εὐξώμεθα δοῦναι, εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Ὅτε ἐκ τοῦ σώματος ψυχὴ, μέλλει μετὰ βίας ἁρπᾶσθαι, ὑπὸ Ἀγγέλων φρικτῶν, πάντων ἐπιλάθεται, τῶν συγγενῶν καὶ γνωστῶν, καὶ φροντίζει τὰ μέλλοντα, κριτήρια στῆναι, τὰ τῆς ματαιότητος, καὶ πολυμόχθου σαρκός· τότε τὸν Κριτὴν δυσωποῦντες, πάντες ἐπευξώμεθα, ἵνα, συγχωρήσῃ Κύριος ἃ ἔπραξε.

Δεῦτε ἐν τῷ τάφῳ ἀδελφοὶ, βλέψωμεν τὴν τέφραν καὶ κόνιν, ἐξ ἧς ἐπλάσθημεν· ποῦ νῦν πορευόμεθα; τί δ' ἐγεγόναμεν; ποῖος πένης ἢ πλούσιος; ἢ ποῖος δεσπότης; ποῖος δὲ ἐλεύθερος; καὶ οὐχὶ πάντες σποδός; κάλλος, τοῦ προσώπου ἐσάπη, καὶ τὸ τῆς νεότητος ἅπαν, ἄνθος κατεμάρανεν ὁ θάνατος.

Ὄντως ματαιότης καὶ φθορὰ, πάντα τὰ τοῦ βίου ἡδέα, καὶ τὰ περίδοξα· πάντες γὰρ ἐκλείπομεν, πάντες θνήξόμεθα, βασιλεῖς τε καὶ ἄρχοντες, κριταὶ καὶ δυνάσται, πλούσιοι καὶ πένητες, καὶ πᾶσα φύσις βροτῶν· νῦν γὰρ οἱ ποτὲ ἐν τῷ βίῳ, τάφοις καταβέβληνται· οὓς περ, ἀναπαῦσαι Κύριος εὐξώμεθα.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Πάντα τὰ τοῦ σώματος νυνὶ, ὄργανα ἀργὰ θεωροῦνται, τὰ πρὸ μικροῦ κινητά· πάντα ἀνενέργητα, νεκρὰ, ἀναίσθητα· ὀφθαλμοὶ γὰρ κατέδυσαν, ἐδέθησαν πόδες, χεῖρες ἡσυχάζουσι, καὶ ἀκοὴ σὺν αὐτοῖς· γλῶσσα τῇ σιγῇ συνεκλείσθη· τάφῳ παραδίδονται· ὄντως, ματαιότης πάντα τὰ ἀνθρώπινα.

Θεοτοκίον.

Σῶζε τοὺς ἐλπίζοντας εἰς σὲ, Μήτηρ τοῦ ἀδύτου Ἡλίου Θεογεννήτρια, αἴτησαι πρεσβείαις σου τὸν ὑπεράγαθον, ἀναπαῦσαι δεόμεθα, τὸν νῦν μεταστάντα, ἔνθα ἀναπαύονται αἱ τῶν Δικαίων ψυχαί· θείων ἀγαθῶν κληρονόμον, δεῖξον ἐν αὐλαῖς τῶν Δικαίων, εἰς μνημόσυνον Πανάμωμε αἰώνιον.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄.

**Ὁρῶντές με ἄφωνον καὶ ἄπνουν προκείμενον.** Σελ. 459.

Καὶ μετὰ τὸν Ἀσπασμὸν, Τρισάγιον· καὶ χρίεται ὁ κοιμηθεὶς παρὰ τοῦ Ἱερέως, λέγοντος· **Ὁ πιστεύων, εἰς Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.**

Εἶτα τίθεται ἐν τῷ μνήματι· καὶ λαβὼν ὁ Ἱερεὺς ἔλαιον, ποιεῖ Σταυροὺς γ΄. ἐπάνω αὐτοῦ, ψάλλων τὸ, Ἀλληλούϊα, καὶ τοὺς Εἱρμοὺς τοῦ Μεγάλου Κανόνος· καὶ τὸ, **Ὁ Θεὸς τῶν πνευμάτων.**

Εἶτα μικρὰ Αἴτησις· **Ἐλέησον ἡμᾶς, ὁ Θεός.**

Μετὰ δὲ τὴν Ἐκφώνησιν· **Ὁ ἀναστὰς ἐκ νεκρῶν.**

Καὶ γίνεται τελεία Ἀπόλυσις.

---

# ΚΑΝΩΝ

## ΑΝΑΠΑΥΣΙΜΟΣ ΕΙΣ ΝΗΠΙΑ ΤΕΛΕΥΤΗΣΑΝΤΑ.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. **Ὑγρὰν διοδεύσας.**

Κύριε, ἀνάπαυσον τὸ Νήπιον.

Ὁ σαρκὶ πτωχεύσας Λόγε Θεοῦ, καὶ βρέφος γενέσθαι, εὐδοκήσας δίχα τροπῆς, Ἀβραὰμ ἐν κόλποις δυσωποῦμεν, ὃ προσελάβου κατάταξον Νήπιον.

Παιδίον ὡράθης ὁ πρὸ παντὸς, αἰῶνος ὑπάρχων, καὶ παιδίοις ὡς ἀγαθὸς, τὴν σὴν ἐπηγγείλω βασιλείαν· οἷς τὸ παρὸν ἐναρίθμησον Νήπιον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Πρὸ τοῦ τῶν ἡδέων τῶν ἐπὶ γῆς, ἐν πείρᾳ γενέσθαι, προσελάβου Χριστὲ Σωτὴρ, τὸ ἄμεμπτον βρέφος αἰωνίων, καταξιῶν ἀγαθῶν ὡς φιλάνθρωπος.

Θεοτοκίον.

Σοφίαν καὶ Λόγον τὸν τοῦ Πατρὸς, ἀφράστως τεκοῦσα, τῆς ψυχῆς μȣ τὸ χαλεπὸν, θεράπευσον τραῦμα καὶ καρδίας, τὴν ἀλγηδόνα καταπράϋνον.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ὁ προτέλειος Λόγος, βρέφος ὀφθεὶς τέλειον, βρέφος ἀτελὲς ἡλικίᾳ πρὸς σὲ μετέστησας· ὅπερ ἀνάπαυσον, μετὰ Δικαίων ἁπάντων, εὐαρεστησάντων σοι, μόνε φιλάνθρωπε.

Τῶν τοῦ κόσμου ἡδέων, ἀναρπασθὲν ἄγευστον, τῶν ὑπερκοσμίων Οἰκτίρμον ἀγαθῶν μέτοχον, δεῖξον δεόμεθα, τὸ ἀδιάφθορον βρέφος, ὅπερ μετατέθεικας, θείᾳ προστάξει σου.

Οὐρανίων θαλάμων, καὶ φωταυγοῦς λήξεως, καὶ ἱερωτάτης χορείας Ἁγίων Κύριε, μέτοχον ποίησον, τὸ καθαρώτατον βρέφος, ὅπερ ὡς ηὐδόκησας, Σῶτερ μετέστησας.

Θεοτοκίον.

Ἀπορήσας ἐκ πάντων, ἐπὶ τὴν σὴν ἄχραντε, Δέσποινα καὶ μόνην προσφεύγω, σκέπην, βοήθει μοι· πολὺν συνῆψα γὰρ, τῆς ἁμαρτίας τὸν πλοῦτον, ἀρετῶν πτωχείᾳ δὲ ὅλος πεπλήρωμαι.

Κάθισμα, Ἦχος πλ. β΄.

Ἀληθῶς ματαιότης τὰ σύμπαντα.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Μὴ τὰ νήπια κλαίωμεν, ἑαυτȣ̀ς δὲ μᾶλλον ἀποδυρώμεθα, ἁμαρτάνοντας ἑκάστοτε, ὅπως τῆς γεέννης λυτρωθείημεν.

Ἐπιγείων ἐστέρησας, Δέσποτα τὸ Νήπιον ἀπολαύσεως· οὐρανίων ἀγαθῶν αὐτὸ, ὡς δικαιοκρίτης καταξίωσον.

Παραδείσου πολίτην σε, δείκνυσι μακάριον ὄντως Νήπιον, ὁ ἐκ γῆς σε προσλαβόμενος, καὶ χοροῖς Ἁγίων κατατάττει σε.

Θεοτοκίον.

Θεοτόκον σε πάναγνε, οἱ πεφωτισμένοι πάντες γινώσκομεν· τὸν γὰρ Ἥλιον ἐκύησας, τῆς δικαιοσύνης ἀειπάρθενε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Τῇ δικαίᾳ σου κρίσει, πρὸ τοῦ ἐκβλαστῆσαι τελείως ἐθερίσας, ἁπαλὴν ὡς χλόην, ὃ μετέστησας Κύριε Νήπιον· ἀλλὰ τοῦτο Λόγε, εἰσαγαγὼν, εἰς θεῖον ὄρος, ἀγαθῶν αἰωνίων ἐμφύτευσον.

Ἁπαλὸν ὥσπερ κλάδον, ξίφος ἐπελθὸν τοῦ θανάτου σε ἔτεμε, μὴ λαβόντα πεῖραν, κοσμικῶν ἡδονῶν ὦ μακάριον· ἀλλ' ἰδοὺ Χριστός σοι, τῶν οὐρανῶν πύλας ἀνοίγει, ἐκλεκτοῖς ἀριθμῶν σε ὡς εὔσπλαγχνος.

Ἐπ' ἐμὲ μὴ θρηνεῖτε· θρήνου γὰρ οὐδὲν ἐπετήδευσα ἄξιον· ἑαυτοὺς δὲ μᾶλλον, ἁμαρτάνοντας πάντως πενθήσατε, συγγενεῖς καὶ φίλοι, τὸ τεθνηκὸς κραυγάζει βρέφος, ὅπως πεῖραν μὴ σχῆτε κολάσεως.

Θεοτοκίον.

Ἐμαυτὸν ἀπελπίζω, ὅταν πρὸς τὸ πλῆθος ἀπίδω τῶν ἔργων μου· ὅταν δὲ εἰς νοῦν σε, ὑπὲρ νοῦν τὴν τεκοῦσαν τὸν Κύριον, Θεομῆτορ λάβω, ἐπαναψύχω τῇ ἐλπίδι· σὲ γὰρ μόνην προστάτιν κεκτήμεθα.

Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.

Ὡς νήπιον ἐπὶ φάτνης ἐτέθης, καὶ ἀγκάλαις ἐπεδόθης Πρεσβύτου, ὁ βρεφουργῶν, ἐν κοιλίᾳ τὰ βρέφη, καὶ πρὸ τοῦ φθάσαι τελείαν εἰς αὔξησιν, μετάγεις τοῦτο πρὸς ζωήν· εὐχαρίστως διό σε δοξάζομεν.

Ἐβόας τοῖς Ἀποστόλοις· Ἄφετε, τὰ παιδία πρός με ἔρχεσθαι Λόγε· ἡ γὰρ ἐμὴ, βασιλεία τοῖς οὕτω, γεγεννημένοις ὑπάρχει τὸ φρόνημα· τὸ Νήπιον οὖν τὸ πρὸς σὲ, μεταστὰν τοῦ φωτός σου ἀξίωσον.

Ἐστέρησας ἀγαθῶν ἐπιγείων, τὸ σὸν βρέφος ἵνα τῶν οὐρανίων, σοῦ ἀγαθῶν, τοῦτο μέτοχον δείξῃς, μὴ παραβάν πως τὸ θεῖόν σου πρόσταγμα· δοξάζομέν σε Ἀγαθὲ, τῶν κριμάτων τὸ βάθος τὸ ἄπειρον.

Θεοτοκίον.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν, ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα· ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.



Κοντάκιον.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον.

Ὁ Οἶκος. Αὐτὸς μόνος ὑπάρχεις.

Εἶτα τοὺς παρόντας Οἴκους.

Οὐδὲν ἔστι μητρὸς συμπαθέστερον, οὐδὲν ἔστι πατρὸς ἀθλιώτερον· τὰ γὰρ σπλάγχνα αὐτῶν συνταράττονται, ὅταν νήπια ἔνθα προπέμπωσι· μέγα τὸ κέντρον, ὅπερ ἔχουσιν αἱ καρδίαι αὐτῶν, διὰ τὰ παιδία, μάλιστα δὲ ἐὰν ὦσιν εὔλαλα, ἐνθυμούμενοι λόγους αὐτῶν μετ' ᾠδῆς· Ἀλληλούϊα.

Πολλάκις γὰρ τοῦ μνήματος ἔμπροσθεν, τοὺς μασθοὺς συγκροτοῦσι καὶ λέγουσιν· Ὦ υἱέ μου καὶ τέκνον γλυκύτατον, οὐκ ἀκούεις μητρός σου τί φθέγγεται; ἰδοὺ καὶ ἡ γαστὴρ ἡ βαστάσασά σε· διὰ τί οὐ λαλεῖς, ὡς ἐλάλεις ἡμῖν; ἀλλ' οὕτω σιγᾷς τοῦ λαλεῖν μεθ' ἡμῶν, Ἀλληλούϊα;

Ὁ Θεὸς, ὁ Θεὸς ὁ καλέσας με, παραμυθία γενοῦ νῦν τῷ οἴκῳ μου· μέγα πένθος αὐτοῖς γὰρ συμβέβηκεν· εἰς ἐμὲ γὰρ ἠτένιζον ἅπαντες, μονογενῆ με οὗτοι ἔχοντες. Ἀλλ' αὐτὸς ὁ τεχθεὶς ἐκ μήτρας Παρθένου, τῆς μητρός μου τὰ σπλάγχνα ἀνάψυξον, καὶ δρόσισον καρδίαν πατρὸς, δι' οὗ· Ἀλληλούϊα.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

Γράψον ἐν βίβλῳ σωζομένων, ὡς φιλάνθρωπος Οἰκτίρμον τὸ σὸν Βρέφος ἵνα χαῖρον βοᾷ, τῷ κράτει τῆς σῆς δόξης· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Αἴγλῃ τοῦ σοῦ Λόγε προσώπου, καταλάμπρυνον τὸ Βρέφος τὸ σὸν, πίστει, μεταστὰν νῦν πρὸς σὲ, ἀώρῳ ἡλικίᾳ, καὶ μελῳδοῦν σοι Κύριε· Ὁ Θεὸς εὐλογητὸς εἶ.

Θλίψεων αἴτιος ἐδείχθη, τοῖς ποθοῦσί σε νυνὶ ὁ χωρισμός σου· ἀλλὰ σοὶ ἀληθῶς, χαρᾶς καὶ εὐφροσύνης· κληρονομεῖς γὰρ Νήπιον, τὴν ζωὴν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἴδε τὴν θλῖψίν μου Παρθένε, ἣν ἐπήγαγε τὸ πλῆθος τῶν κακῶν μου· καὶ πρὸ τοῦ ἀπελθεῖν, ἀνάψυξίν μοι δίδου, ταῖς μητρικαῖς δεήσεσιν, ἱλεοῦσθαί μοι τὸ Θεῖον.

Ὠδὴ η΄. Ἑπταπλασίως.

Τοῦ Ἀβραὰμ ἐν κόλποις σε, ἐν σκηναῖς ἀναπαύσεως, ἔνθα ἡ χαρὰ ἑορταζόντων πάντοτε, ἐν τόποις ἀνέσεως, ἔνθα

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τὸ ὕδωρ ἐστὶ τὸ ζῶν, τάξαι σε Χριστὸς, ὁ δι' ἡμᾶς νηπιάσας, βοῶν αὐτῷ ἀπαύστως· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Λύπης ἡμῖν παραίτιος, καὶ δακρύων ἀείμνηστος, σοῦ ὁ χωρισμὸς ὡς ἀληθῶς γεγένηται· πρὸ τοῦ γάρ σε γεύσασθαι, τῶν ἐν τῷ βίῳ τούτῳ τερπνῶν, ἔλιπες τὴν γῆν, καὶ γεννητόρων κόλπους. Ἀλλ' οὖν τοῦ Ἀβραάμ σε, ὑπεδέξατο κόλπος, ὡς νήπιον καὶ πάσης, ἀμέθεκτον κηλῖδος.

Τί με πενθεῖτε Νήπιον, μεταξὰν, ὁ προκείμενος, κράζει ἀοράτως· οὐ γὰρ πέλω κλαύσιμον· νηπίοις γὰρ ὥρισται, ἡ τῶν Δικαίων πάντων χαρὰ, ἄξια δακρύων, μὴ ποιήσασιν ἔργα· Χριστῷ γὰρ μελῳδοῦσιν· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Εἰς τὴν ἐμὴν βοήθειαν, Θεοτόκε ἀνάστηθι· πρόσχες τῇ δεήσει τῇ ἐμῇ καὶ ῥῦσαί με, δεινῆς κατακρίσεως, καὶ χαλεπῆς ἐτάσεως, σκότους καὶ πυρὸς, καὶ βρυγμοῦ τῶν ὀδόντων, δαιμόνων ἐπηρείας, ἀπὸ πάσης ἀνάγκης, ἐλπὶς ἀπηλπισμένων, ζωὴ ἀπεγνωσμένων.

Ὠδὴ Θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Χριστὲ ὁ νηπιάσας δίχα τροπῆς, καὶ Σταυρῷ ὁμιλήσας θελήματι, καὶ μητρικὸν, πόνον τῆς Τεκούσης σε κατιδὼν, τὴν ἀθυμίαν κούφισον, καὶ τὴν ἀχθηδόνα τὴν χαλεπὴν, Νηπίου τοῦ θανόντος, πιστῶν τῶν γεννητόρων, ἵνα δοξάζωμεν τὸ κράτος σου.

Ἀπέστειλας ἐξ ὕψους Παμβασιλεῦ, καὶ λαβὼν τὸ μακάριον Νήπιον, ὡς καθαρὸν, Δέσποτα στρουθίον πρὸς καλιὰς, ἐπουρανίους ἔσωσας, τούτου ἐκ παγίδων πολυειδῶν, τὸ πνεῦμα, καὶ Δικαίων, τοῖς πνεύμασι συνῆψας, κατατρυφᾷν τῆς Βασιλείας σου.

Μηδὲν πεποιηκόσι Λόγε Θεοῦ, τοῖς νηπίοις παρέσχες τὴν οἴκησιν, τῶν οὐρανῶν· οὕτω γὰρ ηὐδόκησας ἀγαθέ· οἷς ἀριθμοῖς τὸ πλάσμα σου, Νήπιον φοιτῆσαν τανῦν πρὸς σὲ, τὸ ἄλγος τῶν γονέων, αὐτὸς ἐπικουφίζων, ὡς πανοικτίρμων καὶ φιλάνθρωπος.



Θεοτοκίον.

Τὸ ὄμμα τῆς καρδίας διαπαντὸς, ἀτενίζων πρὸς σὲ τὴν πανάμωμον, τὴν μητρικὴν, ἔχουσαν πρεσβείαν πρὸς τὸν ἐκ σοῦ, σὲ δυσωπῶ Πανύμνητε· Κοίμισον τὰ πάθη μου τῆς ψυχῆς, πρὸς ὄρθρον μετανοίας, ἐξέγειρόν με Κόρη, καὶ τῷ φωτί σου καταλάμπρυνον.

Εἶτα Συναπτὴ μικρά· καὶ μετὰ ταύτην, ἡ παροῦσα Εὐχή.

Ὁ φυλάσσων τὰ νήπια, Κύριε, ἐν τῷ παρόντι βίῳ, ἐν δὲ τῷ μέλλοντι, διὰ τὸ τῆς γνώμης ἁπλοῦν καὶ ἀνεύθυνον, τοὺς Ἀβραμιαίους κόλπους ἀποπληρῶν, καὶ φωτοειδέσι τόποις κατασκηνῶν, ἐν οἷς αὐλίζεται τῶν Δικαίων τὰ πνεύματα· πρόσδεξαι ἐν εἰρήνῃ καὶ τοῦ δούλου σου (τοῦ δεῖνος) τὴν ψυχήν· αὐτὸς γὰρ εἶπας, τῶν τοιούτων εἶναι τὴν Βασιλείαν τῶν οὐρανῶν.

Ἐκφώνως·

Ὅτι σοῦ μόνου ἐστὶν ἡ Βασιλεία τῶν οὐρανῶν, κτλ.

Εἶτα τὸ Ἐξαποστειλάριον.

Νῦν ἀνεπαυσάμην, καὶ εὗρον ἄνεσιν πολλὴν, ὅτι μετέστην ἐκ φθορᾶς, καὶ μετετέθην πρὸς ζωήν. Κύριε δόξα σοι.

Εἰς τοὺς Αἴνους, Στιχ. Ἦχος πλ δ'. Ὢ τοῦ παραδόξου.

Ὢ τίς μὴ θρηνήσει Τέκνον μου, τὴν ἐκ τοῦ βίου ἡμῖν, πενθηράν σου μετάστασιν; ὅτι βρέφος ἄωρον, ἐκ μητρικῶν ἀγκαλῶν νῦν, ὥσπερ στρουθίον τάχος ἐπέτασας, καὶ πρὸς τὸν Κτίστην πάντων κατέφυγες; ὢ Τέκνον τίς ποτε, μὴ θρηνήσει βλέπων σου τὸ ἐμφανὲς, πρόσωπον εὐμάραντον, τὸ πρὶν ὡς ῥόδον τερπνόν; Δίς.

Ὢ τίς μὴ στενάξει Τέκνον μου, καὶ μὴ βοήσει κλαυθμῷ, τὴν πολλήν σου εὐπρέπειαν, καὶ τὴν ὡραιότητα, τῆς ἁγνῆς πολιτείας σου; ὥσπερ γὰρ ναῦς τις, ἴχνος οὐκ ἔχουσα, οὕτως ὑπέδυς ἐξ ὀφθαλμῶν μου ταχύ. Δεῦτε οἱ φίλοι μου, συγγενεῖς καὶ γείτονες, ἅμα ἐμοὶ, τοῦτον ἀσπασώμεθα, τάφῳ ἐκπέμποντες.

Θάνατος νηπίοις ἄνεσις· τῶν γὰρ τοῦ βίου κακῶν, ἀνεπίδεκτα ὤφθησαν, καὶ πρὸς λῆξιν ἔφθασαν, καὶ χαρὰν ἐπουράνιον· τοῦ Ἀβραὰμ τοῖς κόλποις ἀγάλλονται, καὶ τῶν

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Νηπίων ἁγίων θείοις χοροῖς, νῦν συνευφραίνονται, καὶ πιςῶς χορεύυσιν, ὅτι φθορᾶς, τῆς φιλαμαρτήμονος, ἁγνοὶ μετέςησαν.

Δόξα, Ἦχος πλ. β'.

Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν, ἡ τοῦ ξύλου ἀπόγευσις πάλαι ἐν Ἐδέμ, ὅτε ὄφις ἰὸν ἐξηρεύξατο· δι᾽ αὐτοῦ γὰρ εἰσῆλθεν ὁ θάνατος, παγγενῆ κατεσθίων τὸν ἄνθρωπον· ἀλλ᾽ ἐλθὼν ὁ Δεσπότης, καθεῖλε τὸν δράκοντα, καὶ ἀνάστασιν ἡμῖν ἐδωρήσατο. Πρὸς αὐτὸ οὖν βοήσωμεν· Φεῖσαι Σωτὴρ, καὶ ὃν προσελάβου, μετὰ τῶν Ἁγίων ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων, ὑπάρχουσα Θεοτόκε Παρθένε, σῶζε πόλιν καὶ λαὸν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΕΓΚΑΙΝΙΑ ΔΙΣΚΟΥ ΚΑΙ ΠΟΤΗΡΙΟΥ ΚΑΙΝΟΥ.

Λέγει ὁ Ἀρχιερεύς· Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί,...

Καὶ ἄρχεται ὁ Διάκονος λέγων·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης. Ὑπὲρ τῆς εἰρήνης τῦ σύμπαντος.
Ὑπὲρ τοῦ ἁγίυ Οἴκου τούτου. Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου.
Ὑπὲρ τῶν εὐσεβεστάτων. Ὑπὲρ τοῦ συμπολεμῆσαι.
Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης. Ὑπὲρ εὐκρασίας ἀέρων.
Ὑπὲρ πλεόντων. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.
Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας, ἀχράντου.

Καὶ ὁ Ἀρχιερεὺς ἐκφωνεῖ· Ὅτι πρέπει σοι πᾶσα δόξα.

Εἶτα χρίει αὐτὰ τῷ ἁγίῳ Μύρῳ, λέγων·

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ μετὰ τὸ χρισθῆναι καὶ ἁγιασθῆναι, λέγει ὁ Ἀρχιερεὺς τὴν Εὐχὴν ταύτην·

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ τὸ Ποτήριον τῆς καινῆς σου Διαθήκης ἁγιάσας, καὶ ἐπιδοὺς αὐτὸ εἰς εὐφροσύνην πᾶσι τοῖς μεταλαμβάνουσιν ἐξ αὐτοῦ· αὐτὸς καὶ νῦν, Δέσποτα Χριστὲ, ὁ Θεὸς ἡμῶν, ἐξαπόστειλον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐπὶ τὸ Ποτήριον τὸ καινὸν τοῦτο, καὶ εὐλόγησον, καὶ ἁγίασον, καὶ τελείωσον· καὶ τοῖς μετασχοῦσιν ἐξ αὐτοῦ παράσχου τὴν εἰρήνην, τὴν ὁμόνοιαν, καὶ τὴν ἀγάπην, ἥτις οὐδέποτε ἐκπίπτει. Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ ὁ φωτισμὸς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ σφραγίζει αὐτὰ τῇ χειρὶ, λέγων·

Ἰδοὺ ἡγίασται καὶ τετελείωται τὸ Ποτήριον τῆς σωτηρίας, καὶ ὁ Δίσκος τῆς ζωῆς τῆς καινῆς Διαθήκης, ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ γίνεται Ἀπόλυσις.

# ΕΤΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΕΓΚΑΙΝΙΑ ΔΙΣΚΟΥ ΚΑΙ ΠΟΤΗΡΙΟΥ, ΚΑΙΝΩΝ ΚΑΙ ΑΘΙΚΤΩΝ.

Τοῦ Κυρίου δεηθῶμεν.

Κατάπεμψον, Κύριε, ὁ Θεὸς ἡμῶν, ἐπὶ τὸν Δίσκον τοῦτον τὴν εὐλογίαν, τῇ ἁγιαστικῇ δυνάμει τοῦ παναγίου σου Πνεύματος· ἵνα ἐν αὐτῷ σφαγιάσωμεν τὸν Ἀμνὸν, καὶ προσφέρωμεν τὸ Σῶμα τοῦ Χριστοῦ σου, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, τὸ διαδιδόμενον τοῖς πιστοῖς, ὅπως μεταβῶσιν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν, τῇ σῇ εὐδοκίᾳ καὶ ἀγαθότητι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Τοῦ Κυρίου δεηθῶμεν.

Ἐπίτασον, Κύριε, ἐπὶ τὸ Ποτήριον τοῦτο ἐκ τῶν ἀπεριγράπτων σου κόλπων τὸ Πνεῦμά σου τὸ Ἅγιον, τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ Κύριον, καὶ Ζωοποιόν· ἵνα προσφέρωμεν ἐν τούτῳ τὸ Αἷμά σου τὸ τίμιον, δι᾽ οὗ ἐξέχεας ἔλεος ἐπὶ τῷ σῷ ποιμνίῳ, εἰς ἄφεσιν ἁμαρτημάτων τοῖς πιστεύουσι καὶ ὁμολογοῦσι τὰ Παθήματά σου. Ὅτι σὺ εἶ ὁ δοτὴρ τῆς χάριτος, καὶ σοὶ πρέπει δόξα σὺν τῷ Πατρί σου, καὶ τῷ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα χρίει τῷ ἁγίῳ Μύρῳ, λέγων·

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λέγει·

Ἰδοὺ ἡγίασται καὶ τετελείωται ὁ ἅγιος Δίσκος σὺν τῷ ἁγίῳ Ποτηρίῳ τοῦ ἁγίου Θυσιαστηρίου, τῇ ἐνεργείᾳ τοῦ Πατρὸς, καὶ τῇ εὐδοκίᾳ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, καὶ τῇ ἐπιφοιτήσει καὶ ἐπισκιάσει τοῦ παναγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ

### ΕΠΙ ΑΝΟΙΞΕΙ ΕΚΚΛΗΣΙΑΣ ΑΠΟ ΑΙΡΕΤΙΚΩΝ ΒΕΒΗΛΩΘΕΙΣΗΣ.

Ταρασίου Πατριάρχου.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, σὲ δυσωποῦμεν τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν· Εἰσάκουσον τῆς δεήσεως τῶν δούλων σου· καὶ εἴτις ἐξ αἱρετικῆς ἐγχειρίσεως προσετρίβη λώβησις τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, περίελε αὐτὴν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος· ὅπως, ἀκατακρίτως παριστάμενοι κατενώπιον τῆς ἁγίας δόξης σου, λειτουργεῖν ἐν αὐτῷ καὶ προσφέρειν σοι τὰς ἀναιμάκτους θυσίας τῆς ἀληθινῆς ἡμῶν λατρείας καταξιωθῶμεν, καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ,



καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

## ΕΥΧΗ

### ΕΠΙ ΑΝΟΙΞΕΙ ΝΑΟΥ ΒΕΒΗΛΩΘΕΝΤΟΣ ΥΠΟ ΕΘΝΩΝ, ΑΛΛΑ ΔΗ ΚΑΙ ΑΙΡΕΤΙΚΩΝ.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὸν Ναὸν τοῦτον ἀναδείξας εἰς κατοικητήριον σὸν, διὰ τῆς ἐπιφοιτήσεως τοῦ ζωοποιοῦ σου Πνεύματος ἐν τῷ τιμίῳ χρίσματι, τῷ ἁγιάσαντι Προφήτας καὶ Ἀποστόλους· εἶτα διὰ τὰς ἁμαρτίας ἡμῶν βεβηλωθῆναι συγχωρήσας αὐτὸν, καὶ τὸ πανάμωμόν σου χρανθῆναι Θυσιαστήριον παρὰ τῶν ἀθέων ἐθνικῶν, οἷς τὸ πολυΰμνητον καὶ μεγαλοπρεπὲς ὄνομα τῆς σῆς οὐ γινώσκεται δόξης· αὐτὸς πάλιν ἱλέῳ προσδεχόμενος ἡμᾶς ὄμματι, μετὰ πίστεως προσερχομένους εἰλικρινοῦς, καὶ τὰς ἡμετέρας ἐξομολογουμένους ἁμαρτίας ἐν ἐπιγνώσει καὶ μετανοίᾳ, θυσίας τε καθαρὰς καὶ ἀναιμάκτους ἀναφέρειν ἐν τούτῳ σοι θέλοντας, ἀπόσμηξον αὐτὸν τῆς ἐπιτριβείσης κηλῖδος, καὶ τῆς προτέρας ἔμπλεων ἀνάδειξον καθαρότητος, ὡς μόνος ὢν αὐτοκαθαρότης καὶ οὐσιώδης ἁγιωσύνη, μόνος τε δυνάμενος ἁγιάζειν τοὺς ἐπιστρέφοντας καρδίαν ἐπὶ σὲ, καὶ καθαρίζειν ὁλοτελῶς ἡμᾶς ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ παντὸς ἐνδοιασμοῦ καὶ ἀμφιβολίας. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λέγεται δὲ ἡ τοιαύτη Εὐχὴ καὶ ἐπὶ ἀνοίξει Ναοῦ, ὑπὸ Αἱρετικῶν καθυβρισθέντος, ἐναλλάττοντος μικρὸν τοῦ Ἀρχιερέως ἀπὸ τοῦ, Θυσιαστήριον, καὶ λέγοντος οὕτω· παρὰ τῶν ἐκταραξάντων καὶ σχισάντων τὴν Ἐκκλησίαν, ἐν ἀθετήσει καὶ ὕβρει τῶν ἀχράντων Εὐαγγελίων, καὶ τῶν Ἀποστολικῶν, καὶ Πατρικῶν, καὶ Κανονικῶν παραδόσεων· ἐπισυνάπτει, ὡς ἄνωθεν ἐξῆς ἀπὸ τοῦ, Αὐτὸς πάλιν ἱλέῳ προσδεχόμενος ὄμματι.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΗΝ ΛΕΓΕΙ Ο ΑΡΧΙΕΡΕΥΣ ΕΠΙ ΙΣΤΟΡΗΘΕΙΣΑΝ ΚΑΙΝΗΝ ΕΙΚΟΝΑ.

*Χρίει αὐτὴ τῷ ἁγίῳ Μύρῳ ἐν τοῖς τέσσαρσι μέρεσι· καὶ εἶτα εὔχεται οὕτως·* Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν.

Κύριε, Βασιλεῦ ἡμῶν παντοκράτορ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὁρίσας τὸν δοῦλόν σου Μωϋσῆν, ἵνα ἱστορήσῃ τὴν Εἰκόνα τῶν Χερουβὶμ ἐν τῇ Σκηνῇ τῇ ἁγίᾳ (καὶ ἡμεῖς, Κύριε, οὕτως ἐλάβομεν Εἰκόνα ἁγίαν εἰς μνήμην αὐτῶν)· δεόμεθά σου, Βασιλεῦ ἡμῶν, τοῦ ἀποστεῖλαι τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος, καὶ τὸν Ἄγγελόν σου ἐπὶ τὴν Εἰκόνα ταύτην τὴν ἁγίαν· ἵνα γένηται, εἴτις εἰς αὐτὴν δεηθῇ, εἰς ἐκπλήρωσιν τῆς δεήσεως αὐτοῦ, διὰ τῆς χάριτος, καὶ ἐλεημοσύνης, καὶ στοργῆς τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ φιλανθρώπου Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

*Ἐκφώνως·*

Ὅτι σοὶ πρέπει τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΗ

## ΛΕΓΟΜΕΝΗ ΕΝ ΤΗ ΕΙΣΟΔΩ, ΠΡΟ ΤΗΣ ΣΥΝΗΘΟΥΣ, ΕΠΙ ΑΝΟΙΞΕΙ ΝΑΟΥ, ΕΝ Ω ΣΥΝΕΒΗ ΘΑΝΕΙΝ ΑΝΘΡΩΠΟΝ ΒΙΑΙΩΣ.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὴν πολλήν σου καὶ ἄφατον ἀγαθότητα καταξιώσας ὀνομασθῆναι τὸν Ναὸν τοῦτον τῆς σῆς ἀπροσίτου καὶ ἀπεριγράπτου σκήνωμα δόξης, διὰ τῆς τοῦ παναγίου καὶ ζωοποιοῦ σου Πνεύματος ἐνεργείας ἁγιασθέντα· νῦν δὲ, διὰ τὴν τῶν ἡμετέρων ἁμαρτημάτων πληθὺν, παραχωρήσας μολυνθῆναι τοῦτον ἀπὸ συμπτώματος

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

βιαίου θανάτου, γεγονότος εἰς ἄνθρωπον κατ' εἰκόνα πλασθέντα σὴν, ἐξ ἐπηρείας τοῦ ἀπ' ἀρχῆς ἀνθρωποκτόνου διαβόλου· αὐτὸς πάλιν, διὰ τὸ πολὺ καὶ ἀμέτρητον ἔλεός σου, τὴν ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου αἴτησιν προσδεχόμενος, ἐξ εἰλικρινοῦς προσαγομένην σοι πίστεως. καθάρισον τὸν Οἶκον τοῦτον, καὶ τὸ ἐν αὐτῷ Θυσιαστήριον, διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου Πνεύματος· καὶ τὴν προτέραν αὐτῷ χάριν ἐγκαίνισον, εἰς δοξολογίαν ἀπρόσκοπον, εἰς προσφορὰν εὐπρόσδεκτον τῆς ἀναιμάκτου Θυσίας, εἰς δόξαν καὶ ἔπαινον τῆς σῆς ἀγαθότητος. Ναὶ, Δέσποτα τῶν ἁπάντων, ὁ μόνος φύσει καθαρὸς καὶ πανάγιος, ὁ ἁγιάζων πάντα τῷ λόγῳ σȣ, καὶ ἡμᾶς, τοὺς ἐν ὅλῃ καρδίᾳ ζητοῦντάς σε, καθάρισον ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, διαλογισμῶν ἀμφιβόλων, καὶ συνειδήσεως ἐξεταζούσης. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λέγεται δὲ ἡ τοιαύτη Εὐχὴ καὶ ἐπὶ ἀνοίξει Ναοῦ ἐν ᾧ ζῶον ἄλογον, κατὰ τὸν Νόμον τὸν παλαι, ἀκαθαρτον καὶ ἄθυτον, ἢ ἔθανεν, ἢ ἐγέννησεν· ἐναλλάσσοντος μικρὸν τοῦ Ἀρχιερεως, ἀπὸ τοῦ· Ἀπὸ συμπτώματος βιαίου θανάτου, μέχρι τοῦ, ἀπ' ἀρχῆς ἀνθρωποκτόνου διαβόλου· καὶ λέγοντος,

Ἐπὶ μὲν τοῦ διαφορήσαντος ἀλόγου ζώου·

Παραχωρήσας μολυνθῆναι τοῦτον, ἐξ ἐπηρείας διαβολικῆς, ἀλόγου θανάτῳ ζώου, κατὰ τὸν παλαι σὸν ἅγιον Νόμον ἀθύτου, καὶ ἀκαθάρτου·

Εἶτα ἐπιφέροντος τό· Αὐτὸς πάλιν, διὰ τὸ πολὺ, κτλ.

Ἐπὶ δὲ τοῦ γεννήσαντος ζώου, οὕτω·

Παραχωρήσας μολυνθῆναι τοῦτον ἐξ ἐπηρείας διαβολικῆς ἀλόγου γεννήσει ζώου, κατὰ τὸν παλαι σὸν ἅγιον Νόμον, ἀθύτου καὶ ἀκαθάρτου·

Εἶτα ἐπισυνάπτοντος τό· Αὐτὸς πάλιν, καὶ τὰ ἑξῆς ἕως τέλους τῆς Εὐχῆς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΤΑΞΙΣ

## ΓΙΝΟΜΕΝΗ, ΕΙ ΣΥΜΒΗ ΤΙ ΜΙΑΡΟΝ ΟΙΟΝΔΗΠΟΤΕ ΕΜΠΕΣΕΙΝ ΕΙΣ ΦΡΕΑΡ ΥΔΑΤΟΣ.

Χρὴ πρῶτον ἐξαντλῆσαι ἐκ τοῦ Φρέατος κάδους, μ'. καὶ αὐτοὺς ἐκχέειν ἔξω· ὁ δὲ Ἱερεὺς ἅψας κηροὺς, καὶ λαβὼν θυμιατὸν, θυμιᾷ κύκλῳ τοῦ Φρέατος· εἶτα βάλλει ὕδωρ τῶν ἁγίων Θεοφανείων, σταυροειδῶς, ἐκ γ'. Καὶ οὕτω, σταθεὶς κατὰ ἀνατολὰς, ἐπεύχεται λέγων·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς τῶν Δυνάμεων, ὁ πάντα καλὰ λίαν ποιήσας, ὁ καθαρίζων ἐν τῷ ὀνόματί σου πάντα μολυσμὸν, καὶ ἀκαθαρσίαν, καὶ μετασκευάσας, ἁγιάζων, τὰ πάντα· αὐτὸς καὶ νῦν, Δέσποτα, ἐπίφανον ἐπὶ τῆς παρούσης ὥρας, διὰ τοῦ τύπου τοῦ Σταυροῦ σου, καὶ καθάρισον τὸ Φρέαρ τοῦτο ἐκ τῆς εὑρεθείσης ἐν αὐτῷ ἀκαθαρσίας, καὶ ἐκ τοῦ ἐμπεπτωκότος ἐν αὐτῷ μυσαροῦ, ἢ κνωδαλου, συγκαταβαίνων τῷ ἀτελεῖ τῆς διανοίας ἡμῶν, καὶ τῇ ἀσθενείᾳ τῶν λογισμῶν· καὶ μὴ κατακρίνῃς ἡμᾶς τὰ καλὰ λίαν μὴ χωροῦντας, ἀλλὰ καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο τῷ Πνεύματί σου τῷ ἁγίῳ. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ μέγας καὶ θαυμαστὸς, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ, καὶ πλουσίᾳ προνοίᾳ διοικῶν τὴν τῶν ἀνθρώπων ζωήν· ὁ καὶ τὰ ἐγκόσμια ἡμῖν δωρησάμενος ἀγαθά σου· ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ Λαῷ εἰς γλυκύτητα μεταποιήσας, καὶ τὰ βλαβερὰ ὕδατα ἐπὶ Ἐλισσαίου ἅλατι θεραπεύσας· ὁ τῷ Ἀποστόλῳ σου Πέτρῳ δι' ὀπτασίας νομοθετήσας, μηδὲν ἡγεῖσθαι κοινὸν, ἢ ἀκάθαρτον· αὐτὸς, Δέσποτα φιλάνθρωπε, καθάρισον τὸ ὕδωρ τοῦτο, διὰ τῆς σημειώσεως τοῦ



τύπου τοῦ Σταυροῦ σου, ἀπὸ παντὸς μολυσμοῦ· καὶ ἁγίασον αὐτὸ τῷ Πνεύματί σου τῷ Ἁγίῳ, εἰς τὸ γενέσθαι αὐτὸ τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν ἀῤῥύπωτον. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΑΞΙΣ

## ΓΙΝΟΜΕΝΗ, ΕΙ ΣΥΜΒΗ ΤΙ ΜΙΑΡΟΝ, Η ΑΚΑΘΑΡΤΟΝ ΠΡΟΣΦΑΤΩΣ ΕΜΠΕΣΕΙΝ ΕΙΣ ΑΓΓΕΙΟΝ ΟΙΝΟΥ, Η ΜΕΛΙΤΟΣ, Η ΑΛΛΟΥ ΤΙΝΟΣ.

Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον παραχρῆμα αἴρεσθαι, καὶ ῥίπτεσθαι ἔξω, καὶ εἰς ἕτερον ἀγγεῖον βαλεῖν τὸν οἶνον, ἢ τὸ ἔλαιον· τὸ δὲ κενωθὲν ἀγγεῖον πλύνεσθαι ἔσωθεν καὶ ἔξωθεν· καὶ οὕτω τὸν Ἱερέα, λαβόντα θυμιατὸν, θυμιάσαι τὸ πλυθὲν ἀγγεῖον ἔσωθεν καὶ ἔξωθεν, καὶ βαλεῖν ἐν αὐτῷ ὕδωρ ἀπὸ τῶν ἁγίων Θεοφανείων, ποιοῦντα Σταυροῦ τύπον, τρίτον· εἶτα, βαλεῖν ἐν αὐτῷ τὸν οἶνον, ἢ τὸ ἔλαιον, καὶ ἅψαντα κηρὸν, καὶ θυμιάσαντα, ἐπεύχεσθαι οὕτω·

Τοῦ Κυρίου δεηθῶμεν.

Ἅγιε Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ εὐσπλάγχνῳ ἐπὶ γῆς ἐπιδημίᾳ πᾶσαν ἀκαθαρσίαν τοῦ ἐχθροῦ καταργήσας· ὁ διαστειλάμενος μὴ τὰ εἰσπορευόμενα κοινοῦν τὸν ἄνθρωπον, ἀλλὰ πάντα καθαρὰ εἶναι τοῖς καθαροῖς· ὁ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς τοῦ σοῦ Ἀποστόλου διδάξας ἡμᾶς, πάντα τὰ ὑπὸ σοῦ κτισθέντα καλὰ εἶναι πιστεύειν, καὶ μηδὲν ἡγεῖσθαι ἀπόβλητον, τὸ διὰ θείου λόγου καὶ τῆς πρὸς σὲ ἐντεύξεως ἁγιαζόμενον· αὐτὸς εὐλόγησον τὸν οἶνον τοῦτον (ἢ τὸ ἔλαιον), τῇ σῇ χάριτι, διὰ τῆς ἐπιχύσεως τοῦ ἁγίου Ὕδατος τούτου· καὶ πάντα μολυσμὸν, ἢ δισταγμὸν, ἐκ τοῦ ἐν αὐτῷ ἐμπεσόντος ἑρπετοῦ κατὰ μεθοδείαν τοῦ πονηροῦ, ἀπέλασον ἐκ τῆς διανοίας τῶν δούλων σου, εἰς τὸ γενέσθαι πᾶσι τοῖς πίνουσιν



Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

αὐτὸ (ἢ ἐσθίουσιν) εἰς εὐφροσύνην, διδοὺς πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν ἐν ἁγιασμῷ, καὶ ἐν καθαρᾷ συνειδήσει προσιέναι τοῖς ἀχράντοις σου Μυστηρίοις. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀπογεύεται πρῶτον ὁ Ἱερεὺς ἐξ αὐτοῦ, καὶ ἀποδίδωσι καὶ τοῖς τοῦ οἴκου κυρίοις. Εἰδέ γε συμβῇ τὸ ἐμπεσὸν ἀκάθαρτον, χρονίσαν ἐν τῷ ἀγγείῳ τοῦ οἴνου, ἢ τοῦ ἐλαίου, σαπῆναι, χρὴ ἐκχέεσθαι ταῦτα (τὸν οἶνον, ἢ τὸ ἔλαιον) καὶ μηδένα τούτων ἅπτεσθαι.

---

# ΕΥΧΗ

## ΕΠΙ ΣΚΕΥΟΥΣ ΜΙΑΝΘΕΝΤΟΣ.

Χρὴ αὐτὸ πλύνεσθαι, καὶ βαλομένου Ἁγιάσματος σταυροειδῶς, λέγει καὶ τὴν Εὐχὴν ταύτην·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ μόνος Ἅγιος, ἁγίασον τὸ Σκεῦος τοῦτο τῇ ἁγιαστικῇ σου ἐπιφοιτήσει, καὶ καθάρισον αὐτὸ, τοῦ εἶναι εἰς ὑπηρεσίαν τῶν δούλων σου ἀμίαντον· καὶ δὸς ἡμῖν πάντοτε ἐν ἁγιωσύνῃ προσεύχεσθαι ταῖς ἁγίαις σου Ἐκκλησίαις· ὅπως, ὑπὸ σοῦ πάντες φυλαττόμενοι, δόξαν καὶ προσκύνησιν ἀναπέμπωμεν σοὶ τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΠΙ ΣΙΤΟΥ ΜΙΑΝΘΕΝΤΟΣ, Η ΑΛΕΥΡΟΥ, Η ΕΙΔΟΥΣ ΤΙΝΟΣ (*).

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κατὰ σάρκα σου οἰκονομίᾳ διαστειλάμενος, μὴ τὰ εἰσπορευόμενα κοινοῦν τὸν ἄνθρωπον, ἀλλὰ πάντα καθαρὰ εἶναι τοῖς καθαροῖς· ὁ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς Παύλου τοῦ σοῦ Ἀποστόλου διδάξας ἡμᾶς, πάντα τὰ ὑπὸ σοῦ κτισθέντα καλὰ εἶναι πιστεύειν, διὰ θείου λόγου καὶ τῆς πρὸς σὲ ἐντεύξεως ἁγιαζόμενα· αὐτὸς καὶ νῦν, Δέσποτα, συμπαθῶν ταῖς ἀσθενείαις ἡμῶν, εὐλόγησον τὸν Σῖτον τοῦτον τῇ σῇ χάριτι καὶ φιλανθρωπίᾳ, διὰ τῆς τοῦ Ὕδατος τούτου, τοῦ ἐπὶ τῷ σῷ ὀνόματι ἁγιασθέντος, εὐλογίας καὶ ἐπιῤῥαντίσεως· καὶ πάντα μολυσμόν, ἢ διςαγμὸν, ἐκ τοῦ ἐν αὐτῷ ἐμπεσόντος ἀκαθάρτου κατὰ μεθοδείαν τοῦ διαβόλου, ἀπέλασον ἐκ τῆς διανοίας τῶν δούλων σου· καὶ δὸς αὐτοῖς, ἐλπίδι τῇ εἰς σὲ, καὶ πληροφορίᾳ τῶν σῶν οἰκτιρμῶν, τῆς τούτου μετασχεῖν μεταλήψεως, ἐν εὐχαριστίᾳ τοῦ ἁγίου σου ὀνόματος, καὶ ἀκατακρίτους διαφυλαχθῆναι. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΗ

## ΕΠΙ ΘΕΜΕΛΙΟΥ ΟΙΚΟΥ.

Ὁ Θεὸς, ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανὸν ἐν συνέσει, καὶ θεμελιώσας τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς,

(*) Τὸ Χειρόγραφον, ἀντὶ τῆς παρούσης, ἔχει ἑτέραν Εὐχήν.

Δημοτική Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ὁ Κτίστης καὶ Δημιουργὸς τῶν ἁπάντων, ἔπιδε ἐπὶ τὸν δοῦλόν σου (τόνδε) τὸν ἑλόμενον, ἐν τῷ κράτει τῆς ἰσχύος σου, ἐγεῖραι οἶκον εἰς κατοικίαν, καὶ τῷ κτίσματι αὐτὸν ἀνεγεῖραι· ἕδρασον αὐτὸν ἐπὶ τὴν στερεὰν πέτραν, ἣν, κατὰ τὴν σὴν θείαν ἐν Εὐαγγελίοις φωνὴν, οὐκ ἄνεμος, οὐχ ὕδωρ, οὐχ ἕτερόν τι καταβλάψαι ἰσχύσει· εὐδόκησον αὐτὸν εἰς τέλος ἀχθῆναι, καὶ τοὺς ἐν αὐτῷ μέλλοντας κατοικεῖν, ἐκ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου ἐλευθέρωσον. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ

### ΟΤΑΝ ΜΕΛΛΗ ΤΙΣ ΕΙΣΕΛΘΕΙΝ ΕΙΣ ΟΙΚΟΝ ΝΕΟΝ.

Ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν τοῦ Ζακχαίου εἰσελθεῖν, καὶ σωτηρία αὐτῷ καὶ παντὶ τῷ οἴκῳ αὐτοῦ γενόμενος· αὐτὸς καὶ νῦν τοὺς ἐνταῦθα οἰκεῖν βουληθέντας, καὶ δι' ἡμῶν τῶν ἀναξίων τὰς δεήσεις σοι καὶ ἱκεσίας προσάγοντας, ἀπὸ πάσης βλάβης τήρησον ἀτρώτους, εὐλογῶν αὐτῶν καὶ τὴν ἐνταῦθα κατοικίαν, καὶ ἀνεπιβούλευτον αὐτῶν τὴν ζωὴν διαφυλάττων. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΠΙ ΟΙΚΙΑΣ ΠΕΡΙΕΡΓΑΖΟΜΕΝΗΣ ΥΠΟ ΠΟΝΗΡΩΝ ΠΝΕΥΜΑΤΩΝ (*).

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· ὁ τοῖς Χερουβὶμ ἐποχούμενος· ὁ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος· ὁ μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ σου· ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν· ὁ ποιήσας τὴν γῆν ἐν ἰσχύϊ σου, καὶ κατορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ σου· ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται· ὁ λέγων τῷ ἡλίῳ, καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει· ἀπειλῶν τῇ θαλάσσῃ, καὶ ξηραίνων αὐτήν· οὗ ὁ θυμὸς τήκει ἀρχὰς καὶ ἐξουσίας, καὶ πέτραι διετρίβησαν ἀπὸ σοῦ· ὁ πύλας συντρίψας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνθλάσας· ὁ τὸν ἰσχυρὸν δήσας, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσας, τὸν τύραννον τῷ Σταυρῷ σου καταβαλών· ὁ τὸν δράκοντα τῷ ἀγκίστρῳ τῆς ἐνανθρωπήσεώς σου ἑλκύσας, καὶ δεσμοῖς αὐτὸν ζόφου πεδήσας· αὐτὸς οὖν, Κύριε, ἡ ἀσφάλεια τῶν εἰς σὲ ἐλπιζόντων, τὸ ὀχυρὸν τεῖχος τῶν ἐπὶ σοὶ πεποιθότων, ἀπόστησον, φυγάδευσον, καὶ ἀπέλασον πᾶσαν διαβολικὴν ἐνέργειαν, πᾶσαν σατανικὴν ἔφοδον, πᾶσαν ἐπιβουλὴν ἐναντίας καὶ ἀντικειμένης δυνάμεως ἀπὸ τῆς οἰκίας ταύτης, καὶ τῶν ἐν αὐτῇ κατοικούντων, τὴν σημείωσιν τοῦ φοβεροῦ σου κατὰ δαιμόνων τροπαίου τοῦ Σταυροῦ φορούντων, καὶ ἐπικεκλημένων τὸ Ὄνομά σου τὸ ἅγιον. Ναὶ, Κύριε, ὁ τὸν λεγεῶνα τῶν δαιμόνων ἀποδιώξας, καὶ τῷ κωφῷ καὶ ἀλάλῳ καὶ ἀκαθάρτῳ πνεύματι τὴν ἐκ τοῦ κεκρατημένου ὑπ' αὐτοῦ ἀνθρώπου ἀνεπίστροφον ἔξοδον ἐπιτάξας· ὁ πᾶσαν τὴν φάλαγγα τῶν ἀοράτων ἐχθρῶν ἡμῶν ἐξολοθρεύσας, τοῖς δὲ πιστοῖς καὶ ἐπεγνωκόσι σε φήσας· Ἰδοὺ δίδωμι ὑμῖν τὴν

(*) Ἡ Εὐχὴ αὕτη ἐν τῷ Χειρογράφῳ ὑπάρχει συντομωτέρα.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· αὐτὸς, Δέσποτα, πάσης βλάβης καὶ ἐπηρείας ἀνωτέρους πάντας τοὺς ἐν τῷ οἴκῳ τούτῳ διαφύλαξον, ῥυόμενος ἀπὸ παντὸς φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος δαιμονίου μεσημβρινοῦ· ἵνα, τῆς σῆς οἱ σοὶ δοῦλοι καὶ αἱ σαὶ δουλίδες καὶ τὰ νήπια ἀπολαύοντες βοηθείας, καὶ Ἀγγελικῷ στρατοπέδῳ φρουρούμενοι, ὡς εἷς, ἅπαντες ἐν ὁμονοίᾳ πιστῶς ψάλλωσι· Κύριος ἐμοὶ βοηθός· καὶ, Οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος· καὶ πάλιν· Οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ· ὅτι σὺ εἶ ὁ Θεὸς, κραταίωμά μου, ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, Πατὴρ τοῦ μέλλοντος αἰῶνος, καὶ ἡ βασιλεία σου, βασιλεία αἰώνιος· καὶ σοῦ μόνου ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΠΙ ΣΠΟΡΟΥ.

Κύριε, ὁ Θεὸς ἡμῶν, ἐκ τῆς ἀχράντου καὶ παμπλούτου παλάμης σου τὴν προκειμένην πρὸ ὀφθαλμῶν σου τῶν σπερμάτων παροχὴν ἐκομισάμεθα, Δέσποτα, καὶ ταύτην σοι παρακαταθέσθαι δεόμεθα· οὐ γὰρ ἐθαῤῥήσαμεν τοῖς ἀψύχοις τῆς γῆς κόλποις ἐγκαθεῖρξαι ταῦτα, εἰμὴ ἀφορῶμεν εἰς τὸ πρόσταγμα τῆς σῆς μεγαλειότητος, τὸ κελεῦσαν ἐκτεκεῖν καὶ βλαστῆσαι τὴν γῆν, καὶ δοῦναι σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν. Καὶ νῦν δεόμεθά σου, ὁ Θεὸς ἡμῶν· Ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ἄνοιξον ἡμῖν τὸν θησαυρόν σου τὸν μέγαν, καὶ ἀγαθὸν, καὶ οὐράνιον, καὶ ἔκχεον τὴν εὐλογίαν σου, ἕως τοῦ ἱκανωθῆναι, κατὰ τὰς ἀψευδεῖς σου ἐπαγγελίας· καὶ διάστειλον ἀφ' ἡμῶν ἅπαντα τὰ βιβρώσκοντα τὸν καρπὸν τῆς γῆς ἡμῶν, καὶ πᾶσαν παιδείαν δικαίως ἐπαγομένην ἡμῖν διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ τοὺς πολλούς σου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

οἰκτιρμοὺς κατάπεμψον ἐπὶ πάντα τὸν λαόν σου. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν (*).

## ΕΥΧΗ ΕΠΙ ΑΛΑΤΟΣ.

Ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ὁ παραγενόμενος ἐν Ἱεριχῷ ἐπὶ Ἐλισσαίου τοῦ Προφήτου, καὶ τὰ βλαβερὰ ὕδατα ἅλατι θεραπεύσας· αὐτὸς εὐλόγησον τὸ Ἅλας τοῦτο, καὶ μετάβαλε αὐτὸ εἰς θυσίαν ἀγαλλιάσεως. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΗ

## ΕΠΙ ΤΩΝ ΠΡΟΣΦΕΡΟΝΤΩΝ ΑΠΑΡΧΑΣ ΟΠΩΡΑΣ.

Δέσποτα Κύριε, ὁ Θεὸς, ἡμῶν, ὁ τὰ σὰ ἐκ τῶν σῶν προσφέρειν σοι, κατὰ τὴν πρόθεσιν, ἑκάστῳ κελεύσας, καὶ τῶν αἰωνίων σου ἀγαθῶν τούτοις ἀντάμειψιν χαριζόμενος· ὁ τῆς Χήρας τὴν κατὰ δύναμιν προσφορὰν εὐαρέστως δεξάμενος, πρόσδεξαι καὶ τὰ νῦν προσκομισθέντα παρὰ τοῦ δούλου σου (τοῦ δεῖνος), καὶ τοῖς αἰωνίοις σου θησαυροῖς ἐναποθέθαι

(*) Ἀντὶ τῆς παρούσης, τὸ Χειρόγραφον ἔχει τὴν ἐφεξῆς Εὐχήν· « Κύριε, ὁ » Θεὸς ὁ Παντοκράτωρ, ὁ ποιήσας γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς· ὁ ἐξ ἀρχῆς » εἰπών· Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρων σπέρμα κα- » τὰ γένος καὶ καθ' ὁμοιότητα· καὶ μέχρι τοῦ νῦν διὰ τοῦ αὐτοῦ προσ- » τάγματος ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ τελεσφορῶν πάντα βουλήμα- » τι· κατάπεμψον καὶ νῦν τὴν εὐλογίαν σου ἐπὶ τὰ σπέρματα ταῦτα, καὶ εὐ- » δόκησον πολυπλασιασθῆναι τῇ ἰσχύϊ σου. Πλήθυνον τὰ γεννήματα τῆς γῆς· » εὐφρανθήτω ἐν ταῖς σταγόσιν αὐτῆς ἀνατέλλουσα· ἵνα, πληρούμενοι ἐκ τῶν » ἀγαθῶν τοῦ οἴκου σου, πρὸς ἐργασίαν τῶν ἐντολῶν σου διαναστῶμεν. Ὅτι σὺ » εἶ ὁ χορηγὸς τῆς ζωῆς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ μονογε- » νεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν, κτλ »

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ταῦτα καταξίωσον· δωρούμενος αὐτῷ καὶ τῶν ἐγκοσμίων σου ἀγαθῶν ἄφθονον τὴν ἀπόλαυσιν, σὺν πᾶσι τοῖς διαφέρουσιν αὐτῷ. Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΕΥΧΗ ΕΠΙ ΑΛΩΝΟΣ.

Κύριε, ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῶν ἀγαθῶν, ὁ κελεύσας τῇ γῇ ἐξενεγκεῖν καρπὸν διὰ τὴν σὴν εὐσπλαγχνίαν καὶ ἀγαθότητα, εὐλόγησον καὶ πλήθυνον καὶ τὴν Ἅλωνα ταύτην, καὶ τὴν καρποφορίαν τῶν δούλων σου (*)· ἔμπλησον τὰ ταμεῖα αὐτῶν παντὸς ἀγαθοῦ καρποῦ, σίτου, οἴνου, καὶ ἐλαίου· καὶ φύλαξον αὐτοὺς ἀπὸ παντὸς πειρασμοῦ, μετὰ πάντων τῶν προσόντων αὐτοῖς· καὶ φώτισον αὐτοὺς ἐν τῇ ἐπιγνώσει σου, ἵνα, εὐάρεστοί σοι γενόμενοι, καταξιωθῶσι τῶν αἰωνίων σου ἀγαθῶν. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΕΥΧΗ ΤΩΝ ΚΟΛΛΥΒΩΝ.

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε, καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφύειν καρποὺς, εἰς ἀπόλαυσιν καὶ τροφὴν ἡμετέραν· ὁ τοῖς σπέρμασι τοὺς τρεῖς Παῖδας καὶ Δανιὴλ, τῶν ἐν Βαβυλῶνι ἁβροδιαίτων λαμπροτέρους ἀναδείξας· αὐτὸς, πανάγαθε Βασιλεῦ, καὶ τὰ σπέρματα ταῦτα σὺν τοῖς διαφόροις καρποῖς εὐλόγησον, καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας ἁγίασον· ὅτι εἰς δόξαν σὴν, καὶ εἰς τιμὴν τοῦ Ἁγίου (τοῦδε) ταῦτα προετέθησαν παρὰ τῶν σῶν δούλων, καὶ εἰς μνημόσυνον τῶν ἐν εὐσεβεῖ τῇ πίστει τελειωθέντων.

(*) Τὸ Χειρόγραφον ἔχει· «Ἡ πηγὴ τῶν ἀγαθῶν, Δέσποτα Παμβασιλεῦ, καὶ » εὐεργέτα τῶν σῶν ποιημάτων, πρόσδεξαι τῇ ἀγαθότητί σου τὴν καρποφορίαν » τοῦ δούλου σου (δεῖνος) εἰς ὀσμὴν εὐωδίας· καὶ ἔμπλησον αὐτοῦ τὰ ταμεῖα κτλ.».



Παράσχου δὲ Ἀγαθὲ, τοῖς τε εὐτρεπίσασι ταῦτα, καὶ τοῖς τὴν μνήμην ἐπιτελοῦσι, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ τῶν αἰωνίων σου ἀγαθῶν τὴν ἀπόλαυσιν· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τοῦ Ἁγίου (τοῦδε), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΕΥΧΗ

### ΕΙΣ ΦΥΤΕΥΜΑ ΑΜΠΕΛΩΝΟΣ.

Κύριε, Ἰησοῦ Χριστὲ, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ Πατήρ σου ὁ γεωργός ἐστι· σὺ καὶ τοὺς Ἀποστόλους σου ἐκάλεσας κλήματα· σὺ καὶ τὸν Ἰσραὴλ, ὡς ἄμπελον, ἐξ Αἰγύπτου μετῆρας· ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. Οὕτω καὶ νῦν, Δέσποτα, ἐπιφοίτησον ἐπὶ τὸν Ἀμπελῶνά σου τοῦτον· φύτευσον, ῥίζωσον, βάθυνον τὸ ἔλεός σου ἐπ᾿ αὐτῷ· δὸς αὐτῷ φύλακα τὴν βοήθειάν σου· περιχαράκωσον τὰς εἰσόδους καὶ ἐξόδους αὐτοῦ τῇ προνοίᾳ σου· λύτρωσαι αὐτὸν, καὶ πᾶσαν τὴν περιοχὴν αὐτοῦ ἀπὸ πάσης χιόνος, καὶ ζάλης κρυστάλλου φερομένου βιαίως, ἀπὸ φρίκης κρυμοῦ, καὶ πνεύματος καύσωνος· ἀπὸ καταιγίδος καὶ πνεύματος τυφῶνος· ἀπὸ πάσης ἁπαξαπλῶς ἐφόδου ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν. Ἔπιδε, καὶ ἐπίσκεψαι τὴν Ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου· ἵνα ἀποδῷ ἐν καιρῷ τοὺς καρποὺς αὐτῆς, καὶ καταξιωθῶμεν εἰς ὥρας τρυγῆσαι καὶ προσκομίσαι σοι ἐξ αὐτῆς, εἰς τὸ μεταποιηθῆναι εἰς Αἷμα σοῦ τοῦ Χριστοῦ. Σοὶ γὰρ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΠΙ ΤΡΥΓΗΣ ΑΜΠΕΛΟΥ (*).

Ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ὁ εὐδοκήσας Ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τὸν καρπὸν αὐτῆς ἀθανασίας πρόξενον ἀναδείξας, διὰ τῆς τοῦ Πνεύματός σου χάριτος· αὐτὸς καὶ νῦν, Δέσποτα, καὶ τοῦτον τῆς Ἀμπέλου τὸν καρπὸν εὐλόγησον· καὶ δὸς πᾶσι τοῖς μεταλαμβάνουσιν ἐξ αὐτοῦ τὸν ἁγιασμὸν, καὶ τὴν τῆς ψυχῆς προκοπήν· τὸν δὲ συγκαλέσαντα ἡμᾶς, τῆς ἀληθινῆς σου ἀμπέλου μέτοχον ποίησον· ἀνεπηρέαστον τὴν ζωὴν αὐτοῦ διαφύλαξον, εἰρήνην αὐτῷ διαπαντὸς χαριζόμενος, καὶ ταῖς αἰωνίοις σου καὶ ἀναφαιρέτοις δωρεαῖς αὐτὸν κατακοσμῶν. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σοῦ Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(*) Ἐν τῷ Χειρογράφῳ ἡ Εὐχὴ αὕτη τάττεται τῇ ς'. τοῦ Αὐγούστου, καὶ ὀρθότερον ἐπιγράφεται· Εἰς τὴν εὐλόγησιν τῶν σταφύλων. Μετὰ δὲ τὴν συμπλήρωσιν αὐτῆς, τὸ Χειρόγραφον ἔχει· Ὁ Ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Εἶθ' οὕτω τὴν Εὐχήν· «Εὐλόγησον, Κύριε, τὸν καρπὸν κ.τ.λ.» (Ὅρα σελ. 491).

Ἐπὶ δὲ τρυγητοῦ σταφυλῆς καὶ ἐλαίας, ἀπαντᾶται ἡ ἐφεξῆς Εὐχή· «Ὁ προσκυνητὸς Θεὸς καὶ Σωτὴρ τῶν ἁπάντων, ὁ τὴν τῆς ἀμπέλου φυτείαν »τῷ δικαίῳ σου Νῶε ὑποδείξας, καὶ τὸν λαόν σου Ἰσραὴλ τὸν τῆς σταφυλῆς »οἶνον ποτίσας, καὶ εἰς γῆν ῥέουσαν μέλι καὶ γάλα αὐτοὺς ἀγαγών· ὁ τοὺς »ἀμπελῶνας καὶ ἐλαιῶνας εὐλογήσας· αὐτὸς, Δέσποτα, εὐλόγησον καὶ πλήθυνον »τὸν τρυγητὸν τῶν δούλων σου, καὶ τῷ σῷ προστάγματι ὑπερεκχυθήσονται οἱ »ληνοὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου αὐτῶν· ἵνα, τὰ σὰ ἐκ τῶν σῶν δωρεῶν ἀπολαύοντες, δοξάζωμεν, τὸ πανάγιον καὶ προσκυνητὸν ὄνομά σου τοῦ Πατρὸς, »καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, κ.τ.λ.»

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΠΙ ΕΥΛΟΓΗΣΕΩΣ ΟΙΝΟΥ.

Κύριε, ὁ Θεὸς ἡμῶν, ἀγαθὲ καὶ φιλάνθρωπε, ἔπιδε ἐπὶ τὸν Οἶνον τοῦτον, καὶ ἐπὶ τὲς μεταλαμβάνοντας ἐξ αὐτοῦ· καὶ εὐλόγησον αὐτὸν, ὡς ηὐλόγησας τὸ φρέαρ τοῦ Ἰακὼβ, καὶ τὴν κολυμβήθραν τῦ Σιλωὰμ, καὶ τὸ ποτήριον τῶν ἁγίων σου Ἀποστόλων. Ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ εὐλογήσας τὰς ἓξ ὑδρίας, καὶ τὸ ὕδωρ εἰς οἶνον μεταβαλὼν, καὶ τὴν δόξαν σου φανερώσας τοῖς ἁγίοις σου Μαθηταῖς καὶ Ἀποςόλοις· αὐτὸς καὶ νῦν ἐξαπόστειλον, Κύριε, τὸ Ἅγιόν σου Πνεῦμα ἐπὶ τὸν Οἶνον τοῦτον, καὶ εὐλόγησον αὐτὸν ἐπὶ τῷ ὀνόματί σου τῷ ἁγίῳ. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΗ

## ΕΙΣ ΜΕΤΑΛΗΨΙΝ ΣΤΑΦΥΛΗΣ, ΤΗ Ϛ'. ΤΟΥ ΑΥΓΟΥΣΤΟΥ.

Τοῦ Κυρίου δεηθῶμεν.

Εὐλόγησον, Κύριε, τὸν καρπὸν τῦτον τῆς ἀμπέλυ τὸν νέον, ὃν, διὰ τῆς τοῦ ἀέρος εὐκρασίας, καὶ τῶν σταγόνων τῆς βροχῆς, καὶ τῆς τῶν καιρῶν γαλήνης εἰς ταύτην τὴν ὡριμωτάτην στάσιν ἐλθεῖν εὐδόκησας, ἵνα ᾖ ἐν ἡμῖν τοῖς ἐξ αὐτοῦ τοῦ γεννήματος τῆς ἀμπέλου μεταλαμβάνουσιν, εἰς εὐφροσύνην, καὶ τοῖς προσενέγκασι δῶρον, εἰς ἐξιλασμὸν ἁμαρτιῶν, διὰ τοῦ ἱεροῦ καὶ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου· μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΤΑΞΙΣ

## ΓΙΝΟΜΕΝΗ ΕΙΣ ΧΩΡΑΦΙΟΝ, Η ΕΙΣ ΑΜΠΕΛΩΝΑ, Η ΕΙΣ ΚΗΠΟΝ.

εἰ συμβῇ βλάπτεσθαι ὑπὸ ἑρπετῶν, ἢ ἄλλων εἰδῶν.

Χρὴ γίνεσθαι Λειτουργίαν, καὶ ἅπτειν Κανδήλαν τοῦ ἁγίου Τρύφωνος, ἢ τοῦ ἁγίου Εὐσταθίου, ἢ τοῦ ἁγίου Ἰουλιανοῦ τοῦ Λίβυος, ἢ καὶ ἀμφοτέρων. Καὶ μετὰ τὴν θείαν Λειτουργίαν, λαβὼν ἔλαιον ὁ Ἱερεὺς ἐκ τῶν Κανδηλῶν, καὶ ὕδωρ τῶν ἁγίων Θεοφανείων, καὶ ἐπιῤῥαίνων σταυροειδῶς τὸ Χωράφιον, ἢ τὸ Ἀμπέλιον, ἢ τὸν Κῆπον, λέγει τὰς Εὐχὰς ταύτας·

**Τοῦ Κυρίου δεηθῶμεν.**

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἀρχῇ τῆς δημιουργίας σου ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ τὸν μὲν οὐρανὸν κατακοσμήσας διὰ τῶν μεγάλων φωστήρων, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ θαυμάζεσθαι δι' αὐτῶν σὲ τὸν μόνον Δημιουργὸν καὶ Δεσπότην τῆς κτίσεως· τὴν δὲ γῆν κατακοσμήσας χλόῃ, καὶ χόρτῳ, καὶ ποικιλίᾳ σπερμάτων σπορίμων κατὰ γένος, καὶ πᾶσιν ἄνθεσι μορφώσας εἰς εὐκοσμίαν, καὶ εὐλογήσας αὐτήν· αὐτὸς καὶ νῦν, Δέσποτα, ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου σου ἐπὶ τὴν χώραν ταύτην (ἢ τὸν κῆπον ἢ τὴν ἄμπελον), καὶ εὐλόγησον αὐτήν· καὶ διαφύλαξον ἀπὸ πάσης φαρμακείας, καὶ ἐπαοιδίας, καὶ παντὸς κακοῦ, περιεργείας τε πονηρᾶς, καὶ πανουργίας ἀνθρώπων πονηρῶν, καὶ ἀπὸ ἀκρίδας, καὶ βρούχου, καὶ ἐρυσίβης, κάμπης, πάχνης, σκώληκος, καὶ τῶν λοιπῶν· καὶ δὸς αὐτῇ προσφέρειν καρποὺς κατὰ καιρὸν πεπληρωμένους τῆς εὐλογίας σου, καὶ πᾶν θηρίον, καὶ ἑρπετόν, καὶ πᾶσαν ὀργὴν καὶ νόσον, ἐπερχομένην βλαβερῶς, ἀποδίωξον ἐξ αὐτῆς. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Α῾γίου Πνεύματος, νῦν, καὶ ἀεὶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν (*).

---

## ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΤΡΥΦΩΝΟΣ

### Ἐξορκισμὸς εἰς Κήπους, Ἀμπελῶνας, καὶ Χωράφια.

Ὄντος μου ἐν Λαμψάκου κώμῃ, καὶ τὰς χῆνας ἐπιμελουμένου μου καὶ βόσκοντος, ὀργὴ κατῆλθεν ἀπὸ Θεοῦ Παντοκράτορος, οὐκ εἰς τὸν τόπον ἐκεῖνον μόνον, ἀλλὰ καὶ εἰς τὰς κύκλῳ περιχώρους, τουτέστιν ὀργὴ πρὸς πᾶσαν ἄμπελον, χώραν τε, καὶ κῆπον, ἀθρόως τῶν φύλλων καὶ τῶν καρπῶν βριθομένων, μαραινομένων, καὶ ἀφανιζομένων. Ὁρῶν οὖν ἐγὼ ὁ ἐλάχιστος Τρύφων οὕτω τηκομένους τοὺς καρποὺς, καὶ διὰ ταύτην τὴν αἰτίαν δαπανωμένους τοὺς ἀνθρώπους, τῷ παντελεῖ ἀφανισμῷ τῶν καρπῶν τῆς γῆς, τῶν τε χωραφίων, ἀμπέλων, κήπων, καὶ λαχάνων, καὶ παντοίων δένδρων τῷ τοιούτῳ ὀλέθρῳ παραδιδομένων, διαπονηθεὶς, ἐδεήθην πρὸς τὸν Κύριον καὶ Θεόν μου, τοῦ γενέσθαι ἀφανῆ πάντα τὰ θηρία, τὰ πρὸς ἀδικίαν καὶ φθορὰν ὑπάρχοντα τῶν τε κήπων, καὶ χωραφίων, καὶ ἀμπέλων, καὶ παντοίων δένδρων τε καὶ λαχάνων, καὶ μάλιστα τῶν τὴν κώμην ἐκείνην οἰκούντων τῆς παρακειμένης λίμνης, καὶ πρὸς ὑπόκλησιν καὶ πρόσκλησίν μου παραγενομένων· καὶ δὴ εἰς προσευχὴν κλίναντός μου τὸ γόνυ, καὶ τὰς χεῖρας πρὸς τὸν Θεὸν ἐκπετάσαντος, ὁ εἰσακούων τῶν εἰς αὐτὸν πεποιθότων Θεὸς, αὐτὸς ἐξαπέστειλεν ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ Ἄγγελον, τοῦ πατάξαι πᾶν φῦλον καὶ πᾶν γένος κακούργων θηρίων, τῶν ἀδικούντων τὴν ἄμπελον, τὴν χώραν τε, καὶ τὸν κῆπον τῶν δούλων τοῦ Θεοῦ. Καὶ τῶν

(*) Πληρωθείσης τῆς Εὐχῆς ταύτης, τὸ Χειρόγραφον ἔχει· Εἰρήνη πᾶσι.— Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν· καὶ τὴν Εὐχὴν ταύτην ἀμέσως· Δέσποτα Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ ἐνσάρκῳ σου οἰκονομίᾳ κτλ. (Ὅρα σελ. 495). Ὁ δὲ τοῦ ἁγίου Μάρτυρος Τρύφωνος Ἐξορκισμὸς λείπει ἐκ τοῦ Χειρογράφου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

θηρίων τούτων τὰ ὀνόματα σαφῶς ἐπιστάμενος, ἔνθεν ἐρῶ· Κάμπη, Σκώληξ, Σκωληκοκάμπη, Σκάνθαρος, Βροῦχος, Ἀκρὶς, Ἐπίμαλος (*), Καλιγάρις, Μακρόπους, Μύρμηξ, Φθεῖρα, Ῥυγίτης, Ψυλλίτης, Καυσοκόπος, Ἐρυσίβη, Κοχλοὶ, Ψαλίτης, καὶ εἴτι ἄλλο προσφυσοῦν καὶ μαραῖνον τὸν καρπὸν τῆς σταφυλῆς καὶ τῶν λοιπῶν εἰδῶν καὶ λαχάνων· οὐ μὴν δὲ, ἀλλὰ καὶ αὐτὸς ἐγὼ ὅρκῳ ταῦτα ἐδέσμουν, τοῦ μηκέτι τοὺς τόπους τῶν ἐμὲ προσκαλουμένων ἐπιβαίνειν τούτους καὶ διατρίβειν, ἀλλ' ἐπὶ ἀβάτων τόπων ἀπέταξα ἐπελθεῖν. Ὁ δὲ ὅρκος τοιοῦτος ἐστίν.

Ὁρκίζω ὑμᾶς κατὰ τῶν ἁγίων πολυομμάτων Χερουβὶμ, καὶ τῶν ἑξαπτερύγων Σεραφὶμ, τῶν ἱπταμένων κύκλῳ τοῦ θρόνου, καὶ κραζόντων τὸ, Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. Ὁρκίζω ὑμᾶς κατὰ τῶν ἁγίων Ἀγγέλων, καὶ πάσης Δυνάμεως, καὶ τῶν μυρίων μυριάδων, καὶ χιλίων χιλιάδων, τῶν φόβῳ πολλῷ ἱσταμένων κατενώπιον τῆς δόξης Κυρίου· μὴ ἀδικήσητε τὴν ἄμπελον, μήτε τὴν χώραν, μήτε τὸν κῆπον τῶν δένδρων τε καὶ λαχάνων τοῦ δούλου τοῦ Θεοῦ (**τοῦ δεῖνος**), ἀλλὰ ἀπέλθετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα, εἰς ἃ ἐχαρίσατο ὑμῖν ὁ Θεὸς τὴν καθημερινὴν τροφήν. Ὁρκίζω ὑμᾶς κατὰ τοῦ τιμίου Σώματος καὶ Αἵματος Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, δι' οὗ καὶ ἡ σωτηρία ἐδόθη ἡμῖν καὶ ἀπολύτρωσις, καὶ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ μέλλομεν ἀποθνήσκειν· μὴ ἀδικήσητε μήτε τὴν χώραν, μήτε τὴν ἄμπελον, μήτε τὸν κῆπον, μήτε πᾶν δένδρον κάρπιμόν τε καὶ ἄκαρπον, ἢ φύλλον λαχάνων ἀδικήσητε, ἐκ τοῦ περιορισμοῦ καὶ τόπου τοῦ δούλου τοῦ Θεοῦ (**τοῦ δεῖνος**)· εἰ δὲ παρακούσητέ μου, καὶ παραβῆτε τὸν ὅρκον, ὃν ὥρκισα ὑμᾶς, οὐκ ἔχετε πρὸς ἐμὲ τὸν ταπεινὸν καὶ ἐλάχιστον Τρύφωνα, ἀλλὰ πρὸς τὸν Θεὸν τοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. Διὸ, καθὼς προεῖπον ὑμῖν, ὑπάγετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα· εἰ δὲ μὴ ἀκούσητέ μου, ἱκετεύειν μέλλω τὸν φιλάνθρωπον Θεὸν, τοῦ ἀποστεῖλαι τὸν

(*) Ἀναγνωστέον ἴσως, Ἀκρὶς ἐπίμαλλος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἄγγελον αὐτοῦ τὸν ἐπὶ τῶν θηρίων, καὶ σιδήρῳ καὶ μολύβδῳ δήσει ὑμᾶς καὶ ἀποκτενεῖ, ἀνθ' ὧν τοὺς ὅρκους καὶ τὴν προσευχὴν ἐμοῦ τοῦ ταπεινοῦ ἠθετήσατε Τρύφωνος· ἀλλὰ καὶ οἱ στρουθοὶ, πεμπόμενοι δι' ἐμῆς προσευχῆς, καταφάγονται ὑμᾶς. Ἔτι ὁρκίζω ὑμᾶς κατὰ τοῦ μεγάλου Ὀνόματος, τῦ ἐπὶ τῆς πέτρας ἐπιγραφέντος, καὶ μὴ βαςασάσης, ἀλλὰ διαῤῥαγείσης, ὡσεὶ κηρὸς ἀπὸ προσώπου πυρός· Ἐξέλθετε ἐκ τῶν καθ' ἡμᾶς, εἰς οὓς προεῖπον ὑμῖν, τόπους ἀβάτους, καὶ ἀνύδρους, καὶ ἀκάρπους· ἐξέλθετε ἀπὸ τοῦ τόπου καὶ περιορισμοῦ τῶν δούλων τοῦ Θεοῦ, τῶν κᾀμὲ προσκαλουμένων εἰς βοήθειαν αὐτῶν, καὶ ἀντίληψιν, καὶ σωτηρίαν· ἵνα καὶ ἐν τούτοις δοξασθῇ τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς, καὶ τῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, καὶ αἱ προσευχαὶ καὶ αἱ αἰτήσεις τοῦ ταπεινοῦ Τρύφωνος ἐκπληρωθῶσιν. Ὅτι τῷ Θεῷ πρέπει δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ὁ Ἱερεύς·** Εἰρήνη πᾶσιν.

**Ὁ Διάκονος·** Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Δέσποτα Κύριε, Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ ἐνσάρκῳ σῦ οἰκονομίᾳ εὐλογήσας τὴν Βηθλεέμ, καὶ τὴν Γεθσημανῆ, καὶ πρώην τὸν οἶκον Ἰακὼβ, ὃς καὶ εὐλογηθεὶς, Ἰσραὴλ μετωνομάσθη· ὁ καὶ τὸν οἶκον Δαυῒδ εὐλογήσας· αὐτὸς εὐλόγησον καὶ τὴν χώραν (ἢ τὴν ἄμπελον) ταύτην, καὶ ποίησον ἐπ' εὐλογίαις καρποφορεῖν· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποςόλων· τῶν ἁγίων καὶ καλλινίκων Μαρτύρων· τῶν ἁγίων ἐνδόξων, μεγάλων Μαρτύρων Τρύφωνος, Εὐσταθίου, καὶ Ἰουλιανοῦ· τοῦ Ἁγίου (**τοῦδε**), καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΙΣ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΠΟΙΜΝΗΝ.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἔχων ἐξουσίαν πάσης κτίσεως σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν· Ὡς εὐλόγησας καὶ ἐπλήθυνας τὰ ποίμνια τοῦ Πατριάρχου Ἰακὼβ, οὕτως εὐλόγησον καὶ τὴν Ποίμνην τῶν κτηνῶν τούτων τοῦ δούλου σου (τοῦδε)· καὶ πλήθυνον, καὶ ἐνδυνάμωσον αὐτὴν, καὶ ποίησον αὐτὴν εἰς χιλιάδας, καὶ ῥῦσαι ταύτην ἐκ τῆς καταδυναςείας τοῦ διαβόλου, καὶ τῶν ἀλλοφύλων, καὶ πάσης ἐπιβουλῆς ἐχθρῶν, καὶ αὔρας θανατικῆς, καὶ λοιμικῆς νόσου. Περιφρούρησον αὐτὴν δι' ἁγίων Ἀγγέλων σου, πᾶσαν ἀσθένειαν, πάντα φθόνον, καὶ πειρασμὸν φαρμακίας καὶ γοητείας, ἐξ ἐνεργείας ἐπερχομένης τοῦ διαβόλυ, ἀποδιώκων ἐξ αὐτῆς. Ὅτι σοῦ ἐςιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΗ

## ΕΙΣ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΕΔΕΣΜΑΤΑ ΚΡΕΩΝ ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ.

Ποιεῖ ὁ Ἱερεὺς Εὐλογητόν· τὸ, Χριστὸς ἀνέστη γ'. εἶτα, Τοῦ Κυρίου δεηθῶμεν.

Ἐπίσκεψαι, Κύριε Ἰησοῦ Χριςὲ, ὁ Θεὸς ἡμῶν, τὰ ἐδέσματα τῶν κρεῶν, καὶ ἁγίασον αὐτὰ, ὡς ἡγίασας τὸν ἀμνὸν, ὃν σοι προσήγαγεν ὁ πιςὸς Ἀβραὰμ, καὶ τὸν ἀρνὸν, ὅνπερ Ἄβελ σοὶ προσήνεγκεν εἰς ὁλοκάρπωσιν· ὁμοίως καὶ τὸν μόσχον τὸν σιτευτὸν, ὃν θῦσαι ἐκέλευσας τῷ υἱῷ σου τῷ πεπλανημένῳ, καὶ πάλιν ἐπανελθόντι πρὸς σέ· ἵνα, καθὼς αὐτὸς ἠξιώθη τῆς σῆς χάριτος ἀπολαῦσαι, οὕτω καὶ τῶν ἁγιασθέντων ὑπὸ σοῦ καὶ εὐλογηθέντων ἀπολαύσωμεν εἰς τροφὴν πάντων ἡμῶν. Σὺ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

γὰρ εἶ ἡ ἀληθινὴ τροφὴ, καὶ ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

---

# ΕΥΧΗ

## ΕΙΣ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΤΥΡΟΝ ΚΑΙ ΩΑ.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κτίσης καὶ δημιουργὸς τῶν ἁπάντων, εὐλόγησον τὸ Γάλα τὸ πεπηγὸς, σὺν αὐτῷ δὲ καὶ τὰ Ὠά· ἡμᾶς δὲ συντήρησον ἐν τῇ χρηστότητί σου, ὅπως οἱ μεταλαμβάνοντες αὐτῶν, τῶν σῶν ἀφθονοπαρόχων δωρεῶν ἐμπλησθῶμεν, καὶ τῆς ἀνεκλαλήτου σου ἀγαθότητος. Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνως τῶν αἰώνων· Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΙΣ ΤΟ ΚΑΤΑΣΚΕΥΑΣΑΙ ΠΛΟΙΟΝ.

Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ἐντειλάμενος Νῶε τῷ σῷ θεράποντι κατασκευάσαι Κιβωτὸν πρὸς σωτηρίαν τοῦ κόσμου· ὁ ἐκ πολλῶν ξύλων εὐδοκήσας αὐτὴν ἓν ξύλον γενέσθαι καὶ συναρμοσθῆναι· αὐτὸς, Δέσποτα τῶν ἁπάντων, ὁ εὐδοκήσας ἄψυχον ξύλον γενέσθαι, καὶ κυβερνᾶσθαι τῇ κραταιᾷ σου χειρὶ τὸ γένος τῶν ἀνθρώπων· αὐτὸς καὶ νῦν τὸ Πλοῖον τοῦτο διάσωσον. Δὸς αὐτῷ Ἄγγελον ἀγαθὸν, εἰρήνης ὁδηγόν· τοὺς μέλλοντας πλέειν ἐν αὐτῷ διαφύλαξον· δὸς αὐτοῖς καὶ εἰς τὰ ἴδια καταλαμβάνειν ὑγιαίνοντας, εὐχαῖς καὶ ἱκεσίαις τῆς παναχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· τῶν τιμίων, ἐπουρανίων, νοερῶν Δυνάμεων ἀσωμάτων· τοῦ ἁγίου ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν, Ἱεράρχου, καὶ Θαυματουργοῦ Νικολάου· τοῦ Ἁγίου (τοῦδε), καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ λιμὴν ὁ ἀχείμαστος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΙΣ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΔΙΚΤΥΑ.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων πεντακισχιλίους κορέσας, καὶ ἐκ τῶν περισσευμάτων πλῆθος συναχθῆναι παρασκευάσας· αὐτὸς, Δέσποτα παντοδύναμε, καὶ τὰ προκείμενα Δίκτυα εὐλόγησον, διὰ πρεσβειῶν τῆς ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου, καὶ Πρωτοκορυφαίου τῶν Ἀποστόλων Πέτρου· καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας ἰχθύων ἐν εἰρήνῃ καὶ ὑγείᾳ ψυχῆς καὶ σώματος διαφύλαξον. Ὅτι σὺ εἶ ὁ δοτὴρ πάντων τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΠΙ ΟΡΥΞΕΙ ΦΡΕΑΤΟΣ.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ παντοκράτωρ καὶ παντοδύναμος, ὁ ποιῶν πάντα, καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι· ὁ ἐν ἀπόροις πόρους εὑρίσκων, ἀῤῥήτοις λόγοις ἀκαταλήπτου σοφίας, καὶ ἐξ ἀνίκμου πέτρας ὑδάτων παρασκευάσας ῥύηναι χειμάῤῥους, καὶ διψῶντα τὸν σὸν ἐμπλήσας Λαόν· αὐτὸς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ... Σύρου

καὶ νῦν, Δέσποτα τῶν ἁπάντων, ἐπάκουσον ἡμῶν τῆς δεήσεως τῶν ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου, καὶ χάρισαι ἡμῖν ὕδωρ ἐν τῷδε τῷ τόπῳ διειδές τε καὶ πότιμον, ἄφθονον, μὲν πρὸς χρείαν, ἀβλαβὲς δὲ πρὸς ἀπόλαυσιν· ὡς ἂν καὶ ἐν τούτῳ δοξάζωμεν τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΔΙΑΦΟΡΟΥΣ ΛΙΤΑΣ, ΚΑΙ ΑΓΡΥΠΝΙΑΣ ΠΑΡΑΚΛΗΣΕΩΝ (*).

Μετὰ τὸν Εὐλογητὸν, ἀρχόμεθα τοῦ Τρισαγίου· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐςιν ἡ βασιλεία· τὸ, Κύριε ἐλέησον, ιβ'. Δεῦτε προσκυνήσωμεν. γ'. Καὶ ὁ ρμβ'. Ψαλμὸς, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου· καὶ εἰς τὸ τέλος ψάλλεται, Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Εἶτα τὴν μεγάλην Συναπτὴν παρὰ τοῦ Διακόνου.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.
Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου.
Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου.
Ὑπὲρ τῆς ἁγίας Μονῆς.
Ὑπὲρ εὐκρασίας ἀέρων.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου.
Ἐκφώνησις· Ὅτι πρέπει σοι πᾶσα δόξα.

(*) Ἡ παροῦσα Ἀκολουθία οὐκ ἀπαντᾶται ἐν τῷ Χειρογράφῳ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εἶτα τὸ, Θεὸς Κύριος, εἰς Ἦχον πλ. β'. καὶ τὰ Τροπάρια ταῦτα,

Ἦχος ὁ αὐτός.

Ελέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· Ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ἀρχόμεθα στιχολογεῖν τοὺς Ψαλμοὺς μετὰ μέλους, εἰς Ἦχον πλ. β'. ψάλλοντες κατὰ στίχον,

Τροπάριον, Ἦχος πλ. β'.

Εὔσπλαγχνε, μακρόθυμε, καὶ πανοικτίρμον Κύριε, κατάπεμψον τὸ ἔλεός σου ἐπὶ τὸν λαόν σου.

## ΨΑΛΜΟΣ Ϛ'.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σύ, Κύριε, ἕως πότε;

Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;

Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.



Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου·

Ἤκουσε Κύριος τῆς δεήσεώς μου· Κύριος τὴν προσευχήν μου προσεδέξατο.

Αἰσχυνθείησαν, καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν, καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

Δόξα.

Ὡς οἰκτίρμων, Κύριε, σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου· ὡς μακρόθυμος διαλλάγηθι, καὶ ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Παναγία Δέσποινα, πανύμνητε εὐλογημένη, ὡς φιλάγαθος παρακάλεσον, καὶ ἐλέησον ἡμᾶς.

Εἶτα λέγει ὁ πρῶτος τῶν Ἱερέων μίαν Εὐχήν, κατὰ τὴν Λιτήν· ὁ δὲ Διάκονος Συναπτὴν μικράν.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία.

Καὶ ἀρχόμεθα τῆς δευτέρας Στάσεως, εἰς Ἦχον πλ. β'.

Ἐλεῆμον, ἐλέησον, ἐλέησον, ἐλέησον ἡμᾶς, Κύριε.

Καὶ στιχολογεῖται ὁ Ψαλμὸς μετὰ μέλους.

## ΨΑΛΜΟΣ ΡΑ'.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου.

Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.

Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.

Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς ϛρυθίον μονάζον ἐπὶ δώματος.

Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.

Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.

Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέῤῥαξάς με.

Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.

Σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.

Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός.

Ὅτι εὐδόκησαν οἱ δοῦλοί σοι τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι.

Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου.

Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.

Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.

Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν· καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.

Ὅτι ἐξέκυψεν ἐξ ὕψυς ἁγίου αὐτοῦ, Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε.

Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ.

Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ.

Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ· Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου· ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.

Κατ᾽ ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί.

Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται.

Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

Δόξα.

Ὡς οἰκτίρμων, Κύριε, σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου· ὡς μακρόθυμος διαλλάγηθι, καὶ ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Παναγία Δέσποινα, πανύμνητε εὐλογημένη, ὡς φιλάγαθος παρακάλεσον, καὶ ἐλέησον ἡμᾶς.

Καὶ ὁ δεύτερος τῶν Ἱερέων ἑτέραν Εὐχήν.

Εἶτα Συναπτὴ μικρά.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας, ἀχράντου.

Ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος.

Καὶ πάλιν τὸ Τροπάριον, Ἦχος πλ. β΄.

Ὡς οἰκτίρμων, Κύριε, σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου· ὡς μακρόθυμος διαλλάγηθι, καὶ ἐλέησον ἡμᾶς.

Καὶ ὁ μετὰ μέλους.

## ΨΑΛΜΟΣ ΟΗ΄.

Ὁ Θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου.

Ἔθεντο Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον· ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου, βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ· τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.

Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ, κύκλῳ Ἱερουσαλήμ, καὶ οὐκ ἦν ὁ θάπτων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.

Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος; ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;

Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο.

Ὅτι κατέφαγον τὸν Ἰακὼβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.

Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων· ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα.

Βοήθησον ἡμῖν, ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν· ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς· καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Μήποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.

Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων.

Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου, περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν· τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε, Κύριε.

Ἡμεῖς δὲ, λαός σου καὶ πρόβατα νομῆς σου, ἀνθομολογησόμεθά σοι, ὁ Θεὸς, εἰς τὸν αἰῶνα.

Εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

Δόξα.

Ὡς οἰκτίρμων, Κύριε, σπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου· ὡς μακρόθυμος διαλλάγηθι, καὶ ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Παναγία Δέσποινα, πανύμνητε εὐλογημένη, ὡς φιλάγαθος παρακάλεσον, καὶ ἐλέησον ἡμᾶς.

Εἶτα τὸ α΄. Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄. Ἤχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. Δίς.

Οἱ μισοῦντες Σιὼν, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. Δίς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Εἶτα· Πᾶσα πνοή, Εὐαγγέλιον, κατὰ τὴν Λιτήν, καὶ ὁ Κανὼν παρομοίως· καὶ Ἀπόλυσις.

---

# ΕΥΧΗ

## ΠΑΡΑΚΛΗΤΙΚΗ ΕΙΣ ΠΑΣΑΝ ΛΙΤΗΝ.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ μόνος ἐν ἐλέει πλούσιος, ὁ καὶ σπλάγχνοις χρηστότητος ἐπικαμπτόμενος ἐπὶ ταῖς δεήσεσιν ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἀναξίων δούλων σου· ὁ πάντα συμφερόντως τὰ καθ' ἡμᾶς διϊθύνων καὶ διακυβερνῶν· ὁ σοφῇ σου προνοίᾳ τὸν ἡμέτερον βίον διεξάγων· ὁ καὶ παντὶ τρόπῳ τὴν σωτηρίαν ἡμῶν ἐφιέμενος· ὁ φύσει μακρόθυμός τε καὶ πολυέλεος· ὁ παιδεύων καὶ πάλιν ἰώμενος, καὶ τὴν παιδείαν ἐκτείνων χρηςῶς τε καὶ φιλανθρώπως, ἀλλ' οὐκ ἐπὶ τὸ ἀπολέσαι τῶν χειρῶν σου τὸ πλάσμα, μᾶλλον δὲ πρὸς τὸ ἀρχαῖον ἐπανασώσασθαι κάλλος, καὶ τὴν πρώτην ἐκείνην εὐγένειαν, ἣν ἀπωλέσαμεν ἁπλότητι γνώμης καὶ συμβουλίᾳ ἀλάστορος, ἐπαναγαγεῖν βουλόμενος, καὶ, πᾶσι τρόποις διοικονομούμενος, ἐπανασώσασθαι τὸ τῆς ἐκπτώσεως ἐκείνης ἐλλεῖπον· αὐτὸς, Δέσποτα παντοκράτορ, ἔπιδε ἐφ' ἡμᾶς, καὶ πρόσχες ταῖς δεήσεσιν ἡμῶν τῶν ἁμαρτωλῶν· τὸ γὰρ πλῆθος τῶν ἀνομιῶν ἡμῶν ἀπαῤῥησιάστους ἡμᾶς πεποίηκε, καὶ μηδὲ τολμᾷν ὅλως αἰτεῖσθαι τὴν τῶν ἐπταισμένων συγχώρησιν. Ἀλλ' εἰδότες σου τὸ φιλάνθρωπον, τὸ εὔσπλαγχνον, τὸ πολυέλεον, τὸ μακρόθυμον, τὸ ἀνεξίκακον, καὶ τὸ ὑπεράγαθον, ἀποτολμῶντες τῷ βάθει τούτων, καὶ τῷ πελάγει τῆς χρηστότητός σου, αἴρομεν χεῖρας,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ ἐκτενῶς βοῶμέν σοι· Ἡμάρτομεν, ἠνομήσαμεν, ἠσεβήσαμεν, ὅτι ἐπελαθόμεθα τῶν ἐντολῶν σου, καὶ ὀπίσω τῆς διανοίας ἡμῶν τῆς πονηρᾶς ἐπορεύθημεν· ὅτι ἀναξίως τῆς κλήσεως, καὶ τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ σου πεπολιτεύμεθα, καὶ τῶν ἁγίων αὐτοῦ Παθημάτων, καὶ τῆς ὑπὲρ ἡμῶν κενώσεως· ὅτι ἐγενήθημεν ὄνειδος τῷ ἀγαπητῷ σου (*). Ἱερεῖς καὶ ὁ λαός σου ἐξέστημεν ἐπὶ τὸ αὐτό· πάντες ἐξεκλίναμεν, ἅμα ἠχρειώθημεν, οὐκ ἔςι ποιῶν κρίμα καὶ δικαιοσύνην, οὐκ ἔστιν ἕως ἑνός· ἀπεκλείσαμεν τοὺς οἰκτιρμούς σου καὶ τὴν φιλανθρωπίαν σου, καὶ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, διὰ τὴν κακίαν ἡμῶν, καὶ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων, μεθ' ἧς ἀνεστράφημεν. Σὺ χρηςός, ἀλλ' ἡμεῖς ἠνομήσαμεν. Σὺ μακρόθυμος, ἀλλ' ἡμεῖς πληγῶν ἄξιοι· γινώσκομέν σȣ τὴν ἀγαθότητα, καίπερ ἀσυνετοῦντες· ὀλίγα, ὧν ἡμάρτομεν, μεμαστιγώμεθα. Σὺ φοβερὸς, καὶ τίς ἀντιστήσεταί σοι; Τρόμος λήψεται ἀπὸ σοῦ ὄρη· καὶ μεγέθει βραχίονός σȣ τίς ἀντερήσει; ἐὰν κλείσῃς τὸν οὐρανὸν, τίς ἀνοίξει; καὶ ἐὰν κλείσῃς τοὺς καταῤῥάκτας σου, τίς συνάξει; Κοῦφον ἐν ὀφθαλμοῖς σου πτωχίσαι καὶ πλουτίσαι ζωῶσαι καὶ θανατῶσαι, πατάξαι καὶ ἰάσασθαι, καὶ τὸ θελῆσαί σου, πρᾶξις ἐςὶ συντετελεσμένη. Σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν, λέγει τις τῶν πάλαι, ἀνθομολογούμενος. Ἡμῖν δὲ καὶ τὸ ἐναντίον καιρὸς εἰπεῖν· Ἡμεῖς ἡμάρτομεν, καὶ σὺ ὠργίσθης· διὰ τȣτο ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν· ἀπέστρεψας τὸ πρόσωπόν σου, καὶ ἀτιμίας ἐπλήσθημεν. Ἀλλὰ κόπασον, Κύριε· ἄνες, Κύριε, ἱλάσθητι, Κύριε· μὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὰς ἀνομίας ἡμῶν, μηδὲ διὰ τῶν ἡμετέρων μαστίγων παιδεύσῃς ἄλλους. Δὸς ἡμᾶς διὰ τῆς ἑτέρων βασάνου σωφρονισθῆναι τινὰς τούτων τῶν ἐθνῶν, τῶν οὐ γινωσκόντων σε, καὶ βασιλειῶν, αἳ τῷ σῷ κράτει οὐχ ὑπετάγησαν. Ἡμεῖς δὲ λαός σου, καὶ ῥάβδος κληρονομίας σου· διὰ τοῦτο παίδευσον ἡμᾶς· πλὴν ἐν χρηςότητι, καὶ μὴ τῷ θυμῷ σου· ἵνα μὴ ὀλιγοστοὺς ἡμᾶς ποιήσῃς, καὶ παρὰ πάντας

(*) Ἴσως, τῷ ἀγαπητῷ σου Υἱῷ. — Τὴν δὲ παροῦσαν Εὐχὴν οὐκ ἔχει τὸ Χειρόγραφον.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τοὺς κατοικοῦντας τὴν γῆν ἐξουδένωμα· τὸ γὰρ ἔλεός σου ἄφατον, καὶ ἡ φιλανθρωπία σου ἀνυπέρβλητος, καὶ ὁ τῆς χρηστότητός σου πλοῦτος ἀνεξιχνίαςος· ἐφ' οἷς καὶ τεθαῤῥηκότες, δεόμεθα καὶ ἱκετεύομεν, κάμνοντες γόνυ καρδίας ἡμῶν· Κόπασον τὴν θραῦσιν τῆς ὀργῆς σȣ, ἐξαιτούμεθα, ὡς ἐπὶ τοῦ Δαυῒδ πάλαι τὴν ἐπὶ τῷ λαῷ σου· κἂν οὐχ ὁμοίαν καὶ τὴν μετάνοιαν ἐπιδεικνύμεθα, ἀλλ' ὡς ὑπεράγαθος, ςῆσον τὴν ὀργήν σου, καταπράϋνον τὸν θυμόν σου τὸν δίκαιον· καὶ δὸς τοῖς κάμνουσι τὴν ὑγείαν, τοῖς ἀσθενοῦσι τὴν ῥῶσιν· τοὺς δὲ ὑγιαίνοντας τήρησον ἐν ταύτῃ. Πᾶσαν δὲ νόσον καὶ πᾶσαν μαλακίαν ἀπέλασον ἐκ τοῦ λαοῦ σου· πάντας τῆς προσδοκίας ταύτης ἐλευθέρωσον, συντηρῶν ἀνεπηρεάστους τῆς αἰκισάσης ἀσθενείας, καὶ φυλάττων τῇ παντοκρατορικῇ σου χειρὶ ἀπροσψαύστους τῆς δεινῆς ταύτης κακώσεως καὶ ὀλεθρίου συντριβῆς· ὄντως γὰρ συνέχεε πάντας καὶ συνετάραξεν ὁ θυμὸς τῆς ὀργῆς σου· κἂν οὐκ ἐπιστρέψωμεν ὅλως ἐκ τῶν πονηριῶν ἡμῶν, ἀλλὰ καὶ ἀπάλλαξον τοῦ κακοῦ συνειδότος πάντας, καὶ δὸς ἐν πάσῃ ἀγαθοεργίᾳ εὐαρεστεῖν σοι· πρεσβείαις τῆς πανυπερενδόξου ἁγνῆς Θεομήτορος, καὶ ἀειπαρθένου Μαρίας· προστασίαις τῶν ἁγίων καὶ θεοειδῶν Ἀγγέλων, καὶ πάντων τῶν Ἁγίων. Ὅτι σὺ εἶ ἡ τοῦ ἐλέους πηγὴ, καὶ τῆς εὐσπλαγχνίας ἀνεξιχνίαστος ἄβυσσος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ, καὶ ζωοποιῷ σȣ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΠΟΣΤΟΛΟΣ ΚΑΙ ΕΥΑΓΓΕΛΙΟΝ

## ΕΙΣ ΑΝΟΜΒΡΙΑΝ (*).

Προκείμενον τοῦ Ἀποστόλου.

Τὰς αὔλακας αὐτῆς μέθυσον.

Στίχ. Ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται.

Καθολικῆς Ἐπιστολῆς Ἰακώβου τὸ Ἀνάγνωσμα.

Κεφ. έ. 7.

Ἀδελφοί, μακροθυμήσατε ἕως τῆς παρουσίας τοῦ Κυρίου· ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ, ἕως λάβῃ ὑετὸν πρώϊμον καὶ ὄψιμον. Μακροθυμήσατε καὶ ὑμεῖς, στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ Κυρίου ἤγγικε. Μὴ στενάζετε κατ' ἀλλήλων, ἀδελφοί, ἵνα μὴ κατακριθῆτε· ἰδοὺ ὁ κριτὴς πρὸ τῶν θυρῶν
Διακοπ. στίχ. 17. ἕστηκεν. Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι· καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς, καὶ μῆνας ἕξ. Καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάςησε τὸν καρπὸν αὐτῆς.

Ἀλληλούϊα.

Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ις'. 1.

Τῷ καιρῷ ἐκείνῳ, προσελθόντες τῷ Ἰησοῦ οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι, πειράζοντες ἐπηρώτησαν αὐτόν, σημεῖον ἐκ τοῦ οὐρανοῦ δεῖξαι αὐτοῖς. Ὁ δὲ ἀποκριθείς, εἶπεν αὐτοῖς· Ὀψίας γενομένης λέγετε, Εὐδία· πυῤῥάζει γὰρ ὁ οὐρανός. Καὶ πρωΐ, Σήμερον χειμών· πυῤῥάζει γὰρ στυγνάζων ὁ οὐρανός.

(*) Ὁ μὲν Ἀπόςολος ἐν τῷ Χειρογράφῳ· «Ἀδελφοί, ὑπόδειγμα λάβετε »τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας.... (Κεφ. έ. 10.) τέλος. »καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν τῆς γῆς». — Τὸ δὲ Εὐαγγέλιον, κατὰ Λουκᾶν· (Κεφ. Δ'. 22). Τῷ καιρῷ ἐκείνῳ, ἐθαύμαζον οἱ ὄχλοι ἐπὶ τοῖς λόγοις.... τέλος· ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὑποκριταί, τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε; Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς Προφήτης δεκτός ἐςιν ἐν τῇ πατρίδι αὐτοῦ· ἐπ' ἀληθείας δὲ λέγω ἡμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἡλιοῦ ἐν τῷ Ἰσραὴλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία, καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας, εἰμὴ εἰς Σάρεπτα τῆς Σιδῶνος, πρὸς γυναῖκα χήραν. Λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι· Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ; Οἱ Πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον· Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν· ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν, ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

Διακ. Λουκ. Κεφ. Δ'. 24.

Διακ. Ἰωάν. Κεφ. ϛ'. 30.

---

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΠΙ ΑΥΧΜΩ ΑΝΟΜΒΡΙΑΣ.

### Ἡ Ἐκτενὴς παρὰ τοῦ Διακόνου.

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ ἀναμένων αὐτοῦ τὴν ἐπιστροφὴν καὶ τὴν μετάνοιαν, ἐπάκουσον ἡμῶν δεομένων σου.

Ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἔντειλαι αὐταῖς τοῦ δοῦναι ὑετὸν εἰρηνικὸν ἐπ' αὐτῇ, ἡμῶν δεομένων σου.

Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς, κατάπεμψον τὴν εὐλογίαν σου ἐφ' ἡμᾶς δεομένους σου.

Ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις, καὶ ἑτοιμάζων τῇ γῇ ὑετὸν, ἐξαπόστειλον ἡμῖν τὰ ἐλέη σου δεομένοις σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, σῶσον ἀνθρώπους σὺν κτήνεσι, δεομένȣς σου.

Βροχὴν ἑκούσιον, καὶ ὄμβρον εἰρηνικὸν ἀφόρισον τῇ γῇ, καὶ σῶσον τὰ σύμπαντα Φιλάνθρωπε, ἡμῶν δεομένων σου.

Κατάπεμψον τοὺς ὑετούς σου ἐπὶ τοὺς χρήζοντας καὶ δεομένους τόπους, Φιλάνθρωπε, ἡμῶν δεομένων σου.

Οἰκτίρμον καὶ ἐλεῆμον οἰκτείρησον, καὶ εὔφρανον ἡμᾶς, φιλάνθρωπε, δεομένους σου.

Εἰσάκουσον ἡμῶν, ὁ Θεὸς, ὅτι χρηστὸν τὸ ἔλεός σου, καὶ ἐλέησον ἡμᾶς, τῇ εὐσπλαγχνίᾳ σου, δεομένους σου.

Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος πάλιν·

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν Πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας, ἀκρίδος, χαλάζης, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· καὶ ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν τὴν καθ' ἡμῶν κινȣμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτȣ̃ ἀπειλῆς· καὶ ὑπὲρ τοῦ καταπέμψαι ἡμῖν ὑετὸν εἰρηνικὸν, καὶ ἐπομβρῆσαι τῇ γῇ ὄμβρον ἀγαθότητος, καὶ ἐλεῆσαι ἡμᾶς.

Καὶ ὁ Ἱερεύς·

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΚΑΝΩΝ ΙΚΕΤΗΡΙΟΣ

## ΕΙΣ ΤΟΝ ΦΙΛΑΝΘΡΩΠΟΝ ΚΥΡΙΟΝ

### ΕΙΣ ΑΝΟΜΒΡΙΑΝ,

*Οὗ ἡ ἀκροστιχὶς, ἄνευ τῶν Θεοτοκίων·*
Δίδου ὑετὸν τῇ γῇ διψώσῃ Σῶτερ. Ἐν δὲ τοῖς Θεοτοκίοις· Φῶς πιστῶν.

Ὠδὴ ά. Ἦχος β'. Δεῦτε λαοὶ, ᾄσωμεν.

Δέχου Σωτὴρ, δέησιν ἐξ ἀναξίων ἡμῶν, στομάτων, καὶ κατάπεμψον, ἐξ οὐρανοῦ τῇ γῇ, ὑετοὺς καρποφόρους, φιλάνθρωπος ὑπάρχων καὶ πολυέλεος.

Ἱλάσθητι νῦν, Κύριε ταῖς ἁμαρτίαις ἡμῶν, καὶ τὴν ὀργὴν παράγαγε, τὴν καθ' ἡμῶν Σωτὴρ, ἐκχυθεῖσαν δικαίως, καὶ δίδου οὐρανόθεν, ὄμβρους ὑδάτων τῇ γῇ.

Δεῦτε βροτοὶ, κλαύσωμεν πρὸς τὸν τῶν ὅλων Θεὸν, ἐν κατανύξει κράζοντες· Φεῖσαι Φιλάνθρωπε, ἡμετέρων πταισμάτων, καὶ πέμψον οὐρανόθεν, ὕδωρ διψώσῃ τῇ γῇ.

Θεοτοκίον.

Φῶς διὰ σοῦ, ἔγνωμεν Θεογεννήτρια· διό σε ἱκετεύομεν, καὶ ἐξαιτούμεθα· Δυσωποῦσα μὴ παύσῃ, τὸν Κτίστην καὶ Υἱόν σου, πέμψαι τῇ γῇ ὑετόν.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Ὁ πᾶσαν τῇ δρακὶ κατέχων Κύριε, τὴν κτίσιν ἐπάκουσον ὡς οἰκτίρμων, τῆς δεήσεως τῶν δούλων σου, καὶ κατάπεμψον ὕδωρ ἐπὶ πᾶσαν τὴν γῆν.

Ὑπάρχον ἀγαθὸς καὶ εὐδιάλλακτος, ὡς ἔχων τὴν ἄβυσσον εὐσπλαγχνίας, μὴ παρίδῃς τὰς δεήσεις ἡμῶν, ἀλλὰ πέμψον ἡμῖν εἰρηνικὸν ὑετόν. Θεοτοκίον.

Ὡς ἔχουσα Ἁγνὴ πρὸς τὸν φιλάνθρωπον, Υἱόν σου εὐπρόσδεκτον παῤῥησίαν, ἐκδυσώπει τοῦ δοθῆναι τῇ γῇ, ὑετοὺς καρποφόρους μεσιτείαις σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ δ'. Ὑμνῶ σε, ἀκοήν.

Ὑψόθεν, ἐφ' ἡμᾶς ἐπίβλεψον, Ἀγαθὲ τὰς ἡμαρτηκότας, καὶ δώρησαι Κύριε, τὸ ἔλεός σου ἐπὶ πᾶσαν τὴν γῆν, καὶ κατάπεμψον δεόμεθα, πλουσίως τὰ ἐλέη σου φιλάνθρωπε.

Ἐπῆλθεν, ἐφ' ἡμᾶς Φιλάνθρωπε, ἁμαρτήσαντας ἡ ὀργή σου· οὐρανοὺς ἔκλεισε, μὴ δοῦναι ὑετοὺς τῇ γῇ σου· διὸ δυσωποῦμέν σε οἱ δοῦλοί σου· Μὴ τῷ θυμῷ σου Λόγε ἐκπαιδεύσῃς ἡμᾶς.

Τὸν πλοῦτον, ὅν περ ἡμῖν ἔδωκας, ἀνηλώσαμεν ἐν ἀσωτίᾳ· ἀλλ' ὡς ἔχων Κύριε, τὴν ἄβυσσον τῆς εὐσπλαγχνίας, Πατὴρ ἀγαθὸς ὢν παρακλήθητι, καὶ ὑετοὺς παράσχου ἐτησίους τῇ γῇ.

Ὁ κράσεις, μεταβάλλων Κύριε, τοῦ ἀέρος προστάγματί σου, ἑκούσιον δώρησαι, βροχὴν ἡμῖν ἀφορισθῆναι, καρποὺς εὐθηνίας ἀποστέλλων, τοῦ ἐμπιπλᾷν πᾶν ζῶον εὐδοκίας σου.

Νεφέλας, ὁ ἀνάγων Κύριε, ἐξ ἐσχάτου τῆς γῆς βουλήσει, καὶ ἀστραπὰς φαίνειν τε, τοῦ βρέχειν ἐπὶ πᾶσαν κτίσιν· αὐτὸς ὡς φιλάνθρωπος εὐδόκησον, τοῦ καταπέμψαι ἄνωθεν τῇ γῇ ὑετόν.

Θεοτοκίον.

Σὺ Μήτηρ, Θεοτόκε γέγονας, τοῦ Θεοῦ ἡμῶν· ὅθεν πίστει, αἰτῦμέν σε ἅπαντες, ὡς ἔχουσαν τὴν παῤῥησίαν· Αὐτὸν ἐκδυσώπει ὑπὲρ πάντων ἡμῶν, τοῦ καταπέμψαι ὕδωρ ἐπὶ πᾶσαν τὴν γῆν.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Ταῖς ἱκεσίαις Σωτὴρ, τῶν Ἀσωμάτων εὐμενῶς ἄκουσον, πάντων ἡμῶν, ἀεὶ δυσωπούντων, καὶ δίδου ὑετὸν τῇ γῇ σου διψώσῃ, ὡς μόνος φιλάνθρωπος.

Ἡ δωδεκὰς Μαθητῶν, σὺν Ἀθληταῖς πρὸς τὸν Θεὸν δέησιν, ὑπὲρ ἡμῶν, ποιήσασθε, ὅπως λυτρώσηται ἡμᾶς, ἐκ πάσης ἀνάγκης, ὀργῆς τε καὶ θλίψεως.

Γενοῦ ἡμῖν εὐμενὴς, ἐν τῷ καιρῷ τῶν πειρασμῶν Κύριε, καὶ ἀπειλῆς, τῆς ἐπικειμένης διάσωσον ἡμᾶς, καὶ πέμψον τῇ γῇ σου, βροχὴν τὴν ἑκούσιον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Θεοτοκίον.

Πάντες μεσίτιν σε νῦν, πρὸς τὸν Θεὸν οἱ γηγενεῖς ἔχομεν, ὡς ἀληθῶς· διὸ ἐξαιτοῦμεν· Τῇ σκέπῃ σου Ἁγνὴ, τὴν πόλιν σου σῶζε, ἐκ πάσης ἁλώσεως.

Ὠδὴ ϛʹ. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἡ πληθὺς τῶν Μαρτύρων πρεσβεύσατε, ἔχοντες πρὸς Κύριον, ὡς παῤῥησίαν πολλὴν, νῦν ὑετὸν δωρήσασθαι, καὶ καρπὸν εὐφορίας ἐν πάσῃ τῇ γῇ.

Δυσωποῦμεν πρεσβείαις τῶν σῶν Μαθητῶν· Ἄνες, ἄφες Κύριε, τὰς ἁμαρτίας ἡμῶν, καὶ τὴν ὀργὴν ἀπόστρεψον, ἀφ' ἡμῶν, καὶ παράσχου τῇ γῇ ὑετόν.

Ἱκετεύομεν Δέσποτα Κύριε, σὲ ὡς ἀγαθὸν καὶ φιλάνθρωπον, πόθῳ ψυχῆς· Φεῖσαι ἡμῶν καὶ δώρησαι, ὑετοὺς καρποφόρους διψώσῃ τῇ γῇ.

Θεοτοκίον.

Ἱκετεύειν μὴ παύσῃ δεόμεθα, τὸν Υἱόν σου πάναγνε, Θεογεννήτρια, ὑπὲρ ἡμῶν τῶν δούλων σου, εἰρηνεῦσαι καὶ σῶσαι ἐκ πάσης ὀργῆς.

Ὠδὴ ζʹ. Εἰκόνος χρυσῆς.

Ψυχῶν ἀγαθὲ, κυριεύοντα πασῶν σε ἐπιστάμενοι, ἐκδυσωποῦμεν· Φεῖσαι, σύγγνωθι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ τῆς ἐνεστώσης δικαίας, ἀπειλῆς ἡμᾶς λύτρωσαι, καὶ δώρησαι ὡς ἀγαθὸς, ὄμβρους διψώσῃ τῇ γῇ.

Ὡς πρὶν Μανασσῆν, ἐκ τοῦ ζώου τοῦ χαλκοῦ μετανοήσαντα, Σῶτερ ἐῤῥύσω, καὶ διέσωσας, θανατηφόρου συμπτώματος, εὔσπλαγχνε οἰκτίρμον παράσχου, καὶ ἡμῖν τὰ ἐλέη σου, καὶ διαφύλαξον ἡμᾶς, ἀπὸ λιμοῦ καὶ σεισμοῦ.

Σπλαγχνίσθητι νῦν, ἐφ' ἡμᾶς ὡς ἀγαθὸς καὶ ἐλεήμων· καὶ γὰρ ἡμάρτομεν, ἠνομήσαμεν, καὶ ἠδικήσαμεν ἅπαντες· ὅθεν δυσωποῦμέν σε φόβῳ· Μὴ τῇ ὀργῇ σου φιλάνθρωπε, παιδεύσῃς κλῆρον καὶ λαὸν, ἀλλ' ὕδωρ πέμψον τῇ γῇ.

Θεοτοκίον.

Σὲ πάντες βροτοὶ, καταφύγιον στεῤῥὸν καὶ ὅπλον ἄμαχον, Θεογεννῆτορ ἐπιστάμεθα, καὶ δυσωποῦμεν οἱ δοῦλοί σου· Ῥῦσαι ἀπειλῆς τῶν βαρβάρων, τὸν λαὸν καὶ τὴν πόλιν σου, ἀπὸ λιμοῦ τε λοιμοῦ, σεισμοῦ καὶ πάσης φθορᾶς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ἠλίας λόγῳ ὑετόν, ἀναστέλλει ἐπὶ γῆς, καὶ πάλιν λόγῳ, οὐρανόθεν κατάγει· διὸ αἰτοῦμεν· Αὐτοῦ, πρεσβείαις Οἰκτίρμον κατάπεμψον, ὑετοὺς ὑδάτων, τῇ γῇ σου οὐρανόθεν.

Σὺν Ἀσωμάτων τοῖς χοροῖς, Ἀποστόλων Προφητῶν καὶ τῶν Μαρτύρων, Ἱερέων ὁ δῆμος, καὶ τῶν Ὁσίων πληθύς, ὡς Κτίστην τῶν ὅλων καὶ Κύριον, σὲ καθικετεύει, σῶσαι τοὺς σὲ ὑμνοῦντας.

Ὡς Ἰωνᾶν ἐκ τοῦ θηρός, καὶ θαλάσσης ὡς Θεὸς ἀπελυτρώσω, Δανιὴλ ἐκ τοῦ λάκκου, καὶ τῶν θηρῶν Ἀγαθὲ ὡσαύτως εἰσάκουσον δούλων σου, καὶ ῥῦσαι ἐκ πάσης, ἀνάγκης τὸν λαόν σου.

Θεοτόκιον.

Τὴν σὲ τεκοῦσαν Ἰησοῦ, Θεοτόκον εἰς πρεσβείαν νῦν κινοῦμεν, οἰκτειρῆσαι καὶ σῶσαι, ἡμαρτηκότα Λαόν· καὶ πάλιν πόθῳ σοι προσφεύγοντα, καὶ ὑπερυψοῦντα, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Τῇ γῇ διψώσῃ Οἰκτίρμον, καὶ ἡμῶν ἐξαιτούντων, τὴν σὴν φιλανθρωπίαν ἀγαθέ, ἵλεως Δέσποτα φάνηθι, ὡς Θεὸς παντοκράτωρ· καὶ δώρησαι ἡμῖν ὡς ἀγαθός, ὑετοὺς καρποφόρους, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἐλέησον Ἐλεῆμον, τῶν χειρῶν σου τὸ ἔργον· συγχώρησον ἡμῖν ὡς ἀγαθός· μὴ τῷ θυμῷ σου ἐλέγξῃς λαόν· ἀλλὰ κλῖνον τὸ οὖς σου, καὶ πρόσχες τῇ δεήσει νῦν ἡμῶν, καὶ παράσχου τῇ γῇ σου, ὄμβρους ὑδάτων Κύριε.

Ῥῦσαι ἐθνῶν καὶ βαρβάρων, καὶ παντὸς πολεμίου, τὴν πόλιν σου καὶ πάντα τὸν λαόν, καὶ ὑετοὺς ἡμῖν δώρησαι, καρποφόρους Οἰκτίρμον, εἰς εὐθηνίαν πάντων τῶν καρπῶν, καὶ σωτηρίαν πᾶσι, κατάπεμψον φιλάνθρωπε.

Θεοτοκίον.

Νενοσηκότας ὁρῶσα, καὶ ψυχὴν καὶ τὸ σῶμα, καὶ βεβλημένους πάθεσι δεινοῖς, τῇ εὐσπλαγχνίᾳ σου Δέσποινα, ἵνα θεραπεύσασα λύσον, τῶν νῦν παρενοχλούντων λυπηρῶν, πάντες σε ὕμνοις, ἀπαύστως μεγαλύνωμεν.



# ΕΥΧΑΙ ΕΠΙ ΑΝΟΜΒΡΙΑΣ.

## Ποίημα Καλλίστου Πατριάρχου Κωνσταντινουπόλεως.

### ΕΥΧΗ Α'. (*)

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὸν πρὸς σὲ ζῆλον ἐπακούσας Ἠλιοὺ τοῦ Θεσβίτου, καὶ τὸν κατὰ καιρὸν τῇ γῇ πεμπόμενον ὑετὸν ἐπισχεθῆναι κελεύσας· εἶτα πάλιν, διὰ τῆς αὐτοῦ ἱκεσίας, ὄμβρον καρποφόρον αὐτῇ χαρισάμενος· αὐτός, Δέσποτα τῶν ἁπάντων, ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας δυσωπούμενος, βροχὴν ἑκούσιον ἀφόρισον τῇ κληρονομίᾳ σου· καὶ τὰ πεπλημμελημένα ἡμῖν παριδών, τοὺς ὑετοὺς σου κατάπεμψον ἐπὶ τοὺς χρήζοντας καὶ δεομένους τόπους. Εὔφρανον τὸ πρόσωπον τῆς γῆς, διὰ τοὺς πτωχοὺς τοῦ λαοῦ σου, καὶ τὰ νήπια, καὶ τὰ κτήνη, καὶ τὰ ἄλλα πάντα, ὅτι πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### ΕΥΧΗ Β'.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς· ὁ ἀστραπὰς εἰς ὑετὸν πεποιηκώς· ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν σου· ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς

(*) Τῶν Εὐχῶν τούτων ἐν τῷ Χειρογράφῳ ἀπαντᾶται μόνον ἡ Α'. καὶ ἡ Β'., οὐδενὸς Ποιητοῦ ὀνόματι ἐπιγραφόμεναι· ἔχει δὲ καὶ τρίτην Εὐχήν, ἧς ἡ ἀρχή· «Δέσποτα Κύριε, ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ προσκαλούμενος » τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πά» σης τῆς κ.τ.λ.»

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΑΜΟΥ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

γῆς· σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, ἐξομολογούμενοι τὰς ἁμαρτίας ἡμῶν, καὶ αἰτούμενοι τὸ παρὰ σοῦ πλούσιον ἔλεος. Ἄνοιξον τοὺς καταῤῥάκτας τοῦ οὐρανοῦ· ἔντειλαι ταῖς νεφέλαις τοῦ βρέξαι ὑετόν· οἴκτειρον πάντα τὰ τῆς γῆς σου· σπλαγχνίσθητι ἐπὶ πρεσβύτας, καὶ νέους, καὶ νήπια θηλάζοντα μαστὸν, δούλους σου καὶ δουλίδας, υἱοὺς καὶ θυγατέρας, καὶ ἐπὶ πάντα τὰ κτήνη τῆς γῆς, καὶ ἐξάγαγε ἡμῖν ἄρτον εἰς βρῶσιν, καὶ χλόην τοῖς κτήνεσι· πρόσδεξαι τὰς δεήσεις παντὸς τοῦ λαοῦ σου, καὶ μὴ ἀπώσῃ τοὺς στεναγμοὺς τῶν πενήτων· μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, μηδὲ διαφθείρῃς λιμῷ καὶ δίψει τὸν λαόν σου· οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, λαβεῖν τὴν παρὰ σοῦ τροφὴν εἰς εὔκαιρον· ἐπὶ σοὶ πεποίθαμεν· ἐκτός σου, ἄλλον οὐκ οἴδαμεν· τὰ παρὰ σοῦ πλούσια ἐλέη ἀπεκδεχόμεθα. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Γ΄.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, οἴδαμεν ὅτι ἀνάξιοι τυγχάνομεν τῶν σῶν οἰκτιρμῶν, καὶ οὐκ ἐσμὲν ἄξιοι ἆραι τοὺς ὀφθαλμοὺς ἡμῶν, καὶ ἀτενίσαι εἰς τὸν οὐρανὸν, καὶ σταθῆναι ἐνώπιόν σου, καὶ τὰ αἰτήματα ἡμῶν λαλῆσαι πρὸς σέ. Τί γὰρ καλὸν ἐποιήσαμεν, ἵνα καὶ τῶν αἰτήσεων ἐπιτύχωμεν; Καὶ γὰρ, διὰ τὴν σὴν ἄπειρον ἀγαθότητα, ἐκ τοῦ μὴ ὄντος ἡμᾶς εἰς τὸ εἶναι παραγαγὼν, εἰκόνι τῇ σῇ τετίμηκας, καὶ τὴν κτίσιν πᾶσαν ἡμῖν ὑπέταξας. Ἀλλ' ἡμεῖς, οἱ τοσαῦτα εὐεργετηθέντες, ὡς ἐχθροὶ διετέθημεν, καὶ σοῦ τοῦ εὐεργέτου τὰς ἐντολὰς ἠθετήσαμεν, καὶ βίον ψεκτὸν, καὶ γνώμην ῥυπαρὰν καὶ ἀκάθαρτον ἐκτησάμεθα· καὶ οὐ τὴν σὴν μόνον ἀγάπην ἀπεβαλόμεθα, ἀλλὰ καὶ ὡς θηρία κατ' ἀλλήλων φερόμεθα, καὶ τὰς σάρκας ἀλλήλων κατεσθίομεν, διὰ τῶν πλεονεκτικῶν τρόπων, καὶ τῆς ἀδίκου προαιρέσεως ἡμῶν. Πῶς οὖν ἄξιοι ἐσμὲν τῶν σῶν εὐεργεσιῶν ἀπολαύειν; Σὺ γὰρ δίκαιος, ἡμεῖς ἄδικοι·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

σὺ ἀγαπᾷς, ἡμεῖς ἐχθραίνομεν· σὺ εὔσπλαγχνος, ἡμεῖς ἄσπλαγχνοι· σὺ εὐεργέτης, ἡμεῖς ἅρπαγες. Ποίαν τὴν πρὸς σὲ κοινωνίαν φέρομεν, ἵνα καὶ τῶν σῶν ἀγαθῶν κοινωνήσωμεν; Ὁμολογοῦμεν τὴν δικαιοσύνην σου· ἐπιγινώσκομεν τὴν καταδίκην ἡμῶν· κηρύττομεν τὰς εὐεργεσίας σȣ· μυρίοις θανάτοις ὑπόδικοι ἐσμέν. Ἰδοὺ ἐπὶ τὴν σὴν δραξικωτάτην καὶ τὰ πάντα διακρατοῦσαν χεῖρα διαμένομεν· ῥᾴδιον τυγχάνει τῇ σῇ παντοδυνάμῳ χειρί, ὡς ἐν ῥοπῇ, ἀφανίσαι ἡμᾶς· καὶ ὅσον ἀπὸ τῆς ἡμετέρας γνώμης καὶ ἀναστροφῆς, δίκαιόν ἐστιν ἡμᾶς ὀλέθρῳ παραδοθῆναι, δικαιότατε Κριτά· ἀλλὰ τῆς σῆς ἀνυπερβλήτου ἀγαθότητος καὶ ἀφράστου χρηστότητος οὐκ ἔστιν ὅλως ἄξιον, φιλανθρωπότατε Δέσποτα. Διὸ εἰς τὴν ἀνεξιχνίαστόν σου συμπάθειαν καὶ τὰ ἀμνησίκακά σου σπλάγχνα θαῤῥοῦντες, προσερχόμεθά σοι τῷ εὐεργέτῃ οἱ ἀγνώμονες καὶ ἀχάριστοι· Μὴ διὰ τὰς ἁμαρτίας ἡμῶν παραδῴης ἡμᾶς εἰς χεῖρας αὐχμοῦ, μηδὲ διὰ τὰς ἀνομίας ἡμῶν συντρίψῃς ἡμᾶς κλοιῷ τοῦ λιμοῦ· ἀλλὰ διὰ τὴν ἀγαθότητά σȣ, παράσχȣ τῇ γῇ, ἣν ἀφώρισας βροχὴν ἑκούσιον τῇ κληρονομίᾳ σου, καὶ πλήρωσον τοὺς κόλπους τῆς γῆς τῶν ζωογόνων σου ὑδάτων. Ἰδȣ̀ γὰρ πρόκειται αὕτη, ὡς μήτηρ ἐξηραμμένȣς ἔχουσα τοὺς μαστούς· ὡς γὰρ ἐκείνης οἱ μαστοί, γάλακτος ἀποροῦντες, θάνατον προσφέρουσι τῷ βρέφει, ȣ̈τω καὶ ἡ γῆ, τὰς αὔλακας αὐτῆς ἀμοίρους ὑγρότητος προβαλλομένη, μαρασμὸν ἐμποιεῖ τῇ χλόῃ, καὶ φθορὰν τοῖς γεννήμασιν αὐτῆς φέρει, καὶ λιμὸν ἡμῖν ἀπειλεῖ καὶ θάνατον· ὁ γὰρ ἐκ τῆς ξηρότητος καύσων, καθάπερ τις διακαὴς πυρετός, τὰ βλαστήματα μαράνας, ἀφανισμὸν προμηνύει τῶν γεννημάτων αὐτῆς. Ἀλλὰ τῷ ἐλέει σου ἐπίσκεψαι αὐτήν, καὶ ὑδατώδεσι νέφεσι τὸν ἀέρα εὐκράτωσον, καὶ τῷ πλουσίῳ σȣ ὑετῷ τὴν γῆν καταδρόσισον, καὶ τὰ βλαστήματα αὐτῆς ψυχαγώγησον, καὶ ταῖς ἀναπνοαῖς τῶν καλλίστων ἀέρων τοὺς καρποὺς ἀρτίους καὶ μεστοὺς ποίησον· καὶ πλήθυνον αὐτοὺς τῇ εὐσπλαγχνίᾳ σου, δι' ὧν ὥρισας τὴν τοῦ σώματος ζωὴν διακρατεῖσθαι· ἐὰν γὰρ μὴ σὺ τὴν διὰ τῶν ἑκουσίων σου ὄμβρων δῴης χρηστότητα, ἡ γῆ ἡμῶν οὐ δώσει τὸν καρπὸν αὐτῆς· ἀλλά, διὰ τὰ πλήθη τῶν οἰκτιρμῶν σου,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἐπάκουσον τὴν δέησιν τῶν ἀναξίων δούλων σου. Σὺ γὰρ εἶ ἡ πηγὴ τοῦ ἐλέους, καὶ ὁ τῶν ἀγαθῶν χορηγὸς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Δ'.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, Κύριε, ὁ διὰ τοῦ Προφήτου σου Ἡλιοὺ λύσας τὸν αὐχμὸν, καὶ τῇ τῶν ὄμβρων καταῤῥοῇ τὸ πρόσωπον τῆς γῆς καταβρέξας, καὶ τῇ εὐθηνίᾳ τῶν καρπῶν διαθρέψας τὸν λαόν σου πλουσίως· αὐτὸς καὶ νῦν, ὑπὸ τῆς ἐμφύτου σου χρηστότητος δυσωπούμενος, δώρησαι τῇ γῇ ὑετοὺς εἰρηνικοὺς, εἰς γονιμότητα τῶν ἐτησίων καρπῶν. Σὺ γὰρ εἶ ὁ τὰ ὕδατα εἰς τόπους αὐτῶν ἀποκαταστήσας, καὶ τὴν γῆν, ὑπ' αὐτῶν καλυπτομένην, ὁρατὴν παρασκευάσας. Σὺ εἶ ὁ κελεύσας αὐτῇ παντοδαποὺς ἐκφύειν καρποὺς, εἰς ἀπόλαυσιν ἡμετέραν. Σὺ εἶ ὁ διὰ τὴν ἁμαρτίαν τῶν ἐπὶ τοῦ Νῶε ἀνθρώπων πηγὰς ἀβύσσου ῥήξας, καὶ καταῤῥάκτας ἀνοίξας οὐρανοῦ, καὶ τὸ πρόσωπον τῆς γῆς θαλασσώσας, πρὸς ἐξάλειψιν πάσης σαρκός. Σὺ εἶ ὁ ἐν ὕδασι στεγάζων τὰ ὑπερῷά σου. Σὺ εἶ ὁ νέφη μετεωρίζων, καὶ τούτοις ἐπιτάττων, τὰς τῶν ὄμβρων ἀπολύειν σταγόνας. Σὺ εἶ ὁ ἀνάγων τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων ἐπὶ πρόσωπον τῆς γῆς. Σὺ εἶ ὁ ὑετὸν ὁρίσας καὶ βροχὰς ἑκουσίους ἀφορίσας, καὶ ποταμοὺς ὑδάτων ἀποπληρῶν, καὶ ποτίζων τὴν γῆν, καὶ μεθύων τὰς αὔλακας αὐτῆς, εἰς πληθυσμὸν τῶν ὡραίων αὐτῆς καρπῶν. Σὺ εἶ ὁ διελθὼν θάλασσαν, καὶ ποταμὸν βάσιμον ἀπεργασάμενος, καὶ ὕδωρ ἐκ πέτρας πηγάσας, καὶ πικρίαν ὑδάτων εἰς γλυκύτητα μεταβαλών. Οἶδε τῶν ὑδάτων ἡ φύσις τὸν αὐτῆς Ποιητὴν, ἐπιγινώσκει τὸν ἑαυτῆς Δεσπότην, οὐκ ἀγνοεῖ τὴν ὀφειλομένην ὑπηρεσίαν. Ἂν ἴδῃ σὲ τὸν Δεσπότην ὀργιζόμενον καθ' ἡμῶν, ἢ ἀμέτρως κινουμένη ὄλεθρον κατεργάζεται, ἢ συστελλομένη συνέχεται, καὶ ἡ αὐχμηρία χώραν λαμβάνει, καὶ φλογώδης ὁ ἀὴρ γίνεται, καὶ τῆς γῆς οἱ βλαστοὶ μαραίνονται, καὶ ἡμεῖς εἰς χεῖρας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

κινδύνῳ πίπτομεν. Ἂν δὲ πάλιν θεάσηται σὲ τὸν φιλάνθρωπον Θεὸν, εὐμενῆ καὶ εὐδιάλλακτον, τοὺς ὑετοὺς ἑτοιμάζει, καὶ οἱ ὄμβροι ἐπὶ τὴν γῆν καταφέρονται, καὶ ὁ ἀὴρ εὔπνους γίνεται, καὶ ἡ γῆ, τῷ σῷ προστάγματι εἴκουσα, δαψιλεῖς τοὺς καρποὺς ἐκ τῶν ἑαυτῆς λαγόνων ἀνατέλλει. Σὲ τοίνυν τὸν Ποιητὴν καὶ συνοχέα τοῦ παντὸς ἱκετεύομεν, λέγοντες· Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· μνήσθητι, ὅτι ἔργα τῶν χειρῶν σου ἐσμέν· πρόσχες τῇ ἀσθενείᾳ τῆς φύσεως ἡμῶν, ὅτι σὺ ἐποίησας ἡμᾶς· ἴδε τῶν πετεινῶν τὴν στένωσιν, τῶν κτηνῶν τὴν βοὴν, τῶν νηπίων τὸν κλαυθμὸν, τῶν νέων τὴν κραυγὴν, τῶν γηραιῶν τὴν ταλαιπωρίαν, τῶν ὀρφανῶν τὴν στέρησιν, τῶν χηρῶν τὴν μόνωσιν, τῶν πενήτων τὸ ἐνδεὲς, καὶ παντὸς τοῦ λαοῦ σου τὴν ἱκέσιον φωνήν· καὶ ἐπίσκεψαι τὴν γῆν, καὶ μέθυσον αὐτὴν ταῖς πιαινούσαις βροχαῖς· ἰκμάδος γὰρ ἀποροῦσα, τοῖς μὲν ἰδίοις βλαστήμασι μαρασμὸν, ἀνθρώποις δὲ καὶ κτήνεσι τὸν ὄλεθρον ἀπειλεῖ. Δι' ὕδατος τὸν ὄλεθρον ἐπάγων ποτὲ, ἐμνήσθης τοῦ Νῶε, φερομένου ἐν τῇ κιβωτῷ ὑπὸ τῶν ἀμετρήτων ἐκείνων ὑδάτων· ἐμνήσθης δὲ αὐτοῦ, καὶ τῶν πετεινῶν, καὶ κτηνῶν, καὶ τῶν θηρίων, καὶ τῶν ἑρπετῶν, καὶ ἐπήγαγες πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασε τὸ ὕδωρ· καὶ τὸν Νῶε, καὶ τὰ μετ' αὐτοῦ ζῶα, καθάπερ σπέρμα, διετήρησας εἰς γένεσιν δευτέρου κόσμου. Καὶ νῦν, διὰ τοῦ συνέχοντος αὐχμοῦ τὸν ἀέρα, λιμὸν ἀπειλεῖς καὶ θάνατον. Μνήσθητι τοῦ πεποιθότος ἐπὶ σὲ λαοῦ· μνήσθητι καὶ τῶν πετεινῶν· μνήσθητι καὶ τῶν κτηνῶν· καὶ πνεῦμα δρόσου ἐπάγαγε, καὶ ὁ αὐχμὸς κοπασάτω· καὶ σπέρματα τῆς γῆς τελεσφόρησον εἰς διατροφὴν ἀνθρώπων τε καὶ ζώων, καὶ πάντα πάλιν τῆς παρὰ σοῦ προμηθείας ἀξίωσον. Σὺ γὰρ εἶ ὁ ἀνατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων· καὶ σὺ εἶ ὁ ἐξάγων ἄρτον ἐκ τῆς γῆς καὶ οἶνον πηγάζων, καὶ ἐλαίῳ καθιλαρύνων τὰ τῶν ἀνθρώπων πρόσωπα· ὅπως τῶν χορηγουμένων παρὰ σοῦ ἀγαθῶν ἐν ἀφθονίᾳ μετέχοντες, ἐν εὐφροσύνῃ καρδίας δοξάζωμέν σου τὴν ἀγαθότητα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΥΧΗ Ε'.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ τῷ ῥήματί σου τὸ πᾶν ἐκ μὴ ὄντων παραγαγών· ὁ χοῦν λαβὼν ἐκ τῆς γῆς καὶ πλάσας τὸν ἄνθρωπον, καὶ ψυχῇ λογικῇ καὶ εἰκόνι σῇ τιμήσας αὐτὸν, καὶ εἰπών· Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν· ὁ διδοὺς τοῖς κτήνεσι τροφὴν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων· ὁ καὶ ἐν τῇ μεγάλῃ καὶ σωτηρίῳ διὰ σαρκὸς ἐπιδημίᾳ σου, νῦν μὲν ἑπτὰ, νῦν δὲ πέντε ἄρτοις χιλιάδας χορτάσας πολλάς· αὐτὸς, πανάγαθε Δέσποτα, καὶ τὸν σὸν λαὸν τοῦτον, τὸν ἐπικεκλημένον τὸ πανάγιόν σου Ὄνομα, τῇ σῇ παντουργῷ καὶ μεγαλοδώρῳ δεξιᾷ πλουσίως διάθρεψον. Ἔπιδε, Κύριε, ἐπὶ τοὺς πτωχοὺς τοῦ λαοῦ σου, ὁ ἀνοίγων τὴν χεῖρά σου, καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας· οἴκτειρον πάντας ἡμᾶς συμπαθῶς· σὺ γὰρ, Δέσποτα φιλάνθρωπε, μόνος εἶ Πατὴρ ἁπάντων ἡμῶν, καὶ πρὸς σὲ μόνον τοὺς ὀφθαλμοὺς αἴρομεν, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ. Σὸς ἐστι λόγος, πανάγαθε Δέσποτα, τὸ, Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε. Δὸς οὖν τοῖς αἰτοῦσι νῦν, Δέσποτα, σὺν τῇ πνευματικῇ τροφῇ καὶ τὴν ἀναγκαίαν τοῦ σώματος, καὶ διάθρεψον πεινῶντα τὸν σὸν λαόν· ὄμβρους ἐπικαίρους, εὐκρασίαν ἀέρων, καὶ καρπῶν παντοδαπῶν εὐφορίαν τῇ γῇ χάρισαι. Τοὺς ἐν ἀσθενείᾳ καὶ λύμῃ καὶ πυρετοῖς καὶ νόσοις παντοδαπαῖς ταλαιπωρουμένους, ἐπίσκεψαι· ῥῦσαι, Κύριε, τὴν τῷ σῷ ὀνόματι ἐπικεκλημένην ταύτην πόλιν, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας καὶ φόνου, χαριζόμενος ἡμῖν τὰ ἐλέη σου. Χάριτι τοῦ ἀνάρχου καὶ ὁμοουσίου σου Πατρὸς, καὶ τοῦ παναγίου, καὶ ὁμοτίμου σου Πνεύματος· εὐχαῖς καὶ πρεσβείαις τῆς ὑπερευλογημένης Θεοτόκου, τῶν θεηγόρων σου Ἀποστόλων, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΥΧΗ ς'.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν καταδεξάμενος σάρκα φορέσαι, ἵνα δοξάσῃς θαυμασίως τὴν λογικὴν φύσιν τῇ ἀῤῥήτῳ σου εὐσπλαγχνίᾳ καὶ ἀγαθότητι, καὶ τοὺς ἐν ἀληθεῖ ἐπιγνώσει ἐπιστρέφοντας ἐκ τοῦ βυθοῦ τῆς ἁμαρτίας, συμπαθεῖν ὑποσχόμενος· ὅταν γὰρ πρὸς σὲ ἐπιβλέψωσι σχήματι δουλικῷ καὶ γνησίῳ διὰ τῆς ἐκπληρώσεως τῶν θείων σου ἐντολῶν, τότε καὶ αὐτοὶ ἐν παῤῥησίᾳ δυνήσονται σὲ τὸν Θεὸν ἵλεων καὶ εὐμενῆ καθιστᾷν· νῦν οὖν, ἄφες πάσας τὰς ἀνομίας ἡμῶν, καὶ κλῖνον πρὸς ἡμᾶς τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν καὶ ἁμαρτωλῶν, καθάπερ ποτὲ τοῦ Θεσβίτου Ἠλιοὺ ἐπήκουσας, ὥστε ῥήματι μόνῳ δῆσαι τὸν οὐρανὸν, πρὸς σωφρονισμὸν τοῦ ἀπειθοῦς ἐκείνου λαοῦ· εἶτα δι' αὐτοῦ πάλιν, τῇ συνήθει φιλανθρωπίᾳ χρησάμενος, ταῖς νεφέλαις προστάξας, τὴν γῆν πᾶσαν κατήρδευσας ὕδατος ἀγαθοῦ. Οὕτω καὶ νῦν, ὡς πάλαι ταῖς ἱκεσίαις αὐτοῦ τοῦ σοῦ θεράποντος καὶ θερμαῖς ταῖς δεήσεσι, πάριδε τὰς ἀνομίας ἡμῶν καὶ τὰς ἁμαρτίας, καὶ πρόσδεξαι τὰς δεήσεις ἡμῶν, καὶ ἐπάκουσον ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ θερμῶς δεομένων σου· καὶ λῦσον τὸν αὐχμὸν τοῦτον τῆς γῆς διὰ τῆς ἐξομολογήσεως καὶ κραυγῆς τοῦ λαοῦ σου, καὶ κατάπεμψον ἐφ' ἡμᾶς ὑετὸν ἀγαθὸν, ὅπως ἐμφορηθῶμεν τοῦ ὕδατος, καὶ ἡ γῆ ἡμῶν δώσῃ τοὺς καρποὺς ἐν καιρῷ εὐθέτῳ εἰς τροφὴν ἡμετέραν καὶ αὐτῶν, δηλαδὴ, τῶν ἀλόγων ζώων. Ναὶ, Κύριε, ὁ Θεὸς ἡμῶν, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου, καὶ μὴ παρίδῃς τὰς δεήσεις ἡμῶν, μηδὲ νικησάτω ἡ ἀνομία ἡμῶν τὸ ἔλεός σου, ἀλλὰ κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσον ἡμῶν· Ἴδε τὴν συντριβὴν, καὶ σπλαγχνίσθητι· βλέψον ἐξ ἁγίου σου κατοικητηρίου· ἴδε τοὺς στεναγμοὺς τῶν πενήτων· ἴδε τὴν ἄωρον ἡλικίαν τῶν νηπίων, τῇ σφροδροτάτῃ δίψῃ πιεζομένην· ἴδε τὴν τῶν ἀκάκων βρεφῶν κάκωσιν· ἴδε τὰ σπλάγχνα τὰ μητρικά· ἴδε μαζοὺς ξηραινομένους ἀναιρεθέντων νηπίων· ἴδε τοὺς τῷ χρόνῳ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

προβεβηκότας, καὶ νέους, ὥσπερ ὁρμαθοὺς, εἰς χεῖρας ἀνόμων ἐκδεδομένους. Καὶ τοίνυν πάριδε τὰ πλημμελήματα ἡμῶν, τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ, τὰ κατὰ νοῦν καὶ διάνοιαν, καὶ μὴ ἀπώσῃ ἡμᾶς εἰς τέλος· οὐ γὰρ ὕδατος μόνου δίψει τηκόμεθα, ἀλλὰ καὶ μυρίοις ἄλλοις κακοῖς, διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ πρὸς σὲ βλέπομεν, ἵνα ἐπιχεθῇ ἐφ' ἡμᾶς ὑετὸς ὡριμώτατός τε καὶ δαψιλέστατος, ἵνα καὶ τὴν δικαίαν σου ὀργὴν στήσῃς τῆς δεινῆς ταύτης αἰχμαλωσίας. Ἀμφότερα τοίνυν αἰτοῦμεν· καὶ δεόμεθά σου, φιλάνθρωπε, ἵνα τὰ φρέατα καὶ τοὺς ἀγροὺς ἡμῶν ἐμπλήσῃς ὕδατος, καὶ τὰς ψυχικὰς ἡμῶν ἀρούρας εἰς κόρον ποτίσῃς καὶ ἐμπλήσῃς τῆς σῆς χρηστότητος, καὶ τὰ φρέατα, δηλαδὴ τὰς καρδίας ἡμῶν, εὐφροσύνης καὶ ἀῤῥήτου μεθύσῃς χαρᾶς καὶ ἀγαλλιάσεως, καὶ στήσῃς τὴν ἐπικειμένην καθ' ἡμῶν ἄσχετον ὁρμὴν τῶν ἀθέων Ἀγαρηνῶν. Σὺ γὰρ εἶ ὁ ἐλευθερωτὴς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΠΙ ΑΝΟΜΒΡΙΑΣ, ΚΑΙ ΕΞΑΛΛΑΓΗΣ ΑΝΕΜΩΝ

### Καλλίστου Πατριάρχου Κωνσταντινουπόλεως.

Τοῦ Κυρίου δεηθῶμεν.

Ἀγαθὲ καὶ φιλάνθρωπε Κύριε, ὁ τὴν κτίσιν μόνῳ τῷ λόγῳ δημιουργήσας, καὶ ἐξ αὐτῆς τὸν ἄνθρωπον πλαστουργήσας· ὕστερον δὲ σῇ ἀῤῥήτῳ φιλανθρωπίᾳ, πεπτωκότα τοῦτον καὶ ἁμαρτίᾳ γενόμενον, ἀναλαβὼν καὶ καθαγιάσας, ὅπως μὴ ἀπόληται εἰς τέλος τὸ τῶν χειρῶν σου ἔργον, δοὺς δὲ τούτῳ καὶ τὰς σαυτοῦ ἐντολὰς εἰς ὑπόμνησιν τῆς σῆς παρουσίας, καὶ τῶν σῶν ἐνταλμάτων τῆς θείας ἐνανθρωπήσεως· ὅθεν ἐκοπίασας, καὶ ἠγωνίασας, καὶ ἐπείνασας, καὶ ἐδίψησας, πληρώσας πάντα δι' ἡμᾶς, ὡς εἰκός, τὰ ἀνθρώπινα, ἐπιβάς τε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

πλοίου, καὶ θάλασσαν πεζεύσας, καὶ κύματα ἄγρια καὶ βίας ἀνέμων χαλινώσας, καὶ πάντα παθεῖν ἀνασχόμενος, μέχρι σταυροῦ καὶ θανάτου, ἵνα, ἐν ᾧ πέπονθας καὶ ἐπειράσθης, βοηθῇς ἡμῖν τοῖς ἀσθενέσιν· αὐτὸς καὶ νῦν, Βασιλεῦ ἅγιε, ὁ τὴν ἡμετέραν ἀσθένειαν φιλανθρώπως ἀναλαβὼν, σπλαγχνίσθητι ἡμῖν τοῖς χειμαζομένοις σφοδρῶς, καὶ τῇ τῶν ἀναγκαίων ἐνδείᾳ πιεζομένοις· χορήγησον ἡμῖν τὴν σὴν ἀγαθότητα· μέθυσον τὴν γῆν ἡμῶν ὕδατος καθαροῦ, πρὸς καρποφορίαν αὐτῆς· ἐπωφελεῖς ἡμῖν τοὺς ἀέρας χάρισαι· καὶ καθάπερ ποτὲ Μαθητάς σου διέσωσας βυθιζομένους ἐκ τῆς θαλάσσης καὶ τῆς τῶν ἀνέμων βίας, οὕτω καὶ νῦν διάσωσον ἡμᾶς ἐκ τῆς συνεχοῦς ἡμῶν περιστάσεως. Στῆσον καὶ νῦν τῆς θαλάσσης τὴν ἀγριότητα· κατάπαυσον τὰ ἐναντία πνεύματα, τῇ σῇ προστάξει τῇ θεϊκῇ· δὸς ἡμῖν γαλήνην καὶ ἀνάπαυσιν τῶν ἀνιαρῶν. Ναὶ, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν· ἴδε καὶ ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου σου πρὸς τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου· καὶ δὸς πνεῦμα εὐθὲς πρὸς ἀπαλλαγὴν τῶν ἐπερχομένων ἡμῖν συμφορῶν· πρεσβείαις τῆς σὲ τεκούσης Μητρὸς, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

---

# ΕΥΧΗ

## ΕΠΙ ΑΝΟΜΒΡΙΑΣ ΚΑΙ ΠΡΟΣΒΟΛΗΣ:

### Τοῦ αὐτοῦ.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ χοὸς δημιουργήσας τὸν ἄνθρωπον, καὶ τοῦτον διαμορφώσας, καὶ εἰς κάλλος ἐξωραΐσας, τῇ ἀῤῥήτῳ σου μεγαλειότητι καὶ φιλανθρωπίᾳ, καὶ, ὡς εἰπεῖν, διὰ τῆς ἔξωθεν ὡραιότητος τοῦ ἀνδριάντος, τοὺς χαρακτῆρας θαυμασίως ἐμφήνας τῆς λογικῆς ψυχῆς· (καὶ τὴν δόξαν (*) καὶ τὴν λαμπρότητα, ἣν ἔδωκας αὐτῷ πρότερον

(*) Πρὸς τὸ ὀρθότερον ἀναγνωστέον ἴσως· (οὕτως δὲ καὶ τὴν δόξαν κτλ.)

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

διὰ τῆς θαυμαστῆς ἐκείνης δημιουργίας, ἀπώλεσε μὲν, ὡς μὴ ὤφελε, διὰ τὴν πικρὰν τῆς γεύσεως ἡδονήν· ὕστερον δὲ προσελάβετο διὰ τοῦ ἐμφυσήματος τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ)· ὁ διπλοῦν αὐτὸν εἶναι ποιήσας, ἐκ ψυχῆς, δηλονότι, καὶ σώματος· καὶ τὴν μὲν ψυχὴν, ἅτε νοερὰν οὖσαν καὶ ἄϋλον, ἀῤῥήτοις λόγοις ἐκτρέφων τῷ θείῳ Πνεύματι, καὶ ἀξίαν αὐτὴν ἐργαζόμενος τῆς σῆς δόξης τε καὶ μεγαλειότητος· τὸ δὲ σῶμα, διὰ τοῦ αἰσθητοῦ ἡλίου, καὶ τῆς τῶν ἀέρων εὐκρασίας, καὶ τῆς ἐκ τούτων τελεσφορουμένης τροφῆς, εἰς αὔξησιν καὶ ἀναδρομὴν προβιβάζων καὶ περιτηρῶν· ὁ ἀνοίγων τὴν σὴν χεῖρα, κατὰ τὸ προφητικὸν λόγιον, καὶ ἐμπιπλῶν πᾶσαν τὴν λογικὴν καὶ ἄλογον φύσιν τῆς σῆς εὐδοκίας· σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν μὲν κάθαρσιν τῶν ἡμετέρων ψυχῶν προσγινομένην διὰ τῆς ἐργασίας τῶν σῶν ἐντολῶν διαλευκάνας, προφητικῶς εἰπεῖν, λαμπροτέραν χιόνος, τῇ ἐνεργείᾳ καὶ χάριτι τοῦ Ἁγίου Πνεύματος, ποίησον, καθὰ καὶ ὁ μονογενής σου Υἱὸς ἐνετείλατο, ἐκλάμψειν αὐτὰς ὡς τὸν ἥλιον· τοῖς δὲ σώμασιν ἡμῶν, τοῖς κατεσκληκόσι ταῖς ἀνομίαις, καὶ ἀσωτίαις ἐμπεφυρμένοις, ὑγείαν δώρησαι καὶ ἀπαλλαγὴν τῶν τοιούτων δεινῶν. Εὐκράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι· ὄμβρους εἰρηνικοὺς ἐξαπόστειλον τῇ γῇ πρὸς καρποφορίαν· μέθυσον τὰς αὔλακας ταύτης ὕδατος καθαροῦ, εἰς ζωοτροφίαν ἡμῶν τε καὶ τῶν ἀλόγων ζώων· στῆσον τὴν καθ' ἡμῶν ἐπερχομένην ῥομφαίαν, καὶ μὴ παρίδῃς τὴν δέησιν ἡμῶν τῶν ταπεινῶν καὶ ἀναξίων δούλων σου ἐν ταύτῃ τῇ ὥρᾳ. Ἐπάκουσον ἡμῶν, προσχὼν ἱλέῳ ὄμματι ἐξ ἁγίου κατοικητηρίου σου ἡμῖν τοῖς σοῖς ἀναξίοις ἱκέταις, δυσωπούμενος ταῖς ἀκαταμαχήτοις πρεσβείαις τῆς ἀῤῥυπάρως καὶ ἀχράντως τὸν Χριστὸν σωματωσάσης Παναγίας Παρθένου, τῆς κοινῆς ἐλπίδος ἡμῶν· ὡς ἂν διὰ πάντων δοξασθῇ τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΚΑΝΩΝ

## ΕΙΣ ΦΟΒΟΝ ΣΕΙΣΜΟΥ.

Οὗ ἡ ἀκροστιχίς·

Ὦ Χριστὲ, τῆς γῆς τὸν κλόνον παῦσον τάχος. Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ὡς φοβερὰ ἡ ὀργή σου ἐξ ἧς ἡμᾶς, ἐλυτρώσω Κύριε, μὴ συγχώσας ἐν τῇ γῇ, ἅπαν τὸ ἀνάστημα ἡμῶν· εὐχαρίστως σε διὸ ἀεὶ δοξάζομεν.

Χαίρων ἀεὶ καθ' ἑκάστην τῇ παντελεῖ διορθώσει Δέσποτα, ὥσπερ φύλλον εὐτελὲς, διασείεις ἅπασαν τὴν γῆν, εἰς τὸν φόβον σου πιστοὺς στηρίζων Κύριε.

Ῥῦσαι σεισμοῦ βαρυτάτου πάντας ἡμᾶς, καὶ μὴ δῴης Κύριε, ἀπολέσθαι παντελῶς, τὴν κληρονομίαν σου πολλοῖς, παροργίζουσαν κακοῖς σὲ τὸν μακρόθυμον. Θεοτοκίον.

Ἱκετικῶς σοι βοῶμεν Μῆτερ Θεοῦ· Τὰ συνήθη σπλάγχνα σου, ἐπὶ πόλιν καὶ λαὸν, συμπαθῶς δεικνύουσα σεισμοῦ, βαρυτάτου καὶ φθορᾶς ἡμᾶς ἀπάλλαξον.

Ὠδὴ β'. Ἴδετε ἴδετε.

Σείσας προβλέψει σου, πᾶσαν τὴν γῆν Παμβασιλεῦ, ἐνέβαλες εἰς φόβον, ἡμῶν τὰς διανοίας· ἀλλ' ἄνες Δέσποτα οἰκτίρμον τὴν ὀργήν σου, καὶ μὴ δῷς εἰς παντελῆ, ἀφανισμὸν τὸν σὸν λαόν.

Τίς δυσωπήσει σε, ὑπὲρ λαοῦ παντοδαπῶν, αἰσχύνῃ ὀφλημάτων ἀεὶ καλυπτομένου, καὶ ἀπολέσθαι προσδοκῶντος τῇ ὀργῇ σου; ἐξ ἧς ἡμᾶς Χριστὲ, τῷ σῷ ἐλέει ἐξελοῦ.

Ἔδειξας φόβον σου, νυνὶ Χριστὲ τῇ φοβερᾷ, προσβλέψει σου σαλεύσας, τῆς γῆς τοὺς θεμελίους· ἀλλὰ συνήθως δεῖξον πάλιν ἐλεῆμον, τὸ ἔλεος τὸ σὸν, μὴ ἀπολλύμεθα δεινῶς.

Θεοτοκίον.

Τίς μόνος ἄνευ σοῦ, δύναται Ἄχραντε ἁγνὴ, Θεὸν ἀγανακτοῦντα, καθ' ἡμῶν καταλλάξαι; Διὸ δυσώπει Παναγία

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

παῦσαι τάχος, τὸν κλόνον νῦν τῆς γῆς, γεννῶντα ὄλεθρον ἡμῖν.

Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Ἡ γῆ μαστίζεται ἡμῶν, κακῶς διακειμένων, καὶ ἀεὶ τὴν ὀργήν σου, συγκινούντων καθ' ἡμῶν, οἰκτίρμον Παμβασιλεῦ· ἀλλὰ φεῖσαι Δέσποτα τῶν δούλων σου.

Συσσείσας Κύριε τὴν γῆν, ἐστερέωσας πάλιν, νουθετῶν ἐπιστρέφων, τὴν ἀσθένειαν ἡμῶν, στηρίζεσθαι ἐν τῷ σῷ, θείῳ φόβῳ θέλων ὑπεράγαθε.

Γεννώσας θάνατον πικρὸν, καὶ σεισμοὺς βαρυτάτους, καὶ πληγὰς ἀνηκέστους, ἁμαρτίας ἀδελφοὶ, ἐκφύγωμεν, καὶ Θεὸν, μετανοίας τρόποις ἐκμειλίξωμεν. Θεοτοκίον.

Ἡ μόνη οὖσα ἀγαθὴ, τὸν πανάγαθον Λόγον, ἐκτενῶς ἐκδυσώπει, τῆς παρούσης τοῦ σεισμοῦ, ῥυσθῆναι πάντας ὀργῆς, Θεοτόκε ἄχραντε δεόμεθα.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Σαλεύεις Κύριε, τὴν γῆν βουλόμενος, ἑδρασμῷ ἀληθείας πάντας ἡμᾶς, Δέσποτα στηρίζεσθαι, σαλευομένους προσβολαῖς, τοῦ δολίου πολεμήτορος.

Τῇ θείᾳ νεύσει σου, κλονεῖς τὰ σύμπαντα, καὶ δονεῖς τὰς καρδίας τῶν ἐπὶ γῆς, κατοικούντων Δέσποτα· τῆς οὖν δικαίας σου ὀργῆς, ἄνες Κύριε τὰ κύματα.

Οὐδόλως ἔχοντας, εἰς νοῦν τὸν φόβον σου, ἐκφοβεῖς, τῇ κινήσει πάσης τῆς γῆς, μόνε Εὐσυμπάθητε· ἀλλὰ συνήθως ἐφ' ἡμᾶς, τὰ ἐλέη σου θαυμάστωσον. Θεοτοκίον.

Ναόν σε Δέσποινα, Θεοῦ γινώσκοντες, ἐν ἁγίῳ Ναῷ σου χεῖρας οἰκτρὰς, αἴρομεν εἰς δέησιν· Ἴδε τὴν κάκωσιν ἡμῶν, καὶ παράσχου βοήθειαν.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Καὶ σὺ καρδία σείσθητι νῦν, βλέπουσα Θεοῦ τὴν ἀπειλὴν, ἐπικειμένην, καὶ βόησον· Φεῖσαι τοῦ λαοῦ σου Δέσποτα Κύριε, καὶ παῦσον τὴν δικαίαν ὀργήν σου εὔσπλαγχνε.

Λαὸν καὶ πόλιν ἥν περ τῷ σῷ, αἵματι ἐκτήσω Ἰησοῦ, μὴ παραδῷς εἰς ἀπώλειαν, ἐν τῷ συνταράσσειν τὴν γῆν σεισμῷ φοβερῷ· χορὸς τῶν Ἀποστόλων καθικετεύει σε.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὀδοὺς σου Δέσποτα τὰς ὀρθὰς, γνώμῃ ὑπεκκλίνοντες στρεβλῇ, εἰς ἀγανάκτησιν τρέπομεν, σὲ τὸν συμπαθῆ τε καὶ ἀμνησίκακον· ἀλλ᾽ ἵλεως οἰκτίρμον, γενοῦ τοῖς δούλοις σου.

Θεοτοκίον.

Νῦν βοηθείας ἦλθε καιρὸς, νῦν καταλλαγῆς χρεία Ἁγνὴ, πρὸς τὸν Υἱόν σου καὶ Κύριον, ὅπως οἰκτειρήσῃ προσκεκρουκότας ἡμᾶς, καὶ τῆς ἐπικειμένης ὀργῆς λυτρώσηται.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Οὐκ ἔχοντες Δέσποτα, παῤῥησίαν δυσωπεῖν, οἱ ταπεινοὶ τὸ ὕψος σου, τοὺς ἐκλεκτοὺς Ἀγγέλους σου εἰς θερμὴν, κινοῦμεν παράκλησιν· δἰ αὐτῶν τῆς ὀργῆς σου ἐξελοῦ νῦν ἡμᾶς.

Νῦν ἔγνωμεν Κύριε, ὡς ἠλέησας ἡμᾶς, καὶ οὐδαμῶς συνέχωσας, ὑπὸ τὴν γῆν συμπτώμασι χαλεποῖς, πολλὰ πλημμελήσαντας· εὐχαρίστως διό σε μεγαλύνομεν.

Προστάττεις σαλεύεσθαι, τὰ θεμέλια τῆς γῆς, ὅπως ἡμεῖς παυσώμεθα, οἱ ταπεινοὶ σαλεύεσθαι ἀρετῶν, τῆς κρείττονος στάσεως, καὶ τῷ φόβῳ σου Λόγε στηριζώμεθα.

Θεοτοκίον.

Ἁγία Θεόνυμφε, ἀπορούμενον νυνὶ, τὸν σὸν λαὸν οἰκτείρησον, καὶ μητρικαῖς πρεσβείαις τὴν καθ᾽ ἡμῶν, Θεοῦ ἀγανάκτησιν, μεταποίησον τάχος δυσωπουμένη σε.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ὑπερύμνητος εἶ Κύριε μακρόθυμε, ὅτι οὐκ ἐθανάτωσας, τοὺς οἰκέτας σου, σπαραγμῷ καὶ κλόνῳ φοβερῷ, τῆς γῆς, ἀλλ᾽ ἐφείσω ὡς ζητῶν, τοῦ ἀποστρέψαι τῶν κακῶν, καὶ ζῆσαι πάντας ἡμᾶς.

Στεναγμὸν ἀπὸ καρδίας ἀναπέμψωμεν, καὶ δάκρυα προχέωμεν, ὅπως ἵλεων, τὸν Δεσπότην εὕρωμεν Χριστὸν, ἐκτρίψαι σεισμῷ πάντας ἡμᾶς, διὰ πληθὺν ἁμαρτιῶν, ἐπαπειλοῦντα δεινῶς.

Οἴμοι! κράξωμεν καὶ χεῖρας ἐκπετάσωμεν, πρὸς τὸν Θεὸν τὸν ὕψιστον, καὶ παυσώμεθα, τοῦ λοιποῦ ποιεῖν τὸ πονηρόν· καὶ γὰρ ὁ Σωτὴρ ἀγανακτῶν, σαλεύει ἅπασαν τὴν γῆν, στηρίξαι θέλων ἡμᾶς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Θεοτοκίον.

Νεῦσον Ἄχραντε σωθῆναι τοὺς οἰκέτας σου, ἀπολεσθῆναι μέλλοντας, ἐν ὀργῇ Θεοῦ, καὶ θυμῷ μεγάλῳ καὶ φρικτῷ, τῆς νῦν ἐπελθούσης ἀπειλῆς, διὰ τὸ πλῆθος τῶν πολλῶν, ἁμαρτημάτων ἡμῶν.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Τῆς δικαίας σου ταύτης ὀργῆς Φιλάνθρωπε, ἐπελθούσης ἀθρόως συνεταράχθημεν, καὶ ἀπελπισμῷ παντελεῖ συνεσχέθημεν, προσαγανακτοῦντα, ὁρῶντες καθ' ἡμῶν σε.

Ἀνατείνωμεν χεῖρας πιστοὶ καὶ ὄμματα, πρὸς τὸν μόνον Δεσπότην σώζειν δυνάμενον, κράζοντες· Χριστὲ, τὸν θυμόν σου ἀπόστρεψον, ἀφ' ἡμῶν ταχέως, φιλάνθρωπος ὑπάρχων.

Χιλιάδες Ἀγγέλων Μαρτύρων σύλλογος, Προφητῶν Ἀποστόλων, Ὁσίων, Ἱεραρχῶν, ἅγιος χορὸς ἱκετεύει σε Δέσποτα· Φεῖσαι τοῦ λαοῦ σου, τοῦ τεταπεινωμένου.

Ὁ γινώσκων Οἰκτίρμον τὸ ἀσθενὲς ἡμῶν, καὶ εὐόλισθον πάντῃ καὶ ἀδιόρθωτον, ἄνες τὴν ὀργὴν, καὶ τὸν τάραχον κόπασον, καὶ τῷ σῷ ἐλέει, οἰκτείρησον τὸν κόσμον.

Θεοτοκίον.

Συμπαθὴς Θεοτόκε τὸν εὐσυμπάθητον, ἡ τεκοῦσα Σωτῆρα, ἴδε τὴν κάκωσιν, καὶ τὸν στεναγμὸν τοῦ λαοῦ σου, καὶ τάχυνον, τοῦ παρακαλέσαι, ἡμᾶς οἰκτειρηθῆναι.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ἰδοὺ οἱ πάντες ἡμεῖς ἐπταίσαμεν, καὶ φοβερῶς ἡ γῆ μηδὲν σφαλεῖσα κολάζεται· νουθετῶν γὰρ ἡμᾶς ὁ φιλάνθρωπος, ὅλην αὐτὴν σαλεύει· λάβωμεν αἴσθησιν, καὶ τῆς σωτηρίας ἑαυτῶν ἐπιμελώμεθα.

Ὡρῶν καὶ χρόνων ὑπάρχων Κύριος, μιᾷ ῥοπῇ ἠθέλησας ἐκτρίψαι τοὺς δούλους σου· ὑπὸ δὲ τῆς πολλῆς εὐσπλαγχνίας σου, Δέσποτα ἐκωλύθης· εὐχαριστοῦμέν σοι, οἱ ἀναπολόγητοι ἡμεῖς μόνε φιλάνθρωπε.

Σεισμοῦ, μαχαίρας, πικρᾶς ἁλώσεως, καὶ ἐθνικῆς Χριστὲ ἐπιδρομῆς καὶ συμπτώσεως, καὶ λιμοῦ καὶ λοιμοῦ καὶ κακώσεως, πάσης ἄλλης Οἰκτίρμον, ῥῦσαι τὴν πόλιν σου, ἅπασάν τε χώραν τῶν πιστῶς ὑμνολογούντων σε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἡ γῆ ἀγλώσσως βοᾷ στενάζουσα· Τί με κακοῖς μιαίνετε πολλοῖς πάντες ἄνθρωποι; καὶ ὑμῶν ὁ Δεσπότης φειδόμενος, ὅλην ἐμὲ μαστίζει· λάβετε αἴσθησιν, καὶ ἐν μετανοίᾳ τὸν Θεὸν ἐξιλεώσασθε.

Θεοτοκίον.

Φθορὰν τῷ τίκτειν μὴ ὑπομείνασα, πάσης φθορᾶς Παρθένε ἐξελοῦ ἡμᾶς ἅπαντας, καὶ σεισμοῦ βαρυτάτου καὶ θλίψεως, παύουσα τοῦ Δεσπότου τὴν ἀγανάκτησιν, ταῖς σαῖς μητρικαῖς καταλλαγαῖς Θεοχαρίτωτε.

Εἰς τοὺς Αἴνους. Στιχηρὰ προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ὁ τὰ θεμέλια πάντα, τῆς γῆς σαλεύων Θεός, ὁ συνταράσσων μόνος, τῆς θαλάσσης τὸ κύτος, ὡς Κτίστης τῶν ἁπάντων, ῥῦσαι ἡμᾶς, τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς, ὑπὸ τῆς σῆς εὐσπλαγχνίας διαπαντός, δυσωπούμενος φιλάνθρωπε.

Ὡς πολυέλεος μόνος, καὶ παντοδύναμος, Χριστὲ Σωτὴρ ὑπάρχων, διὰ τῆς Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων, σῶζε ἀεί, ἀπὸ λιμοῦ καὶ λοιμοῦ καὶ σεισμοῦ, πυρός, μαχαίρας ἐθνῶν καταποντισμοῦ, τὴν δοξάζουσάν σε πόλιν πιστῶς.

Τῆς νῦν δικαίας σου ταύτης ὀργῆς Φιλάνθρωπε, ἀθρόως ἐπελθούσης, μὴ συγχώσῃς οἰκτίρμον, μηδὲ διασκεδάσῃς· μὴ τῷ θυμῷ, τῆς ὀργῆς σου παιδεύσῃς ἡμᾶς· ἀλλὰ τὸν τάραχον κόπασον τοῦ σεισμοῦ, καὶ τὸν σὸν λαὸν οἰκτείρησον.

Ἕτερα Στιχ. Ἰδιόμελα, Ἦχος β'.

Τῆς γῆς συνταρασσομένης τῷ τῆς ὀργῆς σου φόβῳ, βουνοὶ καὶ τὰ ὄρη συσσείονται Κύριε· ἀλλ' εὐσπλαγχνίας ὄμματι, ἐφ' ἡμᾶς ἐπιβλέψας, μὴ τῷ θυμῷ σου ὀργισθῇς ἡμῖν, ἀλλὰ σπλαγχνισθεὶς ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, τῆς φοβερᾶς ἡμᾶς τοῦ σεισμοῦ, ἀπειλῆς ἐλευθέρωσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἦχος πλ. β'.

Νινευῖται τοῖς παραπτώμασι, τὴν διὰ σεισμοῦ ἀπειλὴν κατάχωσιν ἤκουον· ἐν δὲ τῷ μεσιτεύοντι σημείῳ τοῦ κήτους, τὴν διὰ τοῦ Ἰωνᾶ ἀνάστασιν, ἡ μετάνοια παρακαλεῖ· ἀλλ' ὡς ἐκείνων, βοὴν λαοῦ σου μετὰ νηπίων καὶ κτηνῶν, οἰ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

κτεῖρας προσεδέξω, καὶ ἡμᾶς παιδευομένους, διὰ τῆς τριημέρου Ἀναστάσεως, φεῖσαι καὶ ἐλέησον.

Ἦχος ὁ αὐτός.

Φοβερὸς εἶ Κύριε, καὶ τίς ὑποστήσεται, τῆς δικαίας σου ὀργῆς; ἢ τίς σε δυσωπήσει; ἢ τίς παρακαλέσει Ἀγαθὲ, ὑπὲρ λαοῦ ἡμαρτηκότος καὶ ἀπεγνωσμένου; τὰ οὐράνια τάγματα, Ἄγγελοι, Ἀρχαὶ, καὶ Ἐξουσίαι, Θρόνοι, Κυριότητες, τὰ Χερουβὶμ καὶ Σεραφὶμ, ὑπὲρ ἡμῶν σοι βοῶντα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς ἀγαθέ· διὰ σπλάγχνα ἐλέους, σῶζε πόλιν κινδυνεύουσαν.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄.

Ψάλλεται δὲ τὸ παρὸν Τροπάριον εἰς πᾶσαν Λιτήν.

Οὐράνιε Βασιλεῦ, φιλάνθρωπε Κύριε, μακρόθυμε καὶ πολυέλεε, ἔπιδε ἐξ ἁγίου κατοικητηρίου σου· ἴδε τὴν ταπείνωσιν ἡμῶν· ἴδε καὶ τὴν κάκωσιν ἡμῶν· μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς· μὴ παραδῴης ἡμᾶς εἰς ἐπιδρομὰς ἐθνῶν, ἢ εἰς χεῖρας βαρβάρων, ἢ εἰς χάος ἀπολέσθαι· μή ποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; ἡμεῖς δὲ λαός σου, καὶ πρόβατα νομῆς σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα. Ἔχεις ἔμφυτον τὴν ἀγαθότητά σου, σκέπε τὴν πόλιν ταύτην· ἔχεις πρέσβιν τὴν Θεοτόκον, τὴν σὲ τεκοῦσαν Λόγε, χορὸν τῶν Ἀποστόλων, καὶ πλῆθος τῶν Μαρτύρων, καὶ τῶν Ὁσίων· δέξαι τὰς δεήσεις ὑπὲρ λαοῦ, ἡμαρτηκότος καὶ ἀπεγνωσμένου, καὶ σῶσον ἀνεξίκακε, τὴν κληρονομίαν σου.

---

# ΕΥΧΑΙ

## ΕΠΙ ΑΠΕΙΛΗ ΣΕΙΣΜΟΥ.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ μέγας, καὶ φοβερὸς καὶ θαυμαστὸς, ὁ μέγας ἀληθινὸς, ὁ ποιῶν πάντα καὶ μετασκευάζων· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ὀρέων καὶ καπνίζονται· ὁ σείων τὴν ὑπ᾽ οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στύλοι αὐτῆς οὐ σαλεύονται· ὁ τὰ θεμέλια τῆς γῆς σαλεύων, ἥδρασαι δὲ τῷ σῷ νεύματι (*)· ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς σου· ὅτι ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἀπειλῆς σου, ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου· αὐτὸς μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου παράσχου ἡμῖν, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσι· στήριξον τὴν κτίσιν, στερέωσον τὴν γῆν, παῦσον τὸν κλόνον αὐτῆς, ἕδρασον τὴν δονηθεῖσαν οἰκουμένην, καὶ μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, μηδὲ καταδικάσῃς ἡμᾶς, ταῖς ἁμαρτίαις ἡμῶν, ἐν τοῖς κατωτάτοις τῆς γῆς. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ.

Τοῦ Κυρίου δεηθῶμεν.

Βασιλεῦ ἅγιε, φιλάνθρωπε Δέσποτα, μακρόθυμε Κύριε, ὁ πάσης αἰσθητῆς τε καὶ νοουμένης κτίσεως δημιουργός· ὁ πάντα φέρων τῷ ῥήματι τῆς ἀῤῥήτου δυνάμεώς σου· ὁ μόνος ἔχων ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν· ὁ παιδεύων ἐν δικαιοσύνῃ, καὶ φιλανθρώπως πάλιν ἰώμενος· ὁ τὴν πρόσκαιρον ἡμῶν ζωὴν τῇ πανσόφῳ σου προνοίᾳ διακυβερνῶν, καὶ πάντοθεν τὴν σωτηρίαν χρησίμως κατασκευάζων ἡμῖν· οἴδαμεν, ὅτι διὰ τὰς πολλὰς ἡμῶν ἁμαρτίας συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· καὶ φόβος καὶ τρόμος ἦλθεν ἐφ᾽ ἡμᾶς ἀπὸ προσώπου τῆς ὀργῆς σου, μακρόθυμε. Ἡ καρδία ἡμῶν

(*) Ἡ ἀρχὴ διορθοῦται ἐκ τοῦ Χειρογράφου οὕτως· »Ὁ φοβερὸς, καὶ θαυ»μαστὸς, καὶ μέγας, ὑπερένδοξός τε καὶ ἀληθινὸς Θεὸς, ὁ ποιῶν »πάντα καὶ μετασκευάζων αὐτά· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ »ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζον»ται· ὁ σείων τὴν ὑπ᾽ οὐρανὸν ἐκ θεμελίων, οἱ δὲ στύλοι αὐτῆς »ἐκ θεμελίων σαλεύονται· ὃν πάντα φρίσσει κ.τ.λ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τετάρακται τῇ μάστιγι αὐτῆς· δειλία θανάτου ἐπέπεσεν ἐφ' ἡμᾶς τῇ συγκινήσει αὐτῆς, μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχὴν ἡμῶν, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος, μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος. Διὰ τοῦτο σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν τὸν μόνον ἀνεξίκακον Κύριον· Μὴ μνησθῇς ἀνομιῶν ἡμῶν ἀρχαίων τε καὶ προσφάτων· μὴ ἀντισταθμήσῃς τῷ βάρει τῶν ἁμαρτιῶν ἡμῶν τὴν προσήκουσαν ἀνταπόδοσιν· ἐὰν εἰσέλθῃς εἰς κρίσιν μετὰ τῆς γενεᾶς ἡμῶν ταύτης, οὐδεὶς ἐνώπιόν σου δικαιωθήσεται· ἀλλ' ἀπολεῖται παντελῶς ἀπὸ τῆς γῆς πάντων ἡμῶν τὸ μνημόσυνον. Μνήσθητι, μακρόθυμε, τῶν ἀπ' αἰῶνος οἰκτιρμῶν σου, καὶ τοῦ ἐλέους σου, καὶ τῆς πρὸς τοὺς πατέρας ἡμῶν ἀληθινῆς διαθήκης σου, καὶ μὴ καταπιέτω ἡμᾶς βυθὸς γῆς, μηδὲ συνεχέτω ἡμᾶς τὸ στόμα αὐτῆς· ἀλλ' οἰκτειρον συντετριμμένους ἡμᾶς, καὶ τεταπεινωμένους ἐλέησον· καὶ ὑπὸ τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς τεθορυβημένους, καὶ τρόμῳ πολλῷ καὶ φόβῳ συνεχομένους, ἐπίσκεψαι. Εἰ δέ που καί τινες εἰσὶ μέσον ἡμῶν, οἱ φοβούμενοι τὸ ὄνομά σου καὶ τηροῦντες τὰ σὰ προστάγματα, (βραχεῖά τις ἐκλελεγμένη μερὶς, σπέρμα εὐλογημένον, θησαυρὸς κεκρυμμένος, σοὶ μόνῳ γινωσκόμενος καὶ τηρούμενος), κἀκείνων, ὡς ἀγαθὸς, ἐπάκουσον ὑπὲρ ἡμῶν τῶν ἀναξίων, δεομένων τῆς εὐεργεσίας καὶ τῆς συμπαθείας τῆς σῆς· καὶ πρόσδεξαι τὰς δεήσεις τούτων, ὑπὲρ λαοῦ ἡμαρτηκότος προσαγομένας σοι, φιλάνθρωπε Δέσποτα, ὡς Ἀβραὰμ ὑπὲρ τῶν Σοδόμων, ὡς Δανιὴλ καὶ Ἱερεμίου τῶν θείων σου Προφητῶν, ὑπὲρ τῆς τοῦ Ἰσραὴλ αἰχμαλωσίας τὴν σὴν ἱλεωσαμένων ἀγαθότητα· ἵνα κατὰ γενεὰν καὶ γενεὰν δοξάζηταί σου τὸ τῆς φιλανθρωπίας καὶ μακροθυμίας ἀνεξιχνίαστον πέλαγος· καὶ ἡμεῖς προσάγωμέν σοι δῶρον εὐχαριστήριον, τὴν ἡμῶν ἐπιστροφὴν καὶ μετάνοιαν, τῇ κραταιᾷ σου χειρὶ δυναμούμενοι· εὐχαῖς καὶ πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων Ἁγίων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΥΧΗ ΕΤΕΡΑ.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ἡ τῶν οἰκτιρμῶν ἀνεξάντλητος πηγὴ, τὸ τῆς φιλανθρωπίας ἀνεξιχνίαστον πέλαγος, ἡ ἄπειρος ἄβυσσος τῆς μακροθυμίας καὶ τῆς χρηστότητος· ὁ καὶ τὰς κατὰ γενεὰν ἐπαγομένας τῷ γένει τῶν ἀνθρώπων πληγάς τε καὶ μάστιγας συμφερόντως διὰ φιλανθρωπίας ὑπερβολὴν ἐπιφέρων, ἵνα τὸ πρὸς τὴν ἁμαρτίαν ἡμῶν ἀκρατὲς καὶ ὀξύῤῥοπον, καθάπερ τινὶ χαλινῷ, τῷ θείῳ σου κατεχόμενον φόβῳ, μὴ ἀτάκτως κινῆται κατὰ τῆς θείας εἰκόνος, μηδὲ εἰς τὸ τῆς ψυχῆς εὐγενὲς κακῶς ἐξυβρίζῃ· Στῆσον, δεόμεθα, τὸν φοβερὸν τῆς γῆς κλόνον, καὶ τὴν ἀήθη ταύτης φορὰν, ἣν νῦν δικαίως καθ' ἡμῶν κινεῖσθαι ταύτην προσέταξας, εἰς ὑπόμνησιν τῆς πρὸς πᾶσαν ἁμαρτίαν παρὰ φύσιν ἡμετέρας ὁρμῆς, καὶ τῆς σῆς διὰ ταύτην πρὸς ἡμᾶς δικαίας ἀποστροφῆς. Εἰ γὰρ ἡμεῖς τὰ σὰ προστάγματα διεφυλάττομεν, καὶ τῶν οἰκείων ὅρων ἐντὸς ἱστάμεθα, οὐκ ἂν ἡ γῆ, τῷ σῷ παντοδυνάμῳ προστάγματι πειθομένη, καθ' ἡμῶν ἐκινεῖτο νῦν, τῆς φυσικῆς ἀκινησίας ἐξισταμένη, καὶ τῇ παρὰ φύσιν ταύτης κινήσει καταπιεῖν ἡμᾶς ἐκζητοῦσα. Καὶ δικαίως, ὦ δίκαιε Κύριε· οὐ γὰρ ποιοῦμεν τὰ προστάγματα τῆς βασιλείας σου, καὶ, μὴ ποιοῦντες, οὐ φοβούμεθα τὴν σὴν δικαίαν ὀργὴν καθ' ἡμῶν, Δέσποτα· ἀλλὰ τὸ πονηρὸν ποιοῦμεν ἐνώπιον τῶν σῶν ὀφθαλμῶν, μισοῦντες ἀλλήλους, φθονοῦντες ἀλλήλοις, ὀργιζόμενοι κατ' ἀλλήλων· τὴν ἀγάπην ἀπωσάμεθα, τὴν φιλαδελφίαν ἀπεβαλόμεθα, τὴν ἐλεημοσύνην ἀπεθέμεθα, καὶ τὴν φιλαργυρίαν ἠγαπήσαμεν· τὴν φιλοκτημοσύνην ἠσπασάμεθα, καὶ τὴν ἀκτημοσύνην ἐμισήσαμεν· τὴν γαστριμαργίαν καὶ τὴν φιληδονίαν ἠγαπήσαμεν· τὴν δὲ νηστείαν καὶ ἐγκράτειαν οὐκ ἐποθήσαμεν· καὶ ἁπλῶς, πᾶσάν σου ἐντολὴν ἠθετήσαμεν, Κύριε, καὶ πᾶσαν ἁμαρτίαν διαπραττόμεθα· διὰ ταῦτα γὰρ, φησιν, ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Ταῦτα τῆς κακίας ἡμῶν τὰ ἐπίχειρα· τοῦτο τῶν πονηρῶν καὶ ἀκαθάρτων ἡμῶν πράξεων τὸ καταλ-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ληλον ἀποτέλεσμα· ταῦτα τοῦ μίσους, καὶ τῆς ὑπερηφανίας, καὶ τῶν ἐν κρυφῇ καὶ φανερῶς γινομένων ἀνομιῶν ἡμῶν, τὰ δεινὰ κατορθώματα, θανατηφόρους κἀνταῦθα πληγὰς ἐπάγοντα, κλόνους γῆς, καὶ σεισμοὺς, καὶ λιμοὺς, καὶ λοιμοὺς, καὶ πολεμίων ἐφόδους, καὶ μετὰ ταῦτα τὴν ἀφόρητον ἐκείνην καὶ ἀτελεύτητον βάσανον. Ἀλλὰ μὴ παραδῴη ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, μηδὲ καταπιέτω ἡμᾶς ζῶντας ἡ γῆ, διὰ τὰς ἁμαρτίας ἡμῶν· ἵνα μὴ τὸν τῆς μετανοίας καὶ τῆς ἐπιστροφῆς ζημιωθῶμεν καιρὸν οἱ τάλανες. Εἰ γὰρ καὶ πολλάκις τὴν μετάνοιαν ὑπεσχέθημεν, ἀλλὰ καὶ πολλάκις σοὶ τῷ Θεῷ ἡμῶν ἐψευσάμεθα· διὸ καὶ τὴν τομὴν, κατὰ τὴν ἄκαρπον συκῆν, κατέκρινας, τὴν γῆν ἀρτίως προστάξας καλύψαι πάντας ἡμᾶς. Ἀλλ' ἔτι καὶ νῦν μακροθύμησον, ὁ φιλάνθρωπος Γεωργὸς, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· ὁ ἑβδομηκοντάκις ἑπτὰ συγχωρεῖν τοῖς ἀδελφοῖς κελεύων τὰ ἁμαρτήματα, μὴ συναπολέσῃς τὸ μικρόν σου ποίμνιον τοῦτο φόβῳ συντετριμμένον, καὶ πένθει τεταπεινωμένον, καὶ τῷ τῆς γῆς κλόνῳ τεθορυβημένον, καὶ ἀπορούμενον πάντοθεν. Ἀλλὰ μνήσθητι, μακρόθυμε, τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου· μνήσθητι, ὅτι ἐπιμελῶς ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ, καὶ οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου ἐνώπιόν σου· ἵνα καὶ νῦν, τῆς σῆς ἀφάτου χρηστότητος ἀπολαύοντες, εὐχαριστήσωμεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις καὶ φοβεροῖς ἔργοις σου, ἃ ἐποίησας καὶ ποιεῖς μετὰ τῶν ἀναξίων ἡμῶν, κατὰ τὸ τῆς σῆς φιλανθρωπίας ἀνεξιχνίαστον πέλαγος. Χάριτι τοῦ ἀνάρχου σου Πατρὸς, καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος· εὐχαῖς καὶ πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΠΟΣΤΟΛΟΣ ΚΑΙ ΕΥΑΓΓΕΛΙΟΝ

## ΕΙΣ ΦΟΒΟΝ ΣΕΙΣΜΟΥ.

Προκείμενον, Ἦχος πλ. δ'.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου.

Στίχ. Ἡ σωτηρία σου, ὁ Θεὸς, ἀντιλάβοιτό μου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ιβ'. 6.

Ἀδελφοὶ, ὃν ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; Εἰδὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί. Εἰ δὲ τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς, ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. Διὸ τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε· καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

Ἀλληλούϊα, Ἦχος πλ. δ'.

Συνέσεισας τὴν γῆν, καὶ συνετάραξας αὐτήν.

Εὐαγγέλιον, κατὰ Ματθαῖον. Κεφ. η'. 23.

Τῷ καιρῷ ἐκείνῳ, ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ. Καὶ ἰδοὺ, σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκάθευδε. Καὶ προσελθόντες οἱ Μαθηταὶ αὐτοῦ, ἤγειραν αὐτὸν, λέγοντες· Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα. Καὶ λέγει αὐτοῖς· Τί δειλοί ἐστε, ὀλιγόπιστοι;

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Τότε ἐγερθεὶς, ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ· καὶ ἐγένετο γαλήνη μεγάλη. Οἱ δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες· Ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

Καὶ καθεξῆς ἡ θεία Λειτουργία.

Κοινωνικόν. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν.

# ΚΑΝΩΝ ΙΚΕΤΗΡΙΟΣ

## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΡΙΑΔΑ ΚΑΙ ΕΙΣ ΠΑΝΤΑΣ ΤΟΥΣ ΑΓΙΟΥΣ,

### εἰς ἀπειλὴν λοιμικῆς ἀσθενείας.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ἡ παντουργὸς καὶ συμφυὴς καὶ σύνθρονος, καὶ ὁμοδύναμος, καὶ τριφεγγὴς δόξα, Πάτερ ἀκατάληπτε, Υἱὲ καὶ Πνεῦμα ἅγιον, χαλεπῆς ἀσθενείας, τοὺς σοὺς οἰκέτας ἀπάλλαξον, ὅπως εὐχαρίστως δοξάζωμεν.

Ἁμαρτιῶν με καταιγὶς συνώθησεν, εἰς ἀσθενείας βυθὸν, καὶ συνεχεῖς πόνοι, ὥσπερ τρικυμίαι με, χειμάζουσι τὸν δείλαιον. Ὁμοδύναμον κράτος, Τριὰς ἁγία σπλαγχνίσθητι· σῶσόν με δεινῶς ἀπολλύμενον.

Τῆς συνεχούσης ἁμαρτίας λύτρωσαι, Τριὰς ἀμέριστε, ἡμᾶς τοὺς σοὺς δούλους, δρόσῳ τοῦ ἐλέους σου, σβεννύουσα τὸν καύσωνα, τῶν δεινῶν ἀλγηδόνων, καὶ τὴν ὑγείαν παρέχουσα, ὅπως ὀρθοδόξως ὑμνῶμέν σε.

Θεοτοκίον.

Τὸν λυτρωτὴν καὶ παντουργὸν καὶ Κύριον, κυοφορήσασα, τὸν τὰς ἡμῶν νόσους, Πάναγνε βαστάσαντα, αὐτὸν οὖν καθικέτευε, χαλεπῆς ἀσθενείας, τοὺς σοὺς οἰκέτας λυτρώσασθαι, μόνη τῶν ἀνθρώπων βοήθεια.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἐπουράνιοι Νόες, Ἀγγελικὰ τάγματα, Θρόνοι καὶ Ἀρχαὶ καὶ Δυνάμεις, καὶ Κυριότητες, ἐκδυσωποῦσί σε, τὸν ἀγαθὸν καὶ Σωτῆρα, λοιμικῆς ἀπάλλαξον νόσου τοὺς δούλους σου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἵνα φιλανθρωπίας, ἐπὶ πολὺ Δέσποτα, σῆ ἐπιδεικνύῃς τὴν ἄβυσσον παντοδύναμε, νόσου ἀπάλλαξον, θανατηφόρου καὶ πόνων, χαλεπῶν τοὺς δούλους σου, μόνε μακρόθυμε.

Ὡς Θεοῦ παραστάται, λειτουργικὰ πνεύματα, Ἄγγελοι Ἀρχάγγελοι τοῦτον ἐκδυσωπήσατε, παῦσαι τὸ νόσημα, διασκεδάσαι τὴν λύμην, τῆς θανατηφόρου τε μοίρας λυτρώσασθαι.

Θεοτοκίον.

Ἰαμάτων πηγήν σε, τῶν ἀγαθῶν ἔδειξεν, ἄβυσσος ἐκ σοῦ προελθοῦσα Χριστὸς ὁ Κύριος, Κόρη παναμώμε· διὸ κλυδωνιζομένους, ἀσθενείας λαίλαπι, ῥῦσαι τοὺς δούλους σου.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς, Κύριε.

Νῦν ἡ σκιὰ, ὄντως θανάτου ἐκύκλωσε, καὶ τοῦ ᾅδου, πύλαις προσεπέλασεν· ἀλλὰ σὺ Σῶτερ ὡς δυνατὸς, ἡμᾶς ἀναστήσας, θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐν πίστει, ἀδιστάκτῳ βοῶντας· Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Οἱ τοῦ Χριστοῦ, Μύσται αὐτόπται καὶ κήρυκες, εἰληφότες, δῶρον τὰ ἰάματα, καὶ ἰατροὶ ὄντες ψυχικοὶ, ἐκ τῶν ἀναγκῶν με, Ἀπόστολοι ἐξαγάγετε, τῆς συνεχούσης νόσου, Ἰησοῦν δυσωποῦντες, τὸν Δεσπότην καὶ ῥύστην καὶ Κύριον.

Ἁμαρτιῶν, ζάλη ἡμᾶς νῦν κατέλαβεν, ἀσθενείας, κύματα χειμάζουσι, πόνοι βυθίζουσι συνεχεῖς, θλίψεις καὶ ὀδύναι, ἡμᾶς τοὺς δειλαίους εὕροσαν· Ἀπόστολοι Κυρίου, ταῖς ὑμῶν ἱκεσίαις, βοηθείας τὴν χεῖρα ὀρέξατε.

Θεοτοκίον.

Πόνοις δεινοῖς, καὶ συνεχέσι βαλλόμενοι, τῇ Παρθένῳ, πάντες σοι προσπίπτομεν, τῇ κραταιᾷ σκέπῃ σου ἁγνή· Σῶσον ἡμᾶς πάντας, οἰκτείρησον Θεονύμφευτε, ἐκλύτρωσαι τῆς λύμης, καὶ δεινῆς ἀῤῥωστίας, καὶ τὰ ἄλγη θεράπευσον Δέσποινα.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Οἱ θαλάσσας ἀπάτης, ταῖς μελισταγέσιν ὑμῶν παρακλήσεσιν, ἱεροὶ Προφῆται, κατακλύσαντες, νῦν μεταβάλετε, τὴν πικρίαν ὅλην, τῆς λοιμικῆς νῦν ἀσθενείας, εὐρωςίας πρὸς θείαν γλυκύτητα.

Ἐνεπάγησαν βέλη, τὰ τῆς ἀσθενείας προστάξει σου Κύριε, καὶ ἐπεστηρίχθη, ἐφ' ἡμᾶς ἡ σὴ χεὶρ παντοδύναμε· ὡς

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Θεὸς οἰκτίρμων, οἴκτειρον πάντας σῷ ἐλέει, ταῖς εὐχαῖς τῶν ἁγίων Μαρτύρων σου.

Τὸν υἱὸν ὥσπερ πάλαι, χήρας ἐξανέστησας τῷ σῷ προςάγματι, νεκρωθέντα Λόγε, χαλεπῆς ἀσθενείας τοὺς δούλους σου, ἀγαθὸς ὢν μόνος, καὶ συμπαθὴς ἀπολυτρώσας, ζωοποίησον μόνε φιλάνθρωπε. Θεοτοκίον.

Ἐν νυκτὶ τῇ τοῦ βίου, θύελλα κατέλαβε πάσης κακώσεως, καὶ ἐκάλυψέ με, ἀσθενείας Παρθένε σκοτόμαινα· ἀλλ' ἀνάτειλόν μοι, ἀναψυχῆς πάναγνε φέγγος, καὶ πρὸς φῶς εὐρωστίας ὁδήγησον.

Ὠδὴ ϛ'. Ἱλάσθητί μοι Σωτήρ.

Εἰς πέλαγος ἀχανὲς, ἀσθενειῶν περικείμεθα, καὶ λοιμικῆς συμφορᾶς, χειμάζει τὰ κύματα· κυβερνῆτα Κύριε, βοηθείας χεῖρα, ἐπεκτείνας νῦν διάσωσον.

Παράλυτον ὡς τοπρὶν, συνέσφιγξας θείῳ νεύματι, ἐκ νόσου ὀδυνηρᾶς, καὶ στρωμνῆς κακώσεως· νόσου βαρυτάτης δὲ, οἰκτειρήσας δίδου, τὴν ὑγείαν Πολυέλεε.

Τῶν Προφητῶν ὁ χορὸς, τῶν Ἀποστόλων ὁ σύλλογος, τὸ στῖφος τῶν Ἀθλητῶν, νῦν ἐκδυσωποῦσί σε, μόνε Πολυέλεε, ὑπὲρ τοῦ λαοῦ σου· ἀγαθὲ τοῦτον οἰκτείρησον.

Θεοτοκίον.

Μαρία τὸ καθαρὸν, τῆς παρθενείας κειμήλιον, καθάρισον δὴ ἡμᾶς, καὶ νόσων καὶ θλίψεων, καὶ τῆς συνεχούσης νῦν, ἀσθενείας ῥῦσαι, ἵνα πίστει σε δοξάζωμεν.

Κοντάκιον. Ἐπεφάνης σήμερον.

Προστασία ἄμαχε, τῶν θλιβομένων, καὶ πρεσβεία ἕτοιμε, τῶν ἐλπιζόντων ἐπὶ σὲ, ἀπὸ κινδύνων ἐκλύτρωσαι, καὶ μὴ παρίδῃς, ἡ πάντων ἀντίληψις.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Φλογίζει ἡ κάμινος, ἀμέτρων πόνων καὶ κατακαίει με· πυρετοῦ λοιμικῆς με, ἡ φλὸξ ἀπαύστως ἡ ἀναιδέστατος· ἀλλὰ τῇ δρόσῳ τοῦ ἐλέους σου, Σῶτερ ἀνάψυξον ψάλλοντα· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Προφῆται Ἀπόστολοι, Μαρτύρων δῆμος θεῖοι Διδάσκαλοι, τῶν νοσούντων τὸ ἄλγος, ὑμῶν πρεσβείαις καταπραΰ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

νατε, καὶ τὴν ὑγείαν δωρήσασθε ψάλλουσιν· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ λόγῳ τὸν Λάζαρον, ἐξαναστήσας, νῦν ὡς ἐκ τάφου ἡμᾶς, χαλεπῆς ἀσθενείας, ἐξαναστήσας ζώωσον Κύριε, ἵνα βοῶμεν ᾠδὴν χαριστήριον· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Οἰκτίρμων ὑπάρχουσα, καὶ Μήτηρ οὖσα τοῦ πανοικτίρμονος, οἰκτειρήσασα ῥῦσαι, τὸν σὸν λαὸν τὸν ἐπικαλούμενον, τὰ σὰ ἐλέη Παρθένε καὶ ψάλλοντα· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ ή. Ἑπταπλασίως κάμινον.

Ὀδυνηρῶς στενάζομεν, ἀπὸ κλίνης ὀδύνης ἡμῶν, καὶ ἀπὸ λοιμώδους, ἀσθενείας κράζομεν, πρὸς σὲ τὸν φιλάνθρωπον· τὰ τῆς καρδίας ὄμματα, νῦν ἀναπετῶντες, τὴν ὑγείαν αἰτοῦμεν· Ἐπίσκεψαι ἡμᾶς Σῶτερ, καὶ ἀνάστησον ψάλλειν· Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ τὴν ἡμῶν ἀσθένειαν, συμπαθῶς ἐνδυσάμενος, καὶ ὁμοιωθῆναι, τοῖς βροτοῖς ἑλόμενος, εὐχαῖς τῶν Ὁσίων σου, ἀπεγνωσμένους σῶσον ἡμᾶς, ἔγειρον ἐκ τάφου, ἀπογνώσεως ψάλλειν· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Δημιουργὲ τῆς φύσεως, χορηγὲ τῆς ἰάσεως, σπλάγχνα οἰκτιρμῶν τε, καὶ εὐσπλαγχνίας πέλαγος, ὡς ἔχων μακρόθυμε, ἐπισκοπῇ ἐπίσκεψαι, ἀπὸ τῆς λοιμώδους, ἀσθενείας λαόν σου, καὶ ζώωσον κραυγάζειν· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἡ κραταιὰ βοήθεια, καὶ βεβαία ἀντίληψις, τῶν ἀπηλπισμένων, ἡ ἐλπὶς Παναμώμε, ἐπίσκεψαι κάμνοντας, ὀδυνηρῶς τοὺς δούλους σου· κούφισον τὸ βάρος, τῆς πικρᾶς ἀσθενείας· ἀπέλασον τὴν νόσον, τῆς λοιμώδους ἀνάγκης, καὶ σῶσον τοὺς σοὺς δούλους, Παρθένε Θεοτόκε.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Θαυμάσια μεγάλα ὧν ἀριθμός, οὐχ ὑπάρχει ποιήσας ἀθάνατε, ἐπὶ τοὺς σοὺς, δούλους τὰ ἐλέη σου ὁ Θεὸς, ὡς συμ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

παθὴς ἀνάδειξον, καὶ τῆς συνεχούσης ἡμᾶς νυνὶ, ἀπάλλαξον ὀδύνης, λιταῖς τῆς σὲ Τεκούσης, καὶ τοῦ χοροῦ τῶν Ἀθλοφόρων σου.

Ἀγγέλων Ἀρχαγγέλων καὶ Προφητῶν, Ἀποστόλων Μαρτύρων Ὁσίων τε, Ἱεραρχῶν, Ἱερομαρτύρων σου ταῖς εὐχαῖς, τὸν κοπετὸν τῶν δούλων σου, στρέψον Παντοδύναμε εἰς χαρὰν, θεράπευσον τὸ ἄλγος, κούφισον τὰς ὀδύνας, καὶ τὴν ὑγείαν ἡμῖν δώρησαι.

Ψυχῶν τε καὶ σωμάτων τὸν ἰατρὸν, ἐν ἐλέει τὸν πλούσιον Κύριον, σὲ δυσωπῶ· Ἴασαι τὰ πάθη μου τὰ πολλὰ, τῶν ὀδυνῶν ἀπάλλαξον, καὶ τῶν λυπηρῶν με ὡς ἀγαθὸς, καὶ μόνος εὐεργέτης, καὶ σῶζε τοὺς ἐν πίστει, εἰλικρινῶς σε μεγαλύνοντας.

Θεοτοκίον.

Οἰκτίρμονα τεκοῦσα καὶ συμπαθῆ, καὶ Δεσπότην καὶ Κτίστην καὶ Κύριον, νῦν ἐπ' ἐμοὶ, δεῖξόν σου συνήθως τοὺς οἰκτιρμοὺς, καὶ χαλεπῆς με λύτρωσαι, νόσου δαπανώσης μου τὴν ψυχὴν, Παρθένε Θεοτόκε· παράσχου μοι τὴν ῥῶσιν, ὅπως ἀπαύστως μεγαλύνω σε.

---

# ΕΥΧΗ
## ΕΙΣ ΛΟΙΜΙΚΗΝ ΝΟΣΟΝ.

Τοῦ Κυρίου δεηθῶμεν.

Παντοκράτορ Δέσποτα, μακρόθυμε, πολυέλεε, εὐδιάλλακτε, φιλάνθρωπε, πανάγαθε, ὑπεράγαθε, παντοδύναμε Χριστὲ, ὁ Θεὸς ἡμῶν· σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, διὰ μόνην ἀγαθότητος περιουσίαν, τὴν ἡμετέραν φύσιν παρήγαγες· σὺ νοερὰν ψυχὴν καὶ λόγον ἐμπνεύσας ἡμῖν, καὶ εἰκόνι σου τιμήσας ἡμᾶς, τρυφῆς τοῦ Παραδείσου, καὶ θεοειδοῦς ἀγωγῆς, καὶ ὁμιλίας θείας ὑπερφυῶς κατηξίωσας· σὺ τὴν σὴν ἐντολὴν ἀθετήσαντας, καὶ ἀπάτῃ καὶ πλάνῃ καθυπαχθέντας δαιμονικῇ, καὶ τῆς σῆς ἐκπεσόντας δόξης, καὶ θάνατον ἀλλαξαμένους ζωῆς, καὶ βασιλείας δουλείαν αἰσχρὰν, σὺ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

παρεῖδες διὰ πέλαγος ἄφατον μακροθυμίας καὶ ἀγαθότητος, ἀλλ' ἐπεσκέψω πολυτρόπως διὰ Πατέρων καὶ Προφητῶν· σὺ Νόμον ἡμῖν τὸν ἐν γράμμασιν εἰς ἐπιστροφὴν καὶ παιδαγωγίαν ἔδωκας· Ἀγγέλους ἐπέστησας, ὁδηγούς τε καὶ φύλακας, διδάσκοντας καὶ χειραγωγοῦντας οἱονεὶ πρὸς τὴν τοῦ κρείττονος εὕρεσιν. Ἐπεὶ δὲ πάντα ταῦτα κενὰ καὶ μάταια ἀπεδείξαμεν τῇ ἀμέτρῳ πρὸς τὴν κακίαν ἡμῶν ῥοπῇ, αὐτὸς σὺ τὴν δευτέραν τῆς φύσεως ἡμῶν δημιουργίαν τε καὶ ἀνάπλασιν ἀῤῥήτως ἐπὶ τέλει τῶν αἰώνων εἰργάσω, καὶ ὅλον τὸν ἡμέτερον ἄνθρωπον ἑνώσας φρικτῶς ὅλῃ σου τῇ Θεότητι, καὶ σαρκὶ τὴν σάρκα, καὶ ψυχῇ τὴν ψυχὴν καθαγιάσας, καὶ θανάτῳ καὶ πάθεσι τῶν παρὰ φύσιν παθῶν καὶ τοῦ θανάτου ἀπαλλάξας ἡμᾶς, διὰ τῆς τηρήσεως τῶν θείων σου ἐντολῶν, τῆς ἀθανάτου ζωῆς κατηξίωσας. Ἀλλὰ καὶ πάλιν ἡμεῖς, τὰς θείας σου ἐντολὰς ταύτας παραβάντες, καὶ τῶν ὀρέξεων ἡμῶν καὶ τῶν θελημάτων ὀπίσω γενόμενοι, πᾶσαν ἁμαρτίαν ἐπιμελῶς καθ' ἑκάστην διενεργοῦμεν, καταλαλιὰν, βλασφημίαν, μνησικακίαν, ἐπιορκίαν, ψευδολογίαν, αἰσχρολογίαν, δόλον, ἔριν, φθόνον, καὶ πᾶσαν ἀθέμιτον αἰσχρουργίαν φυσικήν τε καὶ παρὰ φύσιν, καὶ ἣν οὐδὲ ἐν ἀλόγοις ζώοις ἔστιν εὑρεῖν, ταύτην ἀσεβέστατα καινοτομοῦμεν. Ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν· τῆς βοηθείας τῆς σῆς γεγυμνώμεθα· μυκτηρισμὸς καὶ χλεύη τοῖς κύκλῳ ἡμῶν ἐγενήθημεν· τὸ σὸν ὄνομα, τὸ πανάγιον καὶ προσκυνητὸν, δι' ἡμῶν βλασφημεῖσθαι τοῖς ἔθνεσι πεποιήκαμεν, τῇ κακίᾳ παλαιωθέντες, καὶ ταῖς τρίβοις ἀφρόνως χωλάναντες· πάντες ἐξεκλίναμεν, ἅμα ἠχρειώθημεν, οὐκ ἔστιν ὁ συνιὼν, οὐκ ἔστιν ἕως ἑνός· Ἱερεῖς καὶ Λαὸς ἐξέστημεν ἐπὶ τὸ αὐτό. Διὰ ταῦτα, κρίσει δικαίᾳ, ἐξώσθημεν ἀπὸ σοῦ, καὶ ἀπεῤῥίφημεν τῆς μεγάλης σου ἀντιλήψεως, καὶ τὴν πολλήν σου φιλανθρωπίαν πρὸς ἀγανάκτησιν ἐτρέψαμεν οἱ ταλαίπωροι. Λοιμοὶ, καὶ αἰχμαλωσία, καὶ ξενοχωρία, καὶ ἀπορία, καὶ θάνατοι ποικίλοι καὶ συνεχεῖς τοὺς τρισαθλίους ἡμᾶς ἐμερίσαντο, ἵνα, διὰ τῶν τοιούτων μαστίγων, πρὸς ἑαυτὸν ἄκοντας ἑλκύσῃς, Φιλάνθρωπε. Ἀλλ' οὐδὲ οὕτω γέγονέ τι πλέον παρ' ἡμῶν· παρέδωκας ἡμᾶς εἰς δουλείαν τοῖς ἔθνεσι,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ εἰς αἰχμαλωσίαν, καὶ σφαγήν, καὶ διαρπαγὴν τοῖς ἀνόμοις, καὶ οὐδὲ οὕτω συνήκαμεν, οὐδὲ τῶν πονηριῶν ἡμῶν καὶ τῶν ἀνομιῶν ἡμῶν ἀπέστημεν. Μικρὸν τῆς δουλείας ἀνῆκες ἡμᾶς παραδόξως, καὶ τῶν ἀσεβῶν παρὰ πᾶσαν ἠλευθέρωσας ἐλπίδα, καὶ ἔτι μᾶλλον προσεθήκαμεν ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ, τῇ εὐεργεσίᾳ φυσιωθέντες, καὶ τῇ ἐλευθερίᾳ καὶ τῇ ἀνέσει καταχρησάμενοι. Διὰ ταῦτα, πανάγαθε Δέσποτα, ὡς μήτε διὰ τῶν λυπηρῶν καὶ τῶν δεινῶν σωφρονιζομένους, μήτε διὰ τῶν σῶν εὐεργεσιῶν καὶ τῶν χαρίτων βελτίους γινομένους, κρίσει δικαίᾳ κατεδίκασας ἡμᾶς, καὶ ἀπωλείᾳ καὶ πανολεθρίᾳ καὶ ἀφανισμῷ παντελεῖ παραδέδωκας· καὶ δῆλον, ὡς τέλεον ἐκτριβῆναι καὶ ἀφανισθῆναι κατεκρίθημεν, ἀφ' ὧν οὕτως ἀφειδῶς τὴν διαδοχὴν τοῦ γένους πρόωρον ἐξεθέρισας, ὡς μηδὲ ῥίζαν, μηδὲ σπέρμα τῷ Ἰσραὴλ ὑπολειφθῆναι, κατὰ τὸ γεγραμμένον, ἀλλὰ γενέσθαι ἡμᾶς ὡς Σόδομα καὶ ὡς Γόμορρα, καθ' οὓς κατακλυσμὸς ἄρδην πάλαι διέφθειρεν, αὐταῖς ῥίζαις καὶ αὐτοῖς κλάδοις ἀφανισθέντας. Οὐδὲ γὰρ ἡ νόσος, ἐπιπεσοῦσα κατὰ μικρόν, μετρίως ὑπεξάγει τοὺς θνήσκοντας· ἀλλά, καθάπερ σφαγέως παρόντος καὶ ἑκάστῳ μετὰ τῆς ῥομφαίας καιρίαν ἐπιφέροντος, οὕτως ἅμα τε τὴν πληγὴν καὶ τὸ σύμβολον ἀθρόον ἐδέξαντο τοῦ θανάτου πολλοί, καὶ ἅμα πάντας ἐξαίφνης τὸ σκότος ἐκάλυψε, καὶ ὁ θάνατος, ὡς μόνον εἰπόντας, ὅτι ἐπλήγημεν, κατὰ πόδας εὐθὺς ἐπακολουθεῖ· ὥστε συνδύω καὶ συντρεῖς ἐκβάλλεσθαι ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς οἰκίας, καὶ πρὸς ἐκφορὰν ἀπάγεσθαι, ὥσπερ σωμηδὸν ἐπὶ μιᾷ κλίνῃ κειμένους, καὶ μηδ' ἐξαρκεῖν τοὺς περιλειπομένους τῶν νενομισμένων ἀξιοῦν τοὺς προσήκοντας, μηδὲ ἔχειν πρὸς τίνα πρῶτον τῶν συγγενῶν πορευθῆναι, πάντων ἁπλῶς ὁμοῦ φθειρομένων ἐλεεινῶς, καὶ παραπεμπομένων τῷ ᾅδῃ· ἀλλ' ἀπορίᾳ καὶ ἀμηχανίᾳ πανταχόθεν ἐλαυνομένους, μὴ ἐξευρίσκειν τί μᾶλλον τῆς συμφορᾶς θρηνῆσαι προσήκει, πότερον τὸν ἄωρον θάνατον, ἢ τὸ αἰφνιδίως οὕτως ἁρπάζεσθαι, ἢ τοὺς προαπελθόντας, ἢ τοὺς τηνικαῦτα ἐκπνέοντας, ἢ τοὺς αὐτίκα τοῦτο πείσεσθαι μέλλοντας, ἢ τοὺς περιεῖναι δοκοῦντας καὶ ἀνωτέρους τοῦ πάθους. Πρὸ πάντων δὲ μάλ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

λον ἔπεστιν ὀδύρεσθαι καὶ δακρύειν, ὡς, οὐ περιλειπομένης ἐλπίδος οὐδὲ μιᾶς, μὴ καὶ ἑαυτοὺς ἐν ὀλίγῳ μετὰ νεκρῶν ἀριθμεῖσθαι· οὕτως ἀπελπισμένοι πανταχόθεν προκείμεθα, καθάπερ θρέμματα τὴν σφαγὴν ἀναμένοντες. Σήμερον περιΐσαται τοῖς πατράσι καὶ ταῖς μητράσι χορὸς παίδων, χορὸς υἱῶν, χορὸς ἄλλων συγγενῶν καὶ συνήθων, ὡς στενοχωρεῖσθαι (*) τὰς οἰκίας τῷ πλήθει, συναγομένων ἐν οἷς τε κατὰ φατρίας καὶ συγγενείας· καὶ αὔριον, ἄπαιδες, ἔρημοι, ἐλεεινοί, περιηρημένοι, καὶ ὥσπερ ἠκρωτηριασμένοι τὰ καιριώτατα, καὶ ἀθρόως τὴν ἐλπίδα πᾶσαν ἀποβαλλόμενοι καὶ τῆς ζωῆς καὶ τοῦ γήρως, καὶ τῆς διαδοχῆς τῆς εἰς ἔπειτα γενεᾶς, καὶ πάντων ὁμοῦ τῶν φυσικῶν καὶ τῶν φιλτάτων καὶ τῶν ἀναγκαιοτάτων στερούμενοι. Ἐξεπλάγημεν οὖν, φιλάνθρωπε Δέσποτα, τῷ μεγέθει τῆς ἀφορήτου ταύτης συμφορᾶς καὶ τῆς μάςιγος· καὶ μικροῦ ἐξέστημεν ἑαυτῶν, καὶ ἀπορία καὶ ἀμηχανία περιέσχεν ἡμᾶς, καὶ φόβος καὶ τρόμος ἀνεκδιήγητος ἦλθεν ἐφ' ἡμᾶς, καὶ ἐκάλυψεν ἡμᾶς σκιὰ θανάτου, καὶ ἀπειρήκαμεν καὶ ἀπεγνώκαμεν παντάπασιν. Οὐδὲ γὰρ ἐν τοῖς ζῶσιν ἑαυτοὺς λογιζόμεθα, οὐδ' ἐν τῷ καθεστηκότι τοῦ νοὸς ἐσμέν· ἀλλ' ἕκαςος τὴν πληγὴν καὶ τὸ σημεῖον ἑαυτῷ φανταζόμενος ἔχειν, πυκνὰ τῶν μελῶν ἐφαπτόμενοι, καθ' ὥραν ἐξιστάμενοι, κἂν κώνωψ ἐπέλθῃ, κἂν ζωΰφιόν τι δάκῃ, τὸν ὄλεθρον παρεῖναι οἰόμενοι ὑπὸ τοῦ δέους, καὶ πρὸ τοῦ θανάτου νεκροῦσθαι δοκοῦμεν. Ὅθεν καὶ περιάγομεν ἅπαντες, ὥσπερ ἡμιθνῆτες καὶ ἐκλελυμένοι, καὶ πανταχόθεν ἠπορημένοι, καὶ μηδὲ μίαν καταφυγὴν εὑρίσκοννες· καὶ τὸ δὴ χείριστον, ὅτι οὐδὲ διάραι τὰ ὄμματα ἡμῶν εἰς τὸν οὐρανὸν, οὐδὲ ἀνοῖξαι τὸ στόμα ἡμῶν καὶ εὔξασθαι ἐνώπιόν σου τολμῶμεν οἱ τάλανες, τῷ κέντρῳ τοῦ συνειδότος πληττόμενοι· ἀλλὰ τὰ ἔργα ἡμῶν, τὰ πονηρὰ καὶ πάσης ἀκαθαρσίας ἀνάμεστα, πρὸ ὀφθαλμῶν ἔχοντες, αἰσχύνῃ τὰ πρόσωπα καλυπτόμενοι, ἀναξίους ἑαυτοὺς τῆς σῆς βοηθείας καὶ τῆς σῆς ἀντιλήψεως κρίνομεν, τοῦτο μόνον, συντετριμμένοι καὶ τεταπεινωμένοι, καὶ κατῃσχυμμένοι βοῶν-

(*) Διόρθωσον, εἰ δοκεῖ οὕτως· ὥς τε οὐ χωρῆσαι.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τες πρὸς σὲ τὸν ἀγαθὸν Θεόν· Δίκαιος εἶ, Κύριε, καὶ δικαία ἡ κρίσις σου κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν· μᾶλλον δέ, οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησας ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκας ἡμῖν. Ἀλλὰ καὶ ταύτην τὴν καθ' ἡμῶν ἐπιφερομένην μάστιγα, φιλάνθρωπον πλέον, ἢ δικαίαν, εἶναι ὁμολογοῦμεν· πᾶσα γὰρ μάστιξ καὶ πληγὴ καὶ πᾶς ὄλεθρος καθ' ἡμῶν ἐπιφερόμενος, ὀλίγος ἐστὶ καὶ μικρὸς πρὸς τὰ πολυπληθῆ ἡμῶν ἀνομήματα. Διὰ μὲν οὖν τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτημάτων, οὐδὲ θαῤῥῆσαι ἔχομεν, δικαιοκρῖτα Κύριε, ἵνα τὴν σὴν ἱκετεύσωμεν ἀγαθότητα, λύσιν τῆς φοβερᾶς ταύτης εὑρεῖν ἀπειλῆς. Ἡ δε ὑπερβολὴ τῆς σῆς εὐσπλαγχνίας, καὶ τῶν σῶν οἰκτιρμῶν ἡ ἄβυσσος, πολυέλεε Δέσποτα, κατατολμᾷν ἀναγκάζει καὶ τὰ ὑπὲρ τὴν ἡμετέραν ἀξίαν ἐπιζητεῖν. Ὅθεν, Θεὲ ὑπεράγαθε καὶ Κύριε τοῦ ἐλέους, δεόμεθά σου τῆς γαληνότητος· Στῆσον τὴν καθ' ἡμῶν τοσαύτην ἐπιφερομένην ὀξεῖαν καὶ ἄωρον τοῦ θανάτου ῥομφαίαν, καὶ μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ παραδῴης ἡμᾶς εἰς τέλος ἀπολέσθαι, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, μηδὲ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, φιλάνθρωπε, μηδὲ διασκεδάσῃς τὴν διαθήκην σου, ἣν διέθου τοῖς πατράσιν ἡμῶν, μηδὲ ὀλιγοστοὺς ἡμᾶς ποιήσῃς παρὰ πάντα τὰ ἔθνη. Ἀντίθες τὴν ἄβυσσον τῶν οἰκτιρμῶν σου τῷ πλήθει τῶν ἡμετέρων κακῶν· σοὶ μόνῳ ἁμαρτάνομεν, Κύριε, ἀλλὰ καὶ σοὶ μόνῳ λατρεύομεν· ἐκτός σου, ἄλλον Θεὸν οὐ γινώσκομεν· σοὶ μόνῳ μετὰ συντετριμμένης καὶ τεταπεινωμένης καρδίας παριστάμεθα, καὶ δακρύοντες βοῶμεν, τό, Κύριε ἐλέησον. Δέξαι, φιλάνθρωπε, τὴν κοινὴν ταύτην συντριβὴν ἡμῶν, καὶ τὸν καρδιακὸν πόνον, ὡς ἐδέξω τὰ δάκρυα Ἐζεκίου ἐν τῇ θλίψει τῆς καρδίας αὐτοῦ, καὶ τοῦ θανάτου τοῦτον ἐῤῥύσω, καὶ χρόνον ζωῆς ἐδωρήσω παρὰ τὸν ὡρισμένον τοῦ τέλους αὐτῷ· Ἀπέστρεψε γάρ, φησιν, Ἐζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον, καὶ ἔκλαυσε· καὶ παρευθύς, ὡς φιλάνθρωπος Δεσπότης, τὸν Προφήτην ἀπέστειλας, λέγοντα αὐτῷ· Ἤκουσα τῆς προσευχῆς σου, καὶ εἶδον τὰ δάκρυά σου, καὶ προσθήσω ἐπὶ τὰ ἔτη σου πεντεκαί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

δεκα ἔτη. Αὐτὸς οὖν, ἀνεξίκακε Κύριε, ὁ εἰπών· Οὐ θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, σπλαγχνίσθητι καὶ ἐφ' ἡμῖν τοῖς ἀναξίοις, καὶ ἀπόστρεψον τὸν θυμόν σου τὸν δικαιότατον ἀφ' ἡμῶν, καὶ μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν. Ὁρᾷς, Δέσποτα, ὅπως ἐσμικρύνθημεν, καὶ ὠλιγώθημεν ἡ κληρονομία σου, καὶ τὸ ἅγιον ἔθνος σου, καὶ τὸ πλήρωμα τῆς γῆς ὅλης, οὗ ἡ σκιὰ καὶ τὰ ὄρη περιελάμβανε. Μνήσθητι, φιλάνθρωπε, τοῦ Σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τοῦ ἑκουσίου Πάθους σου, οὗ ὑπὲρ ἡμῶν τῶν κατακρίτων ὑπέμεινας, καὶ μὴ ἁρπάσῃ ὡς λέων τὰς ψυχὰς ἡμῶν, μὴ ὄντος λυτρουμένου, μηδὲ σώζοντος. Οἶδας, μακρόθυμε, ὡς οὐδεμία πληγὴ τῶν ἀναισθήτων οὕτως Αἰγυπτίων καθήψατο, ὡς ἡ τῶν πρωτοτόκων φθορὰ καὶ ἀπώλεια· ἐφ' ἡμῖν δὲ, ἀμύθητός ἐστιν ἡ συμφορὰ καὶ ἀνείκατον τὸ δεινὸν, πάντων ὁμοῦ καὶ τῶν πρώτων καὶ τῶν μέσων καὶ τῶν ἐσχάτων πρὸ ὥρας οὕτως ἁρπαζομένων ἐξαίφνης. Σπλαγχνίσθητι οὖν, εὐδιάλλακτε Κύριε, ἐπὶ τοῖς δάκρυσι καὶ τοῖς κλαυθμοῖς τῶν νηπίων καὶ τῶν βρεφῶν, καὶ τῆς ἀπλάστου πάσης καὶ ἀώρου ἡλικίας, καὶ στῆσον τὴν καθ' ἡμῶν δικαίαν σου ἀγανάκτησιν, καὶ κοπασάτω ἡ θραῦσις, πολυέλεε Κύριε· τὴν γὰρ πληγὴν καὶ τὸ σύμβολον τοῦ θανάτου τὰ βρέφη δεξάμενα, καὶ ἐν συναισθήσει τοῦ κακοῦ καὶ τῆς φθορᾶς γενόμενα, πρὸς ἡμᾶς κεχήνασι, καὶ ὅλοις ὀφθαλμοῖς ἐνατενίζουσι, καὶ χεῖρας ὀρέγουσι, καὶ δάκρυσι καὶ ψελλίσμασι καὶ ἀκοαῖς ἀσήμοις καὶ, οἷς ἔχουσι κινήμασι τὴν σφαγὴν δεικνύουσι, τὸν ὄλεθρον ἀποδύρονται, καὶ πρὸς βοήθειαν αὐτῶν πᾶσι τρόποις ἡμᾶς ἐφελκύσασθαι δῆθεν βιάζονται. Ἡμεῖς δὲ, μηδαμόθεν δυνάμενοι χεῖρα τούτοις ἐπορέξαι, πρὸς σὲ τὸν πάντα δυνάμενον καταφεύγομεν, καὶ παρὰ σοῦ μόνου τὴν βοήθειαν καὶ τὴν λύσιν τῶν δεινῶν ἐξαιτούμεθα· σοὶ γὰρ μόνῳ δυνατὰ τὰ παρὰ ἀνθρώποις ἀδύνατα, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

# ΕΥΧΗ

## ΕΙΣ ΠΛΗΓΗΝ ΘΑΝΑΤΙΚΟΥ.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ἡ τῶν οἰκτιρμῶν ἀνεξάντλητος πηγή· τὸ τῆς φιλανθρωπίας ἀνεξιχνίαστον πέλαγος· ἡ ἄπειρος ἄβυσσος τῆς μακροθυμίας καὶ τῆς χρηστότητος· ὁ καὶ τὰς κατὰ γενεὰν ἐπαγομένας τῷ γένει τῶν ἀνθρώπων πληγάς τε καὶ μάστιγας συμφερόντως, διὰ φιλανθρωπίας ὑπερβολὴν, ἐπιφέρων, ἵνα τὸ πρὸς τὴν ἁμαρτίαν ἡμῶν ἀκρατὲς καὶ ὀξύῤῥοπον, καθάπερ τινὶ χαλινῷ, τῷ θείῳ σου κατεχόμενον φόβῳ, μὴ ἀτάκτως κινῆται κατὰ τῆς θείας εἰκόνος, μηδὲ εἰς τὸ τῆς ψυχῆς εὐγενὲς κακῶς ἐξυβρίζῃ· Στῆσον, δεόμεθα, τὴν κατὰ τῆς φύσεως ἡμῶν φερομένην ὀξεῖαν καὶ ἄωρον ταύτην τοῦ θανάτȣ ῥομφαίαν, ἵνα μὴ ὀλιγοστοὺς ἡμᾶς παρὰ πάντα τὰ ἔθνη ποιήσῃς, μηδὲ τοῖς νοητοῖς καὶ αἰσθητοῖς ἐχθροῖς ἡμῶν παραδώσῃς ἡμᾶς ἐξουθένημα. Ἐξηρήμωνται πόλεις, ἠφανίσθησαν ἀγοραὶ, ἱεραὶ πανηγύρεις καὶ τελεταὶ καὶ θείων ὕμνων συστήματα, τῷ πλείονι μέρει, κατεσιγάσθησαν· οἰκίαι καλαὶ καὶ μεγάλαι, κατὰ τὴν Γραφὴν, ἠφανίσθησαν, καὶ οὐκ ἔστιν ὁ κατοικῶν ἐν αὐταῖς. Φόβος καὶ τρόμος ἦλθεν ἐφ' ἡμᾶς, καὶ σκότος ζοφερὸς τοῦ φοβεροῦ τούτου θανάτου πάντας ἐκάλυψεν. Οὐ φθάνομεν, Δέσποτα, τȣ̀ς τελευτῶντας, ὡς ἔθος, θρηνεῖν οἱ προσήκοντες· καὶ γὰρ τὸ τέλος ἡμῶν φθάνει, καὶ ἄλλους ἐπιζητοῦμεν τοὺς θρηνοῦντας, καὶ κοινῷ τῷ τάφῳ παραδιδόμεθα· οὐδὲ οἱ ζῶντες καὶ φαινόμενοι, ζῆν ἤδη νομίζομεν· τῷ φόβῳ τῆς φοβερᾶς ταύτης πληγῆς μικροῦ καὶ ἑαυτοῖς ἀπιστοῦμεν· τὸ τοῦ θανάτου σύμβολον, καὶ πληγὴν ἔχειν ἕκαστος ἐν ἑαυτῷ φανταζόμενος, καὶ πρὸ τοῦ θανάτου τῷ δέει τοῦ θανάτου, χαλεπῶς ἀποθνήσκοντες. Ταῦτα τῆς κακίας ἡμῶν τὰ ἐπίχειρα· τοῦτο τῶν πονηρῶν καὶ ἀκαθάρτων ἡμῶν πράξεων τὸ κατάλληλον ἀποτέλεσμα· ταῦτα τῆς ἀσελγείας καὶ ἀδικίας καὶ ἐπιορκίας ἡμῶν τὰ δεινὰ κατορ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

θώματα· οὗτος ὁ τρικέφαλος ὄφις τοὺς πικροὺς ἡμῖν ὀδόντας ἐμπήξας, τὴν φθορὰν καὶ τὸν θάνατον τοῦτον ἐπήγαγε· διὰ ταῦτα ἔρχεται, φησίν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Διὸ οὐδὲ νοητοὺς ὀφθαλμοὺς ἐπᾶραι, οὐδὲ προσεύξασθαι καθαρῶς, καὶ τὸν ἔλεον ἐφελκύσασθαί σȣ δυνάμεθα, τῷ βάρει τοῦ συνειδότος, καθάπερ τινὶ κλοιῷ σιδηρῷ, κατακαμπτόμενος ἕκαστος. Ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, μηδὲ διασκεδάσῃς τὴν διαθήκην σου, ἵνα μὴ τὸν τῆς μετανοίας καὶ ἐπιστροφῆς καιρὸν ζημιωθῶμεν οἱ τάλανες. Διὸ καὶ τὴν πληγὴν τοῦ θανάτȣ ταύτην φιλανθρώπως ἐπήγαγες. Οἴδαμεν, ὡς πολλάκις τὴν μετάνοιαν ὑποσχόμενοι, καὶ πολλάκις ψευσάμενοι, τὴν τομήν, κατὰ τὴν ἄκαρπον ἐκείνην συκῆν, κατεκρίθημεν. Ἀλλ' ἔτι καὶ ἔτι μακροθύμησον, ὡς φιλάνθρωπος γεωργός, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλȣ̃, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· ὁ ἑβδομηκοντάκις ἑπτὰ συγχωρεῖν τοῖς ἀδελφοῖς κελεύων τὰ ἁμαρτήματα· ὁ δυνάμενος ἐκ τῶν σκληρῶν καὶ ἀκάρπων λίθων ἐγείρειν τέκνα τῷ Ἀβραάμ· σοὶ γὰρ μόνῳ πάντα δυνατὰ τὰ παρὰ ἀνθρώποις ἀδύνατα, φιλάνθρωπε Δέσποτα· ἵνα καὶ ἐφ' ἡμῖν εἰς γενεὰς καὶ γενεὰς δοξασθείη σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίȣ Πνεύματος νῦν, καὶ ἀεί, καὶ εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ.

Τοῦ Κυρίου δεηθῶμεν.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σȣ, πανάγαθε Δέσποτα· παρέβημέν σου τὰς σωτηρίους ἐντολάς, τὰς ἱερὰς συνθήκας ἡμῶν, ἃς ἐπὶ τῷ θείῳ Βαπτίσματι, κατέναντι τοῦ μεγάλου σȣ Θυσιαστηρίȣ, ἐνώπιον Ἀγγέλων ἐποιησάμεθα καὶ ἀνθρώπων· ἠθετήσαμεν τὸ φρικτὸν Αἷμα τῆς Διαθήκης, ἐν ᾧ ἡγιάσθημεν, κοινὸν ἡγησάμενοι, καὶ τῷ Πνεύματι τῆς χάριτος ἐνυβρίσαντες, καὶ τῆς φοβερᾶς καὶ ὑπερφυοῦς υἱοθεσίας καταφρονήσαντες. Πᾶσα γραφή, καὶ θεῖος νόμος, καὶ διδασκαλία θεόπνευστος, ψόφος κενὸς καὶ ῥήματα πράξεως ἔρημα παρ' ἡμῖν ἐλογίσθησαν· ὀνόματι μόνον καὶ λόγοις τὸ σεπτὸν

Εὐαγγέλιον καὶ τὸν ἀληθῆ Χριστιανισμὸν οἱ τάλανες περιφέρομεν. Αἱ χεῖρες ἡμῶν πρὸς πᾶσαν ἁρπαγὴν καὶ πλεονεξίαν γεγόνασιν ἐπιτήδειοι· οἱ πόδες ὀξεῖς καὶ ἀνομώτατοι, καὶ πρὸς πᾶσαν ἀδικίαν καὶ κακεντρέχειαν ἕτοιμοι, τῆς μερίδος τῶν ἀδελφῶν ἐπιβαίνειν καὶ καταπατεῖν, καὶ κατεσθίειν τοὺς πένητας· τὸ στόμα, τὸ τῶν ἱερῶν εὐχῶν τε καὶ λόγων ὄργανον, πάσης αἰσχρότητος καὶ μωρολογίας, ἐπιορκίας τε καὶ διαβολῆς ἀπετελέσαμεν ὄργανον· τοὺς ὀφθαλμοὺς ἡμῶν καὶ πάσας ἡμῶν τὰς αἰσθήσεις, ἀσωτίας καὶ πάσης ἀσελγείας καθ' ὑπερβολὴν ἐπληρώσαμεν, τὸν ἐν ἡμῖν βασιλεύοντα νοῦν, τὸ θεῖον ἐκεῖνο σπέρμα, καταπατήσαντες, καὶ τὰ μέλη σοῦ τοῦ Χριστοῦ πόρνης μέλη ποιήσαντες, καὶ ἀντὶ ναῶν τοῦ Θεοῦ, φθορᾶς καὶ ἀκαθαρσίας ἀποθῆκαι γενόμενοι. Διὰ τοῦτο, πανάγαθε Δέσποτα, τὴν πολλήν σου φιλανθρωπίαν πρὸς ἀγανάκτησιν ἐτρέψαμεν οἱ ταλαίπωροι· τὸ πλῆθος τῶν σῶν εὐεργεσιῶν εἰς τιμωρίας ἡμῖν ἀφρόνως μετατεθείκαμεν. Καὶ ἐπειδὴ μήτε τοῖς ἡμετέροις ἀγαθοῖς, μήτε τοῖς ἀλγεινοῖς τοῦ πλησίον βελτίους γεγόναμεν, δικαίως καθ' ἡμῶν αὐτῶν τὴν δικαίαν σου παίδευσιν καὶ τὴν πληγὴν ἐκινήσαμεν. Ἀλλὰ μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, Κύριε. Σοὶ μόνῳ ἡμάρτομεν, ἀλλὰ καὶ σὲ προσκυνοῦμεν μόνον, καὶ μετὰ συντετριμμένης καρδίας, ὡς θυσίαν καθαρὰν, τὴν ἐξομολόγησιν προσφέρομεν. Ἄνες, ἄφες, φιλάνθρωπε Δέσποτα· στῆσον τὴν καθ' ἡμῶν φερομένην δικαίως μάστιγα· νικησάτω τὸ πλῆθος τῶν οἰκτιρμῶν σου τὸ τῶν ἁμαρτιῶν ἡμῶν πονηρὸν σύστημα· τὸ τῆς σῆς ἀπείρου χρηστότητος πέλαγος κατακαλυψάτω τῆς κακίας ἡμῶν τὴν πικρὰν θάλασσαν. Ἔχομεν τῆς σῆς φιλανθρωπίας ὑποδείγματα μέγιστα, λῃστὰς καὶ πόρνας, τελώνας καὶ τὸν ἄσωτον υἱὸν, οἵ τινες ἡμᾶς τοὺς ἀθλίους παρευδοκιμοῦσι, καὶ εἰς τὴν τῶν οὐρανῶν Βασιλείαν προάγουσι. Μετὰ τούτων καὶ ἡμᾶς ἐξομολογουμένους σοι καὶ προσπίπτοντας πρόσδεξαι, Δέσποτα· εἰ δὲ καὶ τῆς αὐτῶν ἐπιστροφῆς καὶ εἰλικρινοῦς μετανοίας πλεῖστον ἀπολειπόμεθα, τὸ λεῖπον ἀποπληρωσάτω ἡ ἄπειρος ἀγαθότης σου, μᾶλλον δὲ καὶ τὸ πᾶν· ἐπειδὴ καὶ τοῦ παντὸς ὅλως λειπόμεθα. Ἔχεις οὖν εὐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

σπλαγχνίαν τε καὶ συγγνώμην παρακαλοῦντάς σε, τὸν Σταυρὸν, καὶ τὸν ἑκούσιον θάνατον, ὃν ὑπὲρ ἡμῶν τῶν ἀχαρίστων ὑπέμεινας, τοὺς ἀγῶνας τῶν Ἀποστόλων, τοὺς τῶν Ὁσίων ἱδρῶτας, καὶ τῶν Μαρτύρων τὰ αἵματα, καὶ πρὸ πάντων τὴν κοινὴν τῶν ἁπάντων ἐλπίδα καὶ σωτηρίαν, τὴν ὑπὲρ λόγον ἀσπόρως τεκοῦσάν σε Θεοτόκον· ὧν τὰς ἐντεύξεις φιλανθρώπως δεξάμενος, τῶν παρόντων ἀνιαρῶν καὶ τῆς μελλούσης αἰωνίου κολάσεως ἡμᾶς ἐλευθέρωσον. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ ἀνάρχου σου Πατρὸς, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΕΥΧΗ ΙΚΕΤΗΡΙΟΣ ΠΡΟΣ ΘΕΟΝ, ΛΕΓΟΜΕΝΗ ΕΝ ΚΑΙΡΩ ΛΟΙΜΟΥ ΚΑΙ ΛΙΜΟΥ.

### Ποίημα τοῦ ἁγιωτάτου Πατριάρχου Καλλίστου.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὴν ὁρωμένην ταύτην κτίσιν, δημιουργικῇ σου προστάξει, ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγών· εἶτα καὶ τὸν ἄνθρωπον οἰκείαις χερσὶ διαπλάσας τῇ ἄκρᾳ σου ἀγαθότητι, καὶ πρότερον μὲν πᾶσαν αὐτοῦ τὴν ἑτοιμασίαν ἀδάπανον καὶ ἄνετον ἐκτελέσας εἰς βρῶσιν καὶ πόσιν· ἅμα δὲ τῇ παραβάσει τῆς ἐντολῆς στερήσας αὐτὸν τῆς ἀκηράτου τρυφῆς ἐκείνης, καὶ ἑτέραν διαγωγὴν αὐτῷ ἐπίπονον παρασχὼν συμφερόντως, ὥςε καρποὺς ἐκφέρειν ἐπιτάξας τὴν γῆν εἰς τροφὴν ἡμετέραν, καὶ αὐτῶν τῶν ἀλόγων ζώων πολυειδῶς καὶ ποικίλως· καὶ τοῖς μὲν ἐξ αὐτῶν τῶν σπερμάτων τῆς γῆς χορηγῶν τὰ πρὸς χρείαν, τοῖς δὲ ἑτέρως κατὰ τὴν προνοητικήν σου δύναμιν, δι' ἧς καὶ τοὺς τῆς θαλάσσης ἰχθύας ἐφορᾷς τῇ σῇ χρηστότητι, τῆς σῆς δεξιᾶς ἀνοιγομένης καὶ ἐμπιπλώσης πᾶν ζῶον εὐδοκίας· ὁ μεγάλα καὶ θαυμαστὰ τεράστια ἐργασάμενος ἔν τε τῇ παλαιᾷ καὶ τῇ νέᾳ Διαθήκῃ, ἐπάκουσόν μου τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου. Καὶ καθάπερ ποτὲ, διὰ τοῦ Ἰωσὴφ ἐκείνου, τοῦ φέροντος τύπον τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μονογενοῦς σου Υἱοῦ, ἅπαντα τὸν Ἰσραηλίτην ἐκεῖνον διέθρεψας λαὸν δαψιλῶς, οὕτω καὶ νῦν διὰ τοῦ μονογενοῦς σου Υἱοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, χορήγησον τὰ πρὸς τροφὴν καὶ ἀνάπαυσιν ἡμετέραν, καὶ τῶν ἀνιαρῶν πάντων ἀπαλλαγὴν ἡμῖν δώρησαι τοῦ λοιμοῦ, καὶ λιμοῦ, τῆς προσδοκωμένης ἀνάγκης καὶ βίας ἐλευθερώσας ἡμᾶς· ἵνα δοξασθῇ τὸ πανάγιον ὄνομα σοῦ τοῦ ἀνάρχου Πατρὸς, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ τῶν θαυμασίων Θεὸς, ὁ καὶ μεγάλα καὶ θαυμαστὰ ἐργασάμενος· ὁ τὸν παλαιὸν Ἰσραὴλ διὰ Μωσέως ἐλευθερώσας τῆς πικρᾶς δουλείας τοῦ Φαραώ· ὁ τῇ χειρί σου τῇ δεξιᾷ τοῦτον καθοδηγήσας, καὶ ἀβλαβῆ διασώσας πρὸς τὴν γῆν τῆς ἐπαγγελίας· ὁ πρότερον μὲν διὰ τῶν ὀρνίθων ἐκείνων εἰς κόρον ἐκθρέψας οὐκ εὐαρίθμητον λαὸν ἐν τῇ ἐρήμῳ τῇ ξηροτάτῃ· ὁ ὀμβρήσας τὸ μάννα, καθάπερ ὕδωρ ἐκ πηγῆς ἀενάου· ὁ τὴν ἀκρότομον πέτραν πηγὰς ὑδάτων ὀμβρῆσαι παρασκευάσας, καὶ πάντας κορέσας τῇ τοῦ ὕδατος ἐκχύσει τῷ δίψει πιεζομένους· οὕτω καὶ νῦν ἡμᾶς θρέψον τῇ συνήθει σου φιλανθρωπίᾳ καὶ ἀγαθότητι· χορήγησον ἡμῖν τὰ δέοντα, καὶ αὐτάρκησον πρὸς ὑπουργίαν καὶ τροφὴν ἡμετέραν· δεῖξον καὶ ἐν ἡμῖν τὰ σὰ μεγάλα θαυμάσια, καὶ θρέψον ἡμᾶς εἰς κόρον τῇ εὐλογίᾳ τῆς σῆς χρηστότητος· πάντα γὰρ δυνατά σοι, ἀδυνατεῖ δέ σοι οὐδέν. Ναὶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκθρέψας μυριάδας λαοῦ ἐν ὀλίγοις ἄρτοις ἐν τῇ ἐρήμῳ, θρέψον καὶ νῦν ἡμᾶς τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, καὶ μὴ παρίδῃς τὰς δεήσεις ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου· ἵνα δοξασθῇ τὸ πανάγιον ὄνομα σοῦ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΠΙ ΑΠΕΙΛΗ ΒΡΟΝΤΩΝ ΚΑΙ ΑΣΤΡΑΠΩΝ.

Πάλιν σοῦ, Κύριε, τοῦ φιλανθρώπου Δεσπότου μνήμη παιδείας, πάλιν δούλων ἀχρείων συγχωρήσεως δεήσεις, γινωσκόντων ὡς ὅσον ὑπερβάλλει τὸ μέγεθος τῶν ἁμαρτημάτων, τοσούτῳ πλέον καὶ αὐτὸς ὑπερέχεις τῇ ἀμνησικάκῳ σου εὐσπλαγχνίᾳ. Δεόμεθά σου, ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν, ὅπως μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν, ἀλλ' ἐν τῷ ἐλέει σου ζωώσῃς ἡμᾶς τοῖς οἰκτιρμοῖς σου, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ στερεῶν βροντὴν, καὶ μετασκευάζων ἀστραπὴν, καὶ πάντα πράττων πρὸς σωτηρίαν τῶν ἔργων τῶν χειρῶν σου. Ἔπιδε τῇ σῇ φιλανθρωπίᾳ, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ ἀνάγκης, καὶ τῆς ἐφεστώσης ἀπειλῆς· ἐβρόντησας γὰρ ἐξ οὐρανοῦ, ὁ Κύριος, καὶ ἀστραπὰς ἐπλήθυνας καὶ συνετάραξας ἡμᾶς. Διαλλάγηθι, εὔσπλαγχνε, πρὸς σὲ καταφεύγομεν· καὶ τοὺς πλουσίους σου οἰκτιρμοὺς κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐλέησον τοὺς δούλους σου, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Μὴ καταφλεξάτω ἡμᾶς τὸ πῦρ τοῦ θυμοῦ σου, μηδὲ καταφαγέτω ἡμᾶς θυμὸς ἀστραπῶν καὶ βροντῶν σου· ἀλλὰ τῇ συνήθει σου χρησάμενος εὐσπλαγχνίᾳ, πράϋνον τὴν ὀργήν σου, καὶ εἰς αἰθρίαν τὸν ἀέρα μετάβαλε, καὶ ταῖς ἡλιακαῖς ἀκτῖσι τὸν ἐπικείμενον ζόφον διακύψας, τὴν ἀχλὺν εἰς γαλήνην μεταποίησον. Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΠΙ ΔΥΣΚΡΑΣΙΑΣ ΑΝΕΜΩΝ ΚΑΙ ΚΛΥΔΩΝΑ ΘΑΛΑΣΣΗΣ.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῷ ἐνυποςάτῳ καὶ ἀνάρχῳ σου Λόγῳ, καὶ τῷ ζωοποιῷ καὶ ὁμοτίμῳ σου Πνεύματι, ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ πάντα· ὁ θαλάσσῃ θέμενος ὅριον ψάμμον, καὶ σταθμήσας ὄρη τε καὶ τὰς νάπας ζυγῷ· ὁ σπιθαμῇ μετρήσας οὐρανὸν, καὶ δρακὶ συνέχων τὴν γῆν· ὁ μέτρα καὶ κανόνας, καὶ ὅρους ἁρμονίας τε καὶ τάξεις τῇ ὁρωμένῃ καὶ αἰσθητῇ κτίσει ταύτῃ δοὺς καὶ καιρῶν ἀλλαγὰς, καὶ τροπὰς ἡλίου, κράσεσι στοιχείων νεύματί σου ταύτην συνέχων ἀῤῥήτως, καὶ πρὸς τὸ ἀπαθές τε καὶ ἄλυτον διακυβερνῶν· αὐτὸς, πανάγαθε Βασιλεῦ, τῇ ἐμφύτῳ καὶ συνήθει σου φιλανθρωπίᾳ καὶ ἀγαθότητι καὶ πάλιν χρησάμενος πρὸς ἡμᾶς, ἐπίσκεψαι τὰ τῶν σῶν χειρῶν ἔργα, καὶ μὴ ἀποστήσῃς ἀφ' ἡμῶν τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, μηδὲ διασκεδάσῃς τὴν διαθήκην σου, ὁ κατ' εἰκόνα δημιουργήσας ἰδίαν ἀποῤῥήτως ἡμᾶς. Ὁ τὸν μονογενῆ σου Υἱὸν λύτρον ὑπὲρ ἡμῶν δοὺς, καὶ, Πνεύματος ἀποῤῥήτῳ κοινωνίᾳ, τῆς οἰκείας Θεότητος μεταδοὺς, ἄφες τὸ τῶν ἁμαρτιῶν, δεόμεθα, πλῆθος τῷ ὑπερέχοντι πλήθει τῶν οἰκτιρμῶν σου. Ὁ τῷ Σταυρῷ τοῦ σοῦ Υἱοῦ καὶ τῷ Αἵματι τὴν ἁμαρτίαν ἀπαλείψας τοῦ γένους ἡμῶν, ἐπανάγαγέ σου τὴν κτίσιν πρὸς τὴν φυσικὴν ἁρμονίαν καὶ τάξιν, εἰς τὸ παρὰ φύσιν ἐλεεινῶς ἐκτραπεῖσαν, διὰ τὴν παρὰ φύσιν ἀταξίαν καὶ ἀκοσμίαν τῆς ἀθέσμου καὶ φαύλης πολιτείας ἡμῶν. Δεῖξον ἡμῖν τὴν συνήθη τοῦ μεγάλου τούτου γαλήνην πελάγους· καὶ τὸν ἐπικείμενον κλύδωνα, καὶ τὴν ταραχὴν τοῦ ἀέρος διακόψας, ἔντειλαι τοῖς ἀνέμοις καίριον καὶ κατάλληλον πνοὴν δοῦναι. Ἐπιτίμησον τῷ κλύδωνι τῆς θαλάσσης, καὶ ταῖς παρὰ φύσιν τῶν ἀνέμων κινήσεσι· στήτω πνεῦμα καταιγίδος, καὶ πρὸς γαλήνην τὰ τῆς ζάλης μετατεθήτω·

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σύρου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἵνα τὰ σὰ ἔργα καὶ θαυμάσια καὶ πάλιν ἴδωσιν οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς· παρασκεύασον αὐτὴν, φιλάνθρωπε Δέσποτα, τῇ σῇ ἀνεικάσῳ φιλανθρωπίᾳ, παύσασθαι τοῦ κλύδωνος. Ὁ τὸν μονογενῆ σου Υἱὸν, καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, εὐδοκίᾳ σῇ, καὶ συνεργείᾳ τοῦ Ἁγίου σου Πνεύματος, καταξιώσας γενέσθαι ἄνθρωπον, καὶ συμπλεῦσαι τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, καὶ ἐπιτιμῆσαι τῇ λαίλαπι τῶν ἀνέμων, καὶ τῆς θαλάσσης γαληνιᾶν τὰ κύματα κελεύσας· αὐτὸς καὶ νῦν πάντα ἐναντίον ἄνεμον κοίμισον, καὶ τὰ κύματα πραΰνον, καὶ τὸν κλύδωνα κατάπαυσον, καὶ διέγειρον τοὺς ἐπιτηδείους καὶ εὐθέτους καιροὺς καὶ ἀνέμους, κυβερνήτης καὶ βοηθὸς πανταχοῦ γινόμενος τοῖς δούλοις σου, ὁδηγῶν αὐτοὺς εἰς λιμένα σωτηρίας· οἱ γὰρ τὸ σὸν μόνον εἰδότες ὄνομα, καὶ μὴ γινώσκοντες, πλὴν σοῦ, Θεὸν ἕτερον, πρὸς τὴν σὴν βοήθειαν διαπαντὸς ἀποβλέπουσιν· εὐχαῖς καὶ πρεσβείαις τῆς ὑπερευλογημένης Θεοτόκου, τῶν θεοειδῶν Ἀγγέλων, καὶ πάντων τῶν Ἁγίων. Εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΑΠΟΣΤΟΛΟΣ ΚΑΙ ΕΥΑΓΓΕΛΙΟΝ

### ΕΙΣ ΕΠΕΛΕΥΣΙΝ ΒΑΡΒΑΡΩΝ, ΚΑΙ ΕΠΙΔΡΟΜΑΣ ΕΘΝΩΝ.

Προκείμενον, Ἦχος δ'.

Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ.
Στίχ. Ὡς ἐκλείπει καπνὸς, ἐκλειπέτωσαν.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. β'. 4.

Ἀδελφοὶ, ὁ Θεὸς, πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ Χριστῷ· (χάριτί ἐστε σεσωσμένοι)· καὶ συνήγειρε, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἐν Χριςῷ Ἰησοῦ· ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ, ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ. Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ τὸ δῶρον· οὐκ ἐξ ἔργων, ἵνα μήτις καυχήσηται. Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριςῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.

Ἀλληλούϊα, Ἦχος δ'.

Κύριος συντρίβων πολέμους.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. ιγ'. 1.

Τῷ καιρῷ ἐκείνῳ, παρῆσαν τινὲς ἀπαγγέλλοντες τῷ Ἰησοῦ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Δοκεῖτε, ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν; Οὐχὶ λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε. Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ, καὶ ἀπέκτεινεν αὐτοὺς, δοκεῖτε, ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας ἀνθρώπους, τοὺς κατοικοῦντας ἐν Ἱερουσαλὴμ; Οὐχὶ λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὁμοίως ἀπολεῖσθε. Ἔλεγε δὲ ταύτην τὴν παραβολήν· Συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην· καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. Εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· Ἰδοὺ, τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἵνα τί καὶ τὴν γῆν καταργεῖ; Ὁ δὲ ἀποκριθεὶς, λέγει αὐτῷ· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν, καὶ βάλω κοπρίαν· κἂν μὲν ποιήσῃ καρπόν· εἰδὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν.

Κοινωνικόν.

Κύριος κραταιὸς, καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ.



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΗΝ
## ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ
### ΕΠΙ ΠΡΟΣΔΟΚΙᾼ ΠΟΛΕΜΟΥ.

Οὗ ἡ ἀκροστιχίς·

Τοῖς σοῖς Ἄχραντε συμμάχησον οἰκέταις. Ὠδὴ Ἰωάννου (*)

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Τὸν κραταιὸν ἐν ἰσχύϊ καὶ δυνατὸν, ἐν πολέμοις Κύριον, ἡ γεννήσασα Σεμνὴ, κραταιᾷ χειρί σου παναλκεῖ, συμπολέμησον ἐχθροὺς τοὺς πολεμοῦντας ἡμᾶς.

Ὁ ἐν θαλάσσῃ ποντίσας πρὶν Φαραὼ, καὶ τὰ τούτου ἅρματα, καταστρώσας ἐν βυθῷ, εἰς ἡμῶν βοήθειαν καὶ νῦν, διανάστηθι Χριστὲ τῆς σὲ Τεκούσης εὐχαῖς.

Ἰατρικὸν μὲν τὸ τέμνειν καὶ ὁ καυστὴρ, τῆς ὑγείας αἴτιον· ἀλλ' ἡμᾶς Υἱὲ Θεοῦ, ἀπαλοῖς φαρμάκοις οἰκτιρμῶν, σοῦ ἰάτρευσον τῆς σῆς Μητρὸς δεήσεσι.

Σεναχειρὶμ ὥσπερ ἄλλην πανστρατιὰν, ἄρδην ἐξαφάνισον, καὶ τὴν νῦν πανστρατιὰν, τὴν περικυκλώσασαν ἡμᾶς, τῶν βαρβάρων κραταιᾷ χειρί σου Δέσποινα.

Σὲ τοῖς ἡμᾶς πολεμοῦσι πικροῖς ἐχθροῖς, ἀντικαθοπλίζομεν, καὶ κινοῦμεν κατ' αὐτῶν, πρὸς ἀντιπαράταξιν Ἁγνή· σὺ γὰρ εἶ Χριστιανῶν ἡ ἀρχιστράτηγος.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Οὗτοι ἐν ἅρμασι πολλοῖς, καὶ ἐν πλείοσιν ἵπποις· ἀλλ' ἡμεῖς ὁ λαός σου, ἐν ὀνόματι τῷ σῷ, ἐπικαλούμεθα νῦν, καὶ βοῶμεν· Σῶσον ἡμᾶς Δέσποτα.

Ἰσχὺν καὶ σθένος ὁ διδοὺς, ἀσθενοῦσι καὶ κέρας, ἀνυψῶν τῶν σῶν δούλων, τῷ πιστῷ σου νῦν στρατῷ, κατὰ βαρβάρων ἐχθρῶν, ἰσχὺν δίδου, διὰ τῆς Τεκούσης σε.

(*) Ἴσως Ἰωάννου Εὐχαΐτων, τοῦ καὶ Μαυρόποδος.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Στρατὸς βαρβάρων ἀθροισθεὶς, ἐξ ἐθνῶν τῶν ἀθέων, πῦρ καὶ βλέπων καὶ πνέων, χαίρων φόνοις καὶ σφαγαῖς, καὶ πόλεμον συγκινεῖ, τοῖς σοῖς δούλοις· Δέσποινα βοήθησον.

Ἄνδρες αἱμάτων ἀπηνεῖς, δολιότητος πλήρεις, καθ' ἡμῶν συναχθέντες, ἐμελέτησαν κενὰ, φρυάξαντες ψαλμικῶς, Θεοτόκε, καθ' ἡμῶν τῶν δούλων σου.

Χειρῶν ἐκτάσει Μωϋσῆς, Σταυροῦ σχῆμα τυπώσας, ἐτροπώσατο Κόρη, Ἀμαλὴκ τὸν δυσμενῆ· σὺ δὲ χειρὶ νοερᾷ, τοῦ λαοῦ σου, τοὺς ἐχθροὺς κατάβαλε.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ῥομφαίαν ἔκχεον, Ἁγνὴ καὶ σύγκλεισον, πάντων τῶν ἐναντίων τῶν νῦν ἡμᾶς, καταπολεμούντων ἐχθρῶν, καταπολέμησον ἐχθροὺς, τῇ ἰσχύϊ τῆς πρεσβείας σου.

Αἰσχύνης πλήρωσον, ἐχθρῶν τὰ πρόσωπα, καὶ πολλῆς ἀτιμίας καὶ ἐντροπῆς, καὶ ἀποστραφήτωσαν, εἰς τὰ ὀπίσω ψαλμικῶς, κενοὶ Δέσποινα καὶ ἄπρακτοι.

Νυνὶ γνωσόμεθα, ἐν τούτῳ Δέσποινα, ὡς τεθέληκας πάντα τὸν σὸν λαὸν, ταύτης σου τῆς πόλεως, ὅτι οὐ μὴ ἐπιχαρῇ, ἐφ' ἡμᾶς ἐχθρὸς πολέμιος.

Τῷ θέλειν σύνδρομον, ἔχεις τὸ δύνασθαι, ὡς τεκοῦσα τὸν πάντα μόνῳ ψιλῷ, νεύματι δυνάμενον· ἂν οὖν θελήσῃς τὴν ἡμῶν, σωτηρίαν, σωθησόμεθα.

Ἐν τῇ ἐκστάσει σου, τῆς ἀντιλήψεως, δυναστῶν πολεμίων τὰς δυσμενεῖς, κεφαλὰς διάκοψον· σεισθήσονται γὰρ ἐν αὐτοῖς, ἐκ τοῦ φόβου τοῦ σοῦ κράτους Ἁγνή.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

Σατράπαι τύραννοι βασιλεῖς, ἄρχοντες χωρῶν βαρβαρικῶν, ἐπὶ κακῷ συμφωνήσαντες, κατ' αὐτῆς τῆς ποίμνης σου ὥς περ λέοντες, καὶ θῆρες ἀγριόθυμοι ὠρυόμενοι.

Υἱὸν γεννήσασα τοῦ Θεοῦ, τὸν ἐπιστατοῦντα νοερῶς, ταῖς οὐρανίαις Δυνάμεσιν, Ἄγγελον ὑπέρμαχον ἐξαπόστειλον, Παρθένε Θεοτόκε ἡμῖν βοήθειαν.

Μετὰ δακρύων καὶ σκυθρωπὰ, τὰ καταλαβόντα νῦν ἡμᾶς, καὶ θρήνων ἄξια Δέσποινα· ἀλλὰ σὺ Παρθένε τάχυνον οἴκτειρον, καὶ πάλιν τοὺς ἀθέους ἐχθροὺς κατάβαλε.



Μὴ παραδώσῃς χερσὶν εὐνων, τὴν κληρονομίαν σου Ἁγνή; μή ποτε εἴπωσι· Ποῦ ἐστιν, ἡ Θεογεννήτωρ ἣ ἐπεποίθεισαν; ἀλλ' ἄθραυστον τὴν ποίμνην σου διατήρησον.

Αἱ βασιλεῖαι πᾶσαι τῆς γῆς, γνώτωσαν τὸ κράτος σου Σεμνὴ, καὶ τὴν ἰσχύν σου τὴν ἄμαχον· ἔθνη ταραχθήτωσαν καὶ σεισθήτωσαν, λαοὶ οἱ μὴ εἰδότες τὴν ἐξουσίαν σου.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Χαλκοῦ τόξον ἔργασον, τοῦ λαοῦ σου τοῦ πιστοῦ, τοὺς ἐκλεκτοὺς βραχίονας, καὶ περίζωσον δύναμιν καὶ ἰσχὺν, αὐτοὺς Ὑπεράμωμε, οὐρανόθεν βραβεύουσα τὴν δύναμιν.

Ἡμᾶς τοὺς πιστεύοντας, εἰς τὸ ὄνομα Σεμνὴ, Πατρὸς, Υἱοῦ, καὶ Πνεύματος, καὶ προσκυνοῦντας τὸν τόκον σου τὸν σεπτὸν, μὴ δῷ τοῖς ἐχθροῖς ἡμῶν, ἀλλὰ τούτους εἰς τέλος Κόρη σύντριψον.

Στενάζοντες κράζομεν, γόνυ κλίνοντες εἰς γῆν, χεῖρας εἰς ὕψος αἴροντες· Ἐξημάρτομεν Δέσποινα εἰς Θεόν· αὐτὸν ἐξιλέωσαι, καὶ μὴ βάρβαρα ἔθνη παιδευσάτω ἡμᾶς.

Οὐ φέρομεν Δέσποινα, καὶ γὰρ εἶπεν ὁ ἐχθρός· Διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω μου τὴν ψυχὴν, ἀνελῶ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου· διὸ πρόφθασον.

Ναοὺς τοὺς ἁγίους σου, καὶ τεμένη ἱερὰ, καὶ τὰς σεπτὰς εἰκόνας σου, τῶν Ἁγίων ἁπάντων τε τὰς μορφὰς, σκεύη καὶ κειμήλια, οἱ ἐχθροί σου Παρθένε ἐξηφάνισαν.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Οὐ πρὸς ἕτερον Θεὸν διεπετάσαμεν, τὰς χεῖρας ἡμῶν Δέσποτα· κἂν ἡμάρτομεν, ἀλλ' οὐκ ἀπέστημεν ἐκ σοῦ, καὶ ἄλλον οὐκ οἴδαμεν πλὴν σοῦ· διὸ ἐλέησον ἡμᾶς, τῆς Θεοτόκου λιταῖς.

Ἰδοὺ ὡς κύνες πολλοὶ περιεκύκλωσαν, ταῦροι πίονες περιέσχον ἡμᾶς, καὶ ἐφάλλονται, διασπᾶσαι νῦν θηριωδῶς, τοὺς δούλους σου Δέσποινα ἁγνή· οὓς ῥάβδῳ θείας σου ῥοπῆς, μακρὰν ἀπέλασον.

Κοσμοσώτειρα Βασίλισσα πανύμνητε, τὴν πόλιν ταύτην φύλαττε, βασιλεύοντα, βασιλέων νέξασα Χριστόν· ἁλώσεως λύτρωσαι πικρᾶς, αἰχμαλωσίας προνομῆς, καταδρομῆς τῶν ἐχθρῶν.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἐμφυλίου μάχης ῥῦσαι Παναμώμητε, καὶ ἀπὸ συστροφῆς πονηρᾶς, ἀποστάσεως, ταραχῆς ἐνέδρας συσκευῆς, λαθραίας ἐχθρῶν ἐπιβουλῆς, καὶ προδοσίας δολερᾶς, ταύτην τὴν πόλιν σου.

Τεῖχος ἄῤῥηκτον ἀπόρθητον ἀκλόνητον, καὶ πύργον ἀπερίτρεπτον, σὲ κεκτήμεθα, ἐν ἐφόδοις καὶ ἐπιδρομαῖς, βαρβάρων ἐθνῶν αἱμοχαρῶν, καὶ σοὶ προσφεύγοντες Ἁγνὴ διασωζόμεθα. Ὠδὴ ή. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Αἱμοβόρα θηρία καὶ λύκοι ἅρπαγες, τοὺς σοὺς δούλους ὡς ποίμνην περιεκύκλωσαν, καὶ τὰ λογικά σου ἀρνία σπαράττουσι· πρόφθασον Παρθένε, ἁγία Θεοτόκε.

Ἰδιόῤῥυθμον ἔθνος γαῦρον ἀγέρωχον, φιλοπόλεμον γένος ὅρκων παράσπονδον, πόλεμον ἡμῖν ἄσπονδόν τε ἐπήγειρε· πρόφθασον Παρθένε, ἁγία Θεοτόκε.

Στρατιᾶς οὐρανίου παρεμβολῇ νοερᾷ, κύκλωσόν σου τὴν πόλιν καὶ περιτείχισον, καὶ τὰς τῶν ἐχθρῶν ἐπηρείας ματαίωσον· πρόφθασον Παρθένε, ἁγία Θεοτόκε.

Ὡς ὁ Ἄδερ ἐκεῖνος ὁ ἀλιτήριος, κατὰ τοῦ Σολομῶντος οὕτως ἐγήγερται, Ἄγαρ ὁ δεινὸς Ἰσμαὴλ ὁ ἐπώνυμος· πρόφθασον Παρθένε, ἁγία Θεοτόκε.

Δορυάλωτον θεῖναι σπεύδει τὴν πόλιν σου, ὁ στρατὸς ὁ ἐν ὅπλοις θαῤῥῶν καὶ δόρασιν· ἀλλ᾽ ἡμεῖς ἐν σοὶ πεποιθότες κραυγάζομεν· Πρόφθασον Παρθένε, ἁγία Θεοτόκε.

Ἡ τὰ κράτη τῶν τόξων πάλαι συντρίψασα, καὶ βαρβάρων ἐφόδους πολλάκις τρέψασα, σύντριψον καὶ νῦν, καὶ ῥομφαίαν καὶ πόλεμον, Δέσποινα Παρθένε, ἁγία Θεοτόκε.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ἰσχὺς καὶ κράτος γενοῦ Πανάμωμε, τοῦ σοῦ λαοῦ ἀνδρεία καὶ φρουρός τε καὶ δύναμις, καὶ ῥομφαία καὶ μάχαιρα δίστομος, τὰς τῶν ὑπεναντίων, φάλαγγας τέμνουσα, καὶ τὴν τῶν ἐχθρῶν παρεμβολὴν, εἰς ἓν συγκόπτουσα.

Ὡς τεῖχος ἄῤῥηκτον καὶ ἀπόρθητον, Χριστιανῶν ὡς πρόβολος καὶ πύργος ἀχείμαστος, τῶν δεινῶν καὶ ἀθέων φρυάγματα, καὶ τὴν κορυφουμένην, τυράννων ἔφοδον, καὶ τὰς τῶν βαρβάρων ἀπειλὰς, Ἁγνὴ διάλυσον.

Δημοτική Βιβλιοθήκη Σάμου

Ἀγγέλου πάλαι ὑπερασπίζοντος, ὁ Γεδεὼν τὰ τῶν Μαδιαναίων ἐξέκοψε· καὶ τὰ νῦν ἐξαπόστειλον Ἄγγελον, φάλαγγας τῶν βαρβάρων, καταδιώκοντα καὶ κατασυντρίβοντα ἐχθρούς, τοὺς πολεμοῦντας ἡμᾶς.

Νικᾶται τάξις φύσεως Δέσποινα, ὅπου Θεὸς ὁ πάντα δρῶν τῷ νεύματι βούλεται. Σὺ δὲ αὐτὸν ὑπὲρ φύσιν γεννήσασα, δύνασαι ὅσα θέλεις· ὅθεν τοὺς θέλοντας, ταύτην σου τὴν πόλιν ἀπολεῖν, ἄρδην ἀφάνισον.

Ναοῦ ἐπάκουσον ἐξ ἁγίου σου, σῶν οἰκετῶν Ἁγνὴ, καὶ ὀργὴν Θεοῦ ἔκχεον, ἐπὶ ἔθνη τὰ σὲ μὴ γινώσκοντα, καὶ ἐπὶ βασιλείας, αἵ σου τὸ ὄνομα, οὐκ ἐπεκαλέσαντο πιστῶς, τὸ πολυπόθητον. Δόξα.

Ὁ λύσας Λόγε τὸν μέγαν πόλεμον, καὶ τὴν μακρὰν ἐκείνην καὶ ἀρχαίαν διάστασιν, καὶ ἑνώσας τῇ γῇ τὰ οὐράνια, διὰ τῆς Θεοτόκου, λύσας τὸν πόλεμον, τὸν πρόσφατον τοῦτον καὶ βαρὺν, ἡμᾶς εἰρήνευσον.

Καὶ νῦν.

Ὑφάπλωσόν σου τὴν σκέπην Δέσποινα, ὡς φωτεινὴν νεφέλην, καὶ τὴν πόλιν σου σκέπασον· καὶ ἀγκάλαις ἐν αἷς ἠγκαλίσω Χριστὸν, ἐναγκαλισαμένη, ταύτην ἀπόρθητον, τήρησον ὀνόματι τῷ σῷ, ἐγκαυχωμένην ἀεί.

---

# ΕΥΧΗ

## ΕΙΣ ΕΠΙΔΡΟΜΑΣ ΕΘΝΩΝ.

### Μακαρίου τοῦ Φιλαδελφείας.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, τίς ὁμοιωθήσεταί σοι; τίς ὅμοιός σοι ἐν Θεοῖς, Κύριε, ὁ Θεὸς ἡμῶν; τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν, δυνατὸς ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ παρακαλεῖν καὶ σώζειν πάντας ἡμᾶς; Μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς, ὁ Θεὸς, ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις, ὅτι ἰδοὺ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

οἱ ἐχθροί σου ἴσχυσαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν· ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν Ἁγίων σου. Εἶπον· Δεῦτε, καὶ ἐξολοθρεύσωμεν αὐτούς, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι. Ἦλθοσαν Ἔθνη εἰς τὴν κληρονομίαν σου· ἐμίαναν τὸν Ναὸν τὸν ἅγιόν σου· ἔθεντο τὴν τιμίαν σου Ἱερουσαλὴμ, ὡς ὀπωροφυλάκιον· ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ· τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς· ἐξέχεαν τὸ αἷμα αὐτῶν κύκλῳ Ἱερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων. Ἀλλ' ἕως πότε, Κύριε, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου; ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀφ' ἡμῶν; ἕως πότε ἁμαρτωλοὶ καυχήσονται; μέχρι τίνος χρήσεται παράνομος ἐξουσία; ἕως τίνος ὑψωθήσεται ῥάβδος ἀσεβῶν κατὰ κλήρου τῶν ἡγιασμένων; Οἴμοι, ὅτι ἐπλήσθη ἡ ταπείνωσις ἡμῶν, καὶ ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη! οἴμοι, ὅτι οἱ λυποῦντες ἡμᾶς, σφόδρα κατισχύουσι, καὶ ἡ πληγὴ ἡμῶν στερεὰ ἐγενήθη! Καὶ σὺ, Κύριε, ὁ μέγας καὶ ἰσχυρὸς, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλήμ; Κλαύσομαι γὰρ, ὡς Ἱερεμίας, ἐπὶ τῇ συντριβῇ μου πικρῶς, ὅτι ἐξεῤῥύημεν ὡς φύλλα διὰ τὰς ἀνομίας, καὶ τοῖς νεκροῖς μετὰ τῶν ἐν ᾅδου συνελογίσθημεν· Καὶ ἐλπιῶ πάλιν, ὡς ὁ Ζαχαρίας, ἐπὶ σὲ, Κύριε, τὸν θελητὴν τοῦ ἐλέους, ὅτι Θεὸς οἰκτείρων σὺ εἶ, ἐξουθενῶν βουλὰς ἰσχυρῶν, ταπεινῶν εὐχὰς προσδεχόμενος. Τί ὅτι ἐγενήθημεν ὄνειδος τοῖς ἐγγὺς καὶ τοῖς μακράν; τοῖς ἐκκλίνασι, δηλαδὴ, ἐξ ὁδοῦ δικαίας εἰς παρατροπὴν δογμάτων, καὶ τοῖς ἀθετοῦσι καθάπαξ εἰς ἀσέβειαν; οἵτινες, λόγον πανσόφου προνοίας οὐκ ἐπιστάμενοί σου, τὴν ἐπίσκεψιν ἡμῶν ὡς ἐγκατάλειψιν διαβάλλουσιν. Ἔδει γὰρ τούτους μὲν ἐκ τῶν ἱερῶν ἀκοῦσαι λόγων, ὅτι ἐλεγχόμενοι ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν· ἐκείνους δὲ ἐκ τῶν κοινῶν καταμαθεῖν ἐννοιῶν, ὅτι οὐχ οἱ τεθνηκότες, οὐδὲ οἱ νεκροὶ τῆς ἰατρικῆς ἐπιμελείας ἀξιοῦνται, ἀλλ' οἱ ζῶντες ἐν ἀσθενείᾳ, τῆς τῶν θεραπευόντων προνοίας ἀπολαύουσι καὶ τὴν παγκόσμιον ταύτην πληγὴν, εἰς ὑπερκόσμιον μετατιθεμένην εὐφροσύνην, ὀφέποτε συνιέναι. Ἀλλ' οὐκ ἔγνωσαν, οὐδὲ συνῆ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καν· καὶ διὰ τοῦτο ἀσέβειαν ἡμῖν ὀνειδίζουσι, καὶ τὴν εἰς σὲ πεποίθησιν, τὸν ἀληθινὸν Θεὸν, παροινίαν ἀποκαλοῦσι· καὶ ὅτι σὲ τὸν Μονογενῆ τοῦ ἀνάρχου Πατρὸς Υἱὸν, ὁμοούσιον τῷ συμφυεῖ σου Πατρὶ, καὶ τῷ παναγάθῳ σου Πνεύματι κηρύττοντες, μίαν φύσιν, μίαν οὐσίαν, μίαν δύναμιν, μίαν Θεότητα καὶ Βασιλείαν προσκυνοῦμεν, ταῦτα πάσχειν ὑπολαμβάνουσι, καὶ δίκην ἀσεβείας, τὴν πληγὴν τῆς αἰχμαλωσίας, οὐ πλημμελημάτων ἔκτισιν, ἡγοῦνται οἱ παράφρονες· καὶ τὴν σὴν ἐπιτωθάζοντες ἀνοχὴν, βλασφημοῦσί σου τὴν Θεότητα, καὶ τὴν κοσμοσώτειραν διαχλευάζουσιν οἰκονομίαν σου. Ἀλλ' ἄνες, Κύριε, ἄνες ὁ φιλανθρωπότατος Θεός· οἰκτείρησον, ὁ συμπαθέστατος καὶ ἐλεήμων Δεσπότης, καὶ μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἐπὶ πλέον ἡμᾶς· ἵνα μὴ ἐκτριβῶμεν· μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ἵνα μὴ γενώμεθα ὡς τὸ ἀπ' ἀρχῆς, καὶ πρὸ τοῦ γενέσθαι· ἀλλὰ γενοῦ μεθ' ἡμῶν ὡς μαχητὴς ἰσχυρὸς, ὅτι οὐκ ἀδυνατεῖ παρὰ σοὶ σώζειν ἐν πολλοῖς καὶ καὶ ἐν ὀλίγοις. Κατίσχυσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι ἐπὶ σοὶ πεποίθαμεν, καὶ ἐπὶ τῷ ὀνόματί σου τεθαῤῥήκαμεν· καὶ πιστωθήτω δὴ τὸ ῥῆμά σου, Κύριε, ὃ ἐλάλησας πρὸς ἡμᾶς, ὅτι μεθ' ἡμῶν εἶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος· καὶ ὑψωθήτω κέρας Χριστιανῶν, καὶ καταισχυνθήτωσαν οἱ διώκοντες ἡμᾶς, καὶ πτοηθήτωσαν οἱ ἐκφοβοῦντες ἡμᾶς, καὶ ἐντραπήτωσαν, καὶ ἀπολέσθωσαν, καὶ συντριβήτω ἡ ἰσχὺς αὐτῶν, καὶ ἡ δυναστεία αὐτῶν μὴ ὑπαρξάτω· καὶ γνώτωσαν ἅπαντες, ὅτι ὄνομά σοι Κύριος, σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν· καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα· καὶ σὲ δεῖ προσκυνεῖν τὸν ἀληθινὸν Θεὸν καὶ Σωτῆρα ἡμῶν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, ὅπως ἐπιβλέψῃς ἐπὶ τὴν δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν καὶ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου


ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀχρείων οἰκετῶν σου, καὶ ἐλεήσῃς ἡμᾶς· ὅτι, Δέσποτα, αἱ ἀνομίαι ἡμῶν καὶ αἱ ἁμαρτίαι ὑπερῆραν τὰς κεφαλὰς ἡμῶν· καὶ ἐγενήθημεν ὄνειδος τοῖς ἔθνεσι, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς περικύκλῳ ἀθέοις Ἀγαρηνοῖς· καὶ ἐταπεινώθημεν ἕως θανάτου, διὰ τὰς ἁμαρτίας καὶ ἀνομίας καὶ βλασφημίας ἡμῶν. Τίς οὐ κλαύσει ἡμᾶς οὕτω διακειμένους; τίς οὐ θρηνήσει τὴν τηλικαύτην αἰχμαλωσίαν ἡμῶν; ὅτι ταῦτα πάντα ἐπῆλθεν ἐφ' ἡμᾶς, διὰ τὰς ἁμαρτίας καὶ ἀνομίας καὶ βλασφημίας ἡμῶν. Διὰ τοῦτο οἱ υἱοὶ Σιὼν οἱ τίμιοι, ἐλογίσθημεν ὡς ἀγγεῖα ὀστράκινα· διὰ τοῦτο ἠμαυρώθη τὸ χρυσίον, ἠλλοιώθη τὸ ἀργύριον τὸ ἀγαθόν· διὰ τοῦτο οἱ Ναζηραῖοι Σιὼν, οἱ ὑπὲρ χιόνα λάμψαντες, γεγόναμεν ὡς Αἰθίοπες· οἱ ὑπὲρ γάλα λευκανθέντες, ὑπὲρ μέλαν ἐζοφώθημεν· οἱ τιθηνούμενοι ἐπὶ πόκον, περιεβαλόμεθα ἀσχημοσύνην, καὶ ἐμεγαλύνθησαν αἱ ἀνομίαι ἡμῶν ὑπὲρ ἀνομίας Σοδόμων. Διὰ τοῦτο οἱ υἱοὶ τῆς ἡμέρας καὶ τοῦ φωτὸς, υἱοὶ γεγόναμεν νυκτὸς καὶ σκότους· διὰ τοῦτο οἱ υἱοὶ τῆς βασιλείας, δοῦλοι γεγόναμεν ἐχθρῶν ἀνόμων καὶ ἀπίςων ἐθνῶν· ὅτι ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, παραβαίνοντες τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ ἡμῶν. Ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος, διὰ τὸ Ὄνομά σου, Κύριε, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ τοὺς οἰκτιρμούς σου, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, καὶ διὰ τὰ σπλάγχνα τοῦ Μονογενοῦς σου Υἱοῦ, καὶ διὰ τὸ ἔλεος τοῦ Ἁγίου σου Πνεύματος, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλὰ ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα. Βοήθησον ἡμῖν, ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου· πρόσδεξαι τὴν ἐξομολόγησιν ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων οἰκετῶν σου, διὰ τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Υἱοῦ σου, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς ἐξέχεε· διὰ τοὺς ἁγίους αὐτοῦ Ἀποστόλους καὶ Μάρτυρας, οἵτινες ἠγωνίσαντο ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ τὸ ἴδιον αἷμα ἐκχέαι· διὰ τοὺς ἁγίους Προφήτας, καὶ Πατέρας, καὶ Πατριάρχας, οἵτινες ἠγωνίσαντο εὐαρεστῆσαι τῷ ἁγίῳ σου Ὀνόματι. Μὴ παρίδῃς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

δῃς τὴν δέησιν ἡμῶν, Κύριε, μηδὲ ἐγκαταλίπῃς ἡμᾶς εἰς τέλος· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμὲν, ἀλλ' ἐπὶ τὰ ἐλέη τὰ σὰ, δι' ὧν τὸ γένος ἡμῶν περιποιῇ. Ἱκετεύομεν οὖν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα· Μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, μηδὲ βδελύξῃ τὴν ἡμῶν ἀναξιότητα· ἀλλ' ἐλέησον ἡμᾶς, κατὰ τὸ μέγα σου ἔλεος, καὶ, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, πάριδε τὰ ἀνομήματα καὶ τὰ ἁμαρτήματα ἡμῶν. Ναὶ, Δέσποτα παντοδύναμε, εἰσάκουσον τῆς φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ βοήθησον τῷ λαῷ σου, καὶ ἐνίσχυσον τὸ ϛρατόπεδον ἐν ὥρᾳ πολέμȣ, καὶ δυνάμωσον, καὶ ὀχύρωσον αὐτὸ, ὡς ἔδωκας ἰσχὺν Ἰησοῦ τοῦ Ναυῆ, καὶ Δαυῒδ τῷ Προφήτῃ σου, κατὰ τῶν ὑπεναντίων. Οὕτω, Κύριε, ὁ Θεὸς ἡμῶν, ἐνίσχυσον, καὶ βοήθησον τῷ λαῷ σου, τοῖς κεκλημένοις τὸ σὸν ἅγιον Ὄνομα· ὅτι ἐκτός σου, Θεὸν ἄλλον οὐκ οἴδαμεν· τὸ Ὄνομά σου ὀνομάζομεν· σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι, καὶ τὴν παρὰ σοῦ ἐπιζητοῦμεν βοήθειαν. Ἐπίβλεψον οὖν ἐκ τοῦ οὐρανοῦ, Κύριε, καὶ ἴδε ἐκ τοῦ Οἴκου τοῦ ἁγίου τῆς δόξης σου· ποῦ ἐστιν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς σου; ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους καὶ τῶν οἰκτιρμῶν σου; σὺ γὰρ ἡμῶν εἶ Θεὸς, καὶ τὸ Ὄνομά σου ἐφ' ἡμᾶς ἐϛιν. Ἐπίϛρεψον, Κύριε, διὰ τοὺς δούλους σου, διὰ τὴν ἁγίαν σου Ἐκκλησίαν, διὰ πάντας τοὺς ἀπ' αἰῶνος Ἁγίους σου· οἱ γὰρ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ Ἁγίασμά σου· ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν· ὡς ἀκάθαρτοι πάντες ἡμεῖς ἐγενήθημεν, ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν· καὶ ἐῤῥύημεν ὡς φύλλα διὰ τὰς ἀνομίας ἡμῶν, καὶ οὐκ ἔστιν ὁ ἐπικαλούμενος τὸ Ὄνομά σου, καὶ μνησθεὶς ἀντιλαβέσθαι σου· καὶ ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, καὶ παρέδωκας ἡμᾶς, διὰ τὰς ἁμαρτίας καὶ ἀνομίας καὶ βλασφημίας ἡμῶν, ἐχθροῖς ἀλαζόσιν, ὑπερηφάνοις καὶ ἀπίϛοις Ἔθνεσι. Καὶ νῦν, Κύριε, ὁ Θεὸς ἡμῶν, μὴ ὀργισθῇς ἕως σφόδρα· ὅτι, ἐὰν ἀνοίξῃς τὸν ȣρανὸν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσεται, καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους καὶ ἀθέȣς ἐχθρȣ̀ς ἡμῶν, καὶ φοβερὸν ἔσται τὸ Ὄνομά σȣ τοῖς ὑπεναντίοις σȣ

ἀπὸ τοῦ αἰῶνος οὐκ εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Θεὸν ἀλλότριον. Καὶ νῦν, Δέσποτα, ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ σῶσον ἡμᾶς, διὰ τὸ Ὄνομά σου τὸ ἅγιον, καὶ ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀθέων ἐχθρῶν ἡμῶν, καὶ ἐκ τῶν μεθοδειῶν καὶ μηχανημάτων καὶ παγίδων αὐτῶν ἐλευθέρωσον· καὶ μὴ ἀποστήσῃς ἀφ' ἡμῶν τὴν σὴν κραταιὰν βοήθειαν, ὅτι ἡμεῖς οὐχ ἱκανοί ἐσμεν πρὸς τὸ νικᾷν τὰ ἀντιπίπτοντα· σὺ δὲ δυνατὸς εἶ πρὸς τὸ σώζειν ἡμᾶς ἐκ τῶν ἐναντίων καὶ ἀπίστων ἐχθρῶν ἡμῶν· καὶ ἐνίσχυσον τὸν Λαόν σου, καὶ τὸ στρατόπεδον ἡμῶν, καὶ ὀχύρωσον, καὶ ἐνδυνάμωσον, καὶ κραταίωσον αὐτὸ ἐν ὥρᾳ πολέμου· καὶ κατάβαλε, καὶ σύντιψον, καὶ ἀφάνισον τοὺς ἀθέους καὶ ἀπίστους βαρβάρους καὶ Ἀγαρηνοὺς ἐχθροὺς ἡμῶν· καὶ δὸς δόξαν τῷ Ὀνόματί σȣ τῷ ἁγίῳ, μή ποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; πρεσβείαις καὶ ἱκεσίαις τῆς πανυπερευλογημένης Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ἡ βοήθεια καὶ ἡ ἰσχὺς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ ἀνάρχῳ Πατρί, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΕΥΧΑΙ

## ΕΠΙ ΣΥΜΦΟΡᾼ ΛΑΟΥ.

### Τοῦ ἁγιωτάτου Πατριάρχου Καλλίστου.

Ἰστέον ὅτι, αὗται αἱ ἤδη προκείμεναι Εὐχαὶ λέγονται καὶ εἰς Λοιμικὴν ἀσθένειαν.

Κύριε καὶ Θεὲ τοῦ ἐλέους, ὁ πάσης ἀγαθότητος χορηγός, ὁ τῶν θαυμασίων Θεός, ὁ τῶν οἰκτιρμῶν Πατήρ, ὁ τῆς συμπαθείας λιμήν, ἡ τῆς φιλανθρωπίας ἀκένωτος πηγή· ὁ τῇ σοφίᾳ διοικῶν τὰ πάντα· ὁ δεσμεύων καὶ πάλιν ἐξάγων· ὁ ταπεινῶν καὶ αὖθις ἀνυψῶν· ὁ τοῖς μὲν ὑπηφάνοις ἀντι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

τασσόμενος, ταπεινοῖς δὲ διδοὺς χάριν· οὗ τῷ κράτει συνέχεται πᾶσα κτίσις, ὅση τε νοητὴ καὶ αἰσθητή· οὗ τὰ κρίματα ἄβυσσος πολλὴ, καὶ αἱ ὁδοὶ ἀνεξιχνίαστοι· οὗ τῷ Πνεύματι πάντα ἄγεται· οὗ ἐν τῇ χειρὶ πνοὴ πάντων τῶν ζώντων· ᾧ ὑπείκει τὰ ἄστρα· ᾧ πάντα ὑποτέτακται· ᾧ πᾶσα δουλεύει κτίσις· ὃν αἱ νοεραὶ πᾶσαι Δυνάμεις τρέμουσι, καὶ ἀλήκτοις δοξολογίαις γεραίρουσιν· ὃν τὰ σύμπαντα φωναῖς ἀλαλήτοις ὑμνεῖ. Σὺ τοίνυν, νοητὲ δικαιοσύνης Ἥλιε, Θεὲ ἀληθινὲ, ὁ πάντα ποιῶν καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι, εὐμενεῖ καὶ ἱλέῳ ὄμματι ἔπιδε ἐπὶ τὸν λαόν σου τὸν ἡμαρτηκότα καὶ ἀπεγνωσμένον, καὶ κατάπεμψον ἐπ᾽ αὐτοὺς τὰ ἐλέη σου τὰ πλούσια. Φεῖσαι τῆς κληρονομίας σου· φεῖσαι τοῦ λαοῦ σου· φεῖσαι τοῦ ἀμπελῶνος, ὃν ἐφύτευσεν ἡ δεξιά σου. Τὴν ἔμφυτον ἀγαθότητα τὴν σὴν ὑπὲρ ἡμῶν ἔχων ἱκετεύουσαν, μνήσθητι τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου· μνήσθητι τῶν ἁγίων σου Θυσιαστηρίων, ἃ βεβήλοις ποσὶ ἐπατήθησαν, καί γε πυρὶ παρεδόθησαν· μνήσθητι τῆς ἐλεεινῆς ἡλικίας, τῆς εἰς αἰχμαλωσίαν ἀσεβέσι παραδοθείσης, καὶ τὴν μὲν πατρῴαν εὐσέβειαν ἀνοήτῳ γνώμῃ ἐξομωσαμένης, τῷ δὲ διαβόλῳ ἐπιγραψαμένης, καὶ στῆσον ἤδη ῥάβδον ἁμαρτωλῶν, κατὰ κλήρου δικαίων ἀφιεμένην. Μὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ Ὄνομά σου τὸ ἅγιον, καὶ διὰ τὸν ἄφατον ἔλεον, τὸν ὑπερεκχυνόμενον ἐκ τῆς σῆς ἀγαθότητος. Καὶ δὸς δὴ τῷ φιλοχρίστῳ Βασιλεῖ ἡμῶν ἄνεσιν τῶν κατεχόντων τούτων ἀνιαρῶν, καὶ ἀπαλλαγὴν τῶν ἐμφυλίων θορύβων καὶ στάσεων· ἐνίσχυσον αὐτοῦ τὸν βραχίονα, καὶ τοὺς ἐπανισταμένους αὐτῷ ὑπόταξον, καὶ σύναψον αὐτοῦ τὰ στρατεύματα εἰς μίαν ὁμόνοιαν καὶ εἰρήνην, καὶ πάσης ἐπιβουλῆς ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν ἀνώτερον αὐτὸν διατήρησον. Ἄγγελον αὐτῷ ἐξ ἁγίου κατοικητηρίου σου κατάπεμψον φύλακα, σαφῶς προπολεμοῦντα τοῦ σοῦ Βασιλέως· ἀστασίαστον ἐν βαθείᾳ γαλήνῃ τὴν βασιλείαν αὐτῷ δώρησαι· ὡς ἂν τὸ σὸν ἅγιον Ἔθνος ἐν τῇ γαλήνῃ αὐτοῦ ἤρεμον καὶ ἡσύχιον βίον διάγῃ, καὶ πᾶσαν ἄλλην ἐπεγειρομένην κατ᾽ αὐτοῦ ταραχὴν καὶ ἐπιβουλὴν τῇ ἀμάχῳ σου δεξιᾷ διασκέδασον, καὶ ἀνεπιβούλευτον καὶ μακρὰν αὐτῷ τὴν ζωὴν χάρισαι· πρεσ-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

βείαις τῆς πανυπερενδόξου ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, τῶν αὔλων Λειτουργῶν, καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ.

### Τοῦ αὐτοῦ.

Ἄναρχε Βασιλεῦ, ἀόρατε, ἀνεξιχνίαστε, ἀκατάληπτε καὶ ἀνέκφραστε· ὁ πᾶσαν δρακὶ περιέχων τὴν κτίσιν καὶ διατηρῶν· ὁ διακατέχων καὶ διακυβερνῶν αὐτὴν ἀῤῥήτῳ λόγῳ· ὁ τῶν Νινευϊτῶν τὰς ἀνομίας πρότερον μὲν ἀνεχόμενος, ὕστερον δὲ τὴν μετάνοιαν αὐτῶν καὶ ἐπιστροφὴν προσδεξάμενος, καὶ χαρισάμενος αὐτοῖς, δι᾽ ὑπερβάλλουσαν ἀγαθότητα καὶ μακροθυμίαν, πάσας τὰς ἀνομίας καὶ τὰ πλημμελήματα, τῇ συνήθει καὶ ἀφάτῳ σου φιλανθρωπίᾳ χρησάμενος· δέξαι καὶ ἡμῶν τὰς εὐχὰς, καθάπερ, ὡς εἴρηται, τῶν Νινευϊτῶν τὴν ἐπιστροφὴν καὶ μετάνοιαν· δέξαι τὰ δάκρυα καὶ τοὺς στεναγμούς· δέξαι τὴν τεταπεινωμένην ἡμῶν δέησιν· οὐδὲ γὰρ δυνάμεθα ὅλως ταῖς ἁμαρτίαις ἐνημμένοι, πρὸς σὲ τὸν μόνον ἀναμάρτητον ἀτενίζειν· δέξαι τὰς ἐκ βάθους, ὡς δίκην καπνοῦ, ἀναπεμπομένας σοι τῷ Δεσπότῃ κραυγάς· δέξαι τοῦ ταλαιπωρουμένου λαοῦ τὴν παράκλησιν· νικησάτω ἡ ἄβυσσος τῆς σῆς εὐσπλαγχνίας τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτιῶν· καὶ δὸς τῷ λαῷ σου λύτρωσιν, καὶ ἐλευθερίαν τῶν πειρασμῶν, καὶ τῆς τοῦ θανάτου τομῆς ἄφεσιν. Ναὶ, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπάκουσον τοῦ λαοῦ σου ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ στῆσον τὴν ῥάβδον τῶν ἁμαρτωλῶν, ἐπεγειρομένην ἐπὶ τὸν κλῆρον τῶν δικαίων, οὓς σὺ μόνος οἶδας καὶ ἐπίστασαι παρ᾽ αὐτῶν γινωσκόμενος· ὅπως καὶ δι᾽ ἡμῶν τῶν σῶν ἀχρείων δούλων δοξασθῇ τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΥΧΗ ΕΤΕΡΑ.

### Τοῦ αὐτοῦ.

Υ'περάγαθε Κύριε, Δημιουργὲ, τοῦ παντὸς, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἀνείκαςος· ὁ τὰς ἀνομίας ἡμῶν πάσας ἀράμενος, καὶ τῷ Σταυρῷ προσηλώσας, ἵνα καθαγιάσῃς ἡμᾶς, ὁ ἀναμάρτητος καὶ παντὸς ῥύπου ἀνεπίδεκτος· σοὶ θαῤῥοῦντες προσπίπτομεν ἱκετικῶς, ἀνεξίκακε Κύριε, καὶ τῆς σῆς ἀφάτου καὶ ἀμετρήτου φιλανθρωπίας τὸ πέλαγος ὑποσκοποῦντες, κράζομεν πρὸς σὲ τὸν εὐδιάλλακτον Κύριον· Σῶσον ἡμᾶς. Οὐ Φαρισαϊκῶς τὰς ᾠδὰς ἡμῶν καὶ ὑμνῳδίας ἀναφέρομεν, ἀλλὰ Τελωνικῶς· οὐδὲ κατὰ τὸν ἀγνώμονα ἐκεῖνον λῃστὴν, ἀλλὰ κατ' αὐτὸν τὸν εὐγνώμονα καὶ εὐχάριστον βοῶμεν τὸ, Μνήσθητι. Διὰ τοῦτο νικησάτω τὸ ἀνεξερεύνητον ἔλεος τὰς ἀνομίας ἡμῶν, εἰ καὶ μὴ προσηκόντως μετανοοῦμεν καὶ ἐπιστρέφομεν. Δεῖξον καὶ ἡμῖν τῆς φιλανθρωπίας σου τὸ μέγεθος· σπλαγχνίσθητι καὶ διαλλάγηθι, ὡς μακρόθυμος, ἐπὶ τῷ λαῷ σου· στῆσον τὸ δρέπανον τοῦ θανάτου, ὥτε μὴ καθ' ἡμῶν προβῆναι· στῆσον τὴν ταχεῖαν καὶ ἄωρον τούτου τομήν· στῆσον τῆς λοιμώδους νόσου τὴν δικαίαν ταύτην φθοράν· στῆσον τὴν ῥομφαίαν τὴν καθ' ἡμῶν διεγειρομένην, ἵνα μὴ ἀπολώμεθα· σοὶ γὰρ μόνῳ ἡμάρτομεν, ἀλλὰ καὶ σοὶ μόνῳ προσπίπτομεν. Ναὶ, Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ μὴ ἀπώσῃ τὰς δεήσεις ἡμῶν· πάριδε τὰ πλημμελήματα ἡμῶν, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει, καὶ ἐν ἀγνοίᾳ· ἵνα δοξασθῇ καὶ ἐν ἡμῖν σοῦ τὸ παναγιον ὄνομα σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΥΧΗ ΕΤΕΡΑ.

### Τοῦ αὐτοῦ.

Εὐδιάλλακτε Κύριε, μακρόθυμε καὶ πολυέλεε, χορηγὲ πάσης κτίσεως λογικῆς τε καὶ νοερᾶς· ὁ τὸ εἶναι ἐξ οὐκ ὄντων τοῖς πᾶσι δωρούμενος, καὶ τὸ εὖ εἶναι πανσόφως ἡμῖν χαρισάμενος, δοξολογίαις καὶ ᾠδαῖς εὐχαρίστοις προσπίπτοντας τῇ σῇ ἀνεικάστῳ ἀγαθότητι, μὴ παρίδῃς ἡμᾶς, μηδὲ τὰς ἱλαστηρίους ἡμῶν προσευχὰς καὶ ἱκεσίας ἀπώσῃ· ἀλλ' εὐδόκησον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου· καὶ ἐξελοῦ ἡμᾶς ἀπὸ ταύτης τῆς δεινῆς καὶ λοιμώδους νόσου, τῆς τομῆς τοῦ θανάτου, τῆς ψυχικῆς, δηλαδὴ, καὶ σωματικῆς· ἡ γὰρ φοβερὰ αὕτη καὶ ἀπροσδόκητος συμφορὰ οὐ μόνον σώματα εἰς τέλος νεκροῖ καὶ διαφθείρει, ἀλλὰ καὶ ψυχὰς τελείως ἀπόλλυσιν, ἀμετανοήτως ἡμῶν διακειμένων, καὶ προσκεκρουκότων ἐντεῦθεν σοὶ τῷ Θεῷ ἡμῶν. Διὰ τοῦτο σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, ὅπως ἐπακούσῃς τῆς δεήσεως τοῦ λαοῦ σου καὶ ἱκεσίας, καὶ ἀποστρέψῃς τὸν θυμόν σου ἀφ' ἡμῶν. Ναὶ, Κύριε, μὴ ὀργισθῇς εἰς τοὺς αἰῶνας ἡμῖν, μηδὲ ἐπιτείνῃς τὴν δικαίαν σου καθ' ἡμῶν ἀγανάκτησιν· οὐδεὶς γὰρ δύναται ἔμπροσθέν σου στῆναι, ἢ παῤῥησιάσασθαι, καὶ οὐδεὶς ζῶν ἄνθρωπος ὅλως ἐν σοὶ δικαιωθήσεται· πᾶσα γὰρ δικαιοσύνη ἀνθρώπου, ὡς ῥάκος ἀποκαθημένης, κατὰ τὸν μεγαλοφωνότατον Ἡσαΐαν· τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ, τῷ σῷ φόβῳ συνεχόμενα, κλονοῦνται καὶ φρίσσουσι. Κατάπαυσον τοίνυν τὴν ὀργήν σου ἀφ' ἡμῶν· ἀπόστρεψον τὴν αἰχμαλωσίαν ἡμῶν ἐκ τῆς δουλείας τῶν ἀσεβῶν· ἀλλὰ δὴ καὶ τὴν κατὰ νοῦν γινομένην αἰχμαλωσίαν, τῇ τρικυμίᾳ καὶ ζάλῃ τῶν πειρασμῶν, ὑπὸ τοῦ νοητοῦ Φαραώ· οὐδὲ γὰρ δυνάμεθα, κατ' ἄμφω πλημμελοῦντες, ᾄδειν σοι ᾠδὴν εὐχαριστήριον ἐπὶ γῆς ἀλλοτρίας. Μνήσθητι ἡμῶν, Κύριε, ἐν ἐλέει καὶ οἰκτιρμοῖς· κατάπεμψον ἡμῖν Ἄγγελον, πιστὸν φύλακα, ᾧ καὶ παρακατάθου τὴν ζωὴν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἡμῶν, ὅπως ἐξελῆται ἡμᾶς τῆς φοβερᾶς τοῦ θανάτου ὀργῆς, καὶ τῆς ἀπροσδοκήτου ταύτης ῥομφαίας· ἵνα, διὰ τῆς ἀπαλλαγῆς ταύτης καὶ ἀνέσεως, δοξάσωμεν σὲ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, τὴν μίαν Θεότητά τε καὶ Βασιλείαν· ᾗ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

# ΕΥΧΗ ΕΤΕΡΑ

## ΥΠΕΡ ΤΟΥ ΧΡΙΣΤΩΝΥΜΟΥ ΛΑΟΥ.

### Τοῦ αὐτοῦ Ἁγιωτάτου Πατριάρχου Καλλίστου.

Σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν ἐκτενῶς, τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα ἱλέῳ ὄμματι ἐπιβλέψῃς ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν κληρονομίαν σου, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς· καὶ τὴν ἡμετέραν γῆν ἐξερημωθεῖσαν διὰ τὰς ἀνομίας ἡμῶν, καὶ αἰχμάλωτον γεγονυῖαν καὶ δούλην τοῖς πολεμίοις, ἐπευδοκήσῃς ἐπανελθεῖν εἰς τὴν προτέραν ἐλευθερίαν, καθάπερ ποτὲ καὶ τοῦ παλαιοῦ Ἰακὼβ ἐκείνου, τοῦ φέροντος τύπον τοῦ Μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, εὐδοκίᾳ καὶ θελήσει τῇ σῇ, ὑποστρέψαντος, τοὺς οἰκογενεῖς ἅπαντας πρὸς τὰ ἐπηγγελμένα τῶν ὑποσχομένων σου ἀγαθῶν ἐπανήγαγες· καὶ γὰρ ἐπ' ἐκείνων, τῇ συνήθει σου φιλανθρωπίᾳ χρώμενος, ἀφῆκας τὰς ἀνομίας αὐτῶν, κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου. Ἐπίστρεψον τοίνυν καὶ ἡμᾶς, ὁ Θεὸς, καὶ τῶν σωτηρίων σου ἐντολῶν φροντίζειν ἀξίωσον· ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν· μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν, ἢ διατενῇς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν· ὁ Θεὸς, σὺ ἐπιστρέψας ζώωσον ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται· δεῖξον καὶ ἐν ἡμῖν τὸ ἔλεός σου, καὶ ἀκουσόμεθα εἰρήνην καὶ ἀγαλλίασιν ἐπὶ σέ. Ναὶ, Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐν τῇ ὥρᾳ ταύτῃ, τοῦ κατασκηνῶσαι δόξαν καὶ εἰρήνην ἐν τῇ γῇ ἡμῶν· τῇ γὰρ σῇ συν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

άρσει καὶ βοηθείᾳ θαῤῥοῦντες ἡμεῖς οἱ ἀνάξιοι, ἐλπίζομεν ἔλεος καὶ ἀλήθειαν ἔμπροσθεν ἡμῶν προπορεύεσθαι· ἐκτός σου γὰρ, ἄλλον οὐκ οἴδαμεν· τὸ Ὄνομά σου ὀνομάζομεν· καὶ μὴ ἀποστραφῇς ἡμᾶς εἰς τέλος· ἀλλ' ἐγέρθητι καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ταπεινῶν, καὶ, ὡς ἀμνησίκακος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, ἐπίστρεψον τὴν αἰχμαλωσίαν ἡμῶν· στῆσον τὴν καταιγίδα τῶν συμφορῶν· ἄνες ἡμῖν τὰ παραπτώματα ἡμῶν, ὅπως τῇ ἀνέσει τῶν συμφορῶν δοξάσωμεν σὲ τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Ἁγίῳ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

---

# ΕΥΧΗ ΕΤΕΡΑ

## ΕΙΣ ΒΑΣΙΛΕΑ ΚΑΙ ΕΙΣ ΤΟΝ ΣΤΡΑΤΟΝ ΑΥΤΟΥ.

### Τοῦ αὐτοῦ.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν σοφίᾳ τὰ πάντα μόνῳ τῷ λόγῳ δημιουργήσας, καὶ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι ταῦτα παραγαγὼν, καὶ εἰς ἓν συνάψας καὶ συναθροίσας τῇ ἀῤῥήτῳ σου δυνάμει καὶ ἐνεργείᾳ· πάντα γὰρ δυνατά σοι, ἀδυνατεῖ δέ σοι οὐδέν· καὶ διὰ τοῦτο καιροὺς καὶ χρόνους καὶ ἐνιαυτοὺς συνάψας καὶ συναρμόσας τῷ σῷ βουλήματι, καὶ κατακοσμήσας τοῦτον τὸν ὁρώμενον καὶ βλεπόμενον· ὁ τὸν οὐρανὸν ἐξαπλώσας καὶ χρωματεύσας, καθὰ καὶ τὴν σκηνὴν ἐκείνην διὰ Μωσέως· καὶ τὸ πλῆθος ἐκεῖνο καὶ μυριάριθμον γένος τῶν Ἰουδαίων καταστείλας ἐν τάξει καὶ ὁμονοίᾳ· καὶ τὸν Μωϋσῆν ἐπ' αὐτοῖς, διὰ τῆς σῆς δεξιᾶς καὶ βραχίονος ἰσχυροῦ, δημαγωγὸν καταστήσας, καὶ μίαν ἀρχὴν αὐτοῖς δοὺς, διατηρήσας αὐτοὺς ἀβλαβεῖς ἐν τῇ σῇ σκέπῃ καὶ κραταιᾷ χειρί· ὁ τὸν ἥλιον θέμενος εἰς φῶς τῆς ἡμέρας, καὶ τὴν σελήνην εἰς ἀρχὰς τῆς νυκτός· ὁ τὴν πληθὺν τῶν ἀστέρων ἐπὶ τοῦ στερεώματος καταπυκνώσας τῇ στεγανότητι, καὶ τὴν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἀεικίνητον δοὺς αὐτοῖς κίνησιν, καὶ ἐν τάξει θέμενος τούτους τῷ σῷ προστάγματι, φυλάσσειν τὸ ὅριον αὐτῶν, ὡς μὴ τὸ σύνολον ἡμᾶς περιβλάψαι, ἀλλὰ τῷ δρόμῳ καὶ τῇ κινήσει τρέχειν ἀόκνως, κατὰ τὸ σὸν βούλημα· ὁ τὴν γῆν, ἀόρατον οὖσαν τὸ πρῶτον καὶ σκοτεινὴν, ἀνακαλύψας, καὶ εἰς κάλλος αὐτὴν ἀναμορφώσας διὰ τὴν τῶν ἀνθρώπων φύσιν· ὁ τῷ Ἀβραὰμ ἐκείνῳ ποτὲ συνοδεύσας θεϊκῇ σου δυνάμει, καὶ τοὺς ἐχθροὺς αὐτοῦ παραδοὺς ὑποχειρίους αὐτῷ· ὁ τὸν Γεδεὼν ἐνισχύσας, καὶ τοὺς ὑπεναντίους πανολεθρίᾳ συντρίψας καὶ ἀφανίσας· ὁ τῷ Βασιλεῖ καὶ Προφήτῃ Δαυῒδ τὸ κράτος δοὺς κατὰ τοῦ παλαμναίου ἐκείνου Γολιὰθ, καὶ εἰς τέλος αὐτὸν ἀφανίσας· ὁ διὰ τοῦ θεράποντός σου Μωσέως τὸ γένος τῶν Ἑβραίων ἐλευθερώσας τῆς πικρᾶς δουλείας, καὶ τὸν Φαραὼ τῇ ἀμάχῳ σου δυνάμει καὶ κραταιᾷ σου χειρὶ πανστρατὶ καταποντίσας, καὶ παραπέμψας αὐτὸν τῷ βυθῷ τῆς θαλάσσης, καὶ τὸν στύλον τοῦ φωτὸς ὁδηγὸν αὐτοῖς ἐπιδείξας, ἵνα μὴ προσκόπτωσιν οἱ πόδες αὐτῶν· αὐτὸς καὶ νῦν, ἅγιε Βασιλεῦ τῆς δόξης, ἐξαπόστειλον ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου στύλον φωτοειδῆ καὶ ὑπέρλαμπρον, εἰς ὁδηγίαν κατ' ἐχθρῶν ὁρωμένων καὶ ἀοράτων, καὶ νίκην τοῦ κρατίστου καὶ ἁγίου μου Ὀρθοδόξου Αὐτοκράτορος· καὶ ἐνίσχυσον αὐτὸν τῇ δεξιᾷ σου χειρὶ, καὶ τοὺς σὺν αὐτῷ πορευομένους πιστοὺς δούλους σου καὶ οἰκέτας· καὶ παράσχου αὐτῷ εἰρηνικὸν καὶ ἀτάραχον τὸ βασίλειον, καὶ πάσης στάσεως καὶ ἐμφυλίου πολέμου ἀνώτερον. Ναὶ Κύριε ὁ Θεὸς τοῦ ἐλέους, ἐπάκουσόν μου τοῦ ταπεινοῦ καὶ ἀναξίου δούλου σου ἐν τῇ ὥρᾳ ταύτῃ· καὶ κραταίωσον μὲν αὐτὸν τῇ ἀμάχῳ σου καὶ ἀηττήτῳ δυνάμει· τὰ δὲ τούτου στρατεύματα ἐνίσχυσον πανταχοῦ, καὶ διάλυσον τὰς ἔχθρας καὶ στάσεις τῶν ἐπανισταμένων τῷ κράτει αὐτοῦ. Σύναψον αὐτοὺς ἐν ὁμονοίᾳ καὶ ὑποταγῇ δικαίᾳ, καὶ εἰρήνην βαθεῖαν καὶ ἀστασίαστον ἔν τε γῇ καὶ θαλάσσῃ αὐτῷ βράβευσον, καὶ πάντα πρὸς τὸ συμφέρον ἐπιχορήγησον· ἵνα, τὰς ἐπεγειρομένας μάχας καὶ θορύβους ἀποσεισάμενοι, ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζωμεν σὲ τὸν τῶν θαυμασίων Θεόν. Σὺ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΑΠΟΣΤΟΛΟΣ ΚΑΙ ΕΥΑΓΓΕΛΙΟΝ

## ΕΙΣ ΕΜΠΡΗΣΜΟΝ.

### Προκείμενον. Ἦχος γ'.

Κύριος κραταιὸς καὶ δυνατός.
Στίχ. Κύριος δυνατὸς ἐν πολέμῳ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Κεφ. ιβ'. 14.

Ἀδελφοὶ, εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον· ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ· μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί· μή τις πόρνος, ἢ βέβηλος, ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. Ἴστε γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκιμάσθη· μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν. Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ πυρὶ, καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον· (οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται· καὶ, οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον, Μωσῆς εἶπεν· Ἔκφοβός εἰμι καὶ ἔντρομος)· ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν Ἀγγέλων· πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων· καὶ διαθήκης

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρείττονα λαλοῦντι παρὰ τὸν Ἄβελ.

Ἀλληλούϊα. Ἦχος πλ. δ'.

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. Θ'. 49.

Τῷ καιρῷ ἐκείνῳ, προσελθὼν τῷ Ἰησοῦ εἷς ἐκ τῶν Μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ· Ἐπιστάτα, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα τὰ δαιμόνια, καὶ ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν. Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς· Μὴ κωλύετε· ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν. Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἐστήριξε τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ. Καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ· καὶ πορευθέντες, εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ. Καὶ οὐκ ἐδέξαντο αὐτὸν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ. Ἰδόντες δὲ οἱ Μαθηταὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωάννης, εἶπον· Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ, καὶ ἀναλῶσαι αὐτοὺς, ὡς καὶ Ἠλίας ἐποίησε; Στραφεὶς δὲ, ἐπετίμησεν αὐτοῖς· καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. Διακ. στίχ. 56.

# ΑΠΟΣΤΟΛΟΣ ΚΑΙ ΕΥΑΓΓΕΛΙΟΝ

## ΕΠΙ ΠΑΣΑΝ ΑΙΤΗΣΙΝ.

Προκείμενον, Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου.

Κεφ. β'. 4.

Ἀδελφοὶ, ὁ Θεὸς, πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς, κ.τ.λ. (ὅρα σελ. 553.).

Ἀλληλούϊα. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

**Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.**

Κεφ. ιη'. 2.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Κριτής τις ἦν ἔν τινι πόλει, τὸν Θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. Χήρα δέ τις ἦν ἐν τῇ πόλει ἐκείνῃ· καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα· Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου· καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον. Μετὰ δὲ ταῦτα, εἶπεν ἐν ἑαυτῷ· Εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι· διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω αὐτήν· ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ με. Εἶπε δὲ ὁ Κύριος· Ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει· ὁ δὲ Θεὸς οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμῶν ἐπ' αὐτοῖς; Λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ,

Ψαλλόμενος ἐν πάσῃ περιστάσει, καὶ θλίψει ψυχῆς.
Ποίημα Θεοςηρίκτου μοναχȣ̃· οἱ δὲ, Θεοφάνους (*)

Εὐλογήσαντος τοῦ Ἱερέως, λέγομεν τὸν παρόντα Ψαλμόν.

## ΨΑΛΜΟΣ ΡΜΒ΄. 142.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸ σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

(*) Θεοφάνους ἔχει καὶ τὸ Χειρόγραφον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Γνώρισόν μοι, Κύριε, ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Καὶ εὐθὺς τὸ, **Θεὸς Κύριος**, μετὰ τῶν Στίχων αὐτοῦ ἐξ ἑκατέρων τῶν Χορῶν.

Εἶτα τὰ παρόντα Τροπάρια.

Ἦχος δ΄. **Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τὸ ἑξῆς.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Τὸν Ν΄. Ψαλμόν. Καὶ ἀρχόμεθα τοῦ Κανόνος.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

» Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν, καὶ τὴν αἰγυπτίαν, μο-
« χθηρίαν διαφυγὼν, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ λυτρω-
» τῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Τροπάρια.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· Ὦ Μῆτερ τοῦ Λόγου, καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου πανάμωμε.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

» Οὐρανίας ἀψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας
» δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν
» ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Τροπάρια.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε· σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν πανάμωμε, καὶ ἀδαπάνητον.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ Ἱερεύς, δι' ὃν ἡ Παράκλησις γίνεται·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.



Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (τοῦδε).

Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. (καὶ ἡμεῖς ψάλλομεν τό, Κύριε ἐλέησον, ιέ.).

Ἐκφώνησις.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, κ. τ. λ.

Κάθισμα, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

» Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστήριον· κα-
» τενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

Τροπάρια.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε (*).

Ἀπολαύοντες πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

» Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καὶ τῷ βρα-
» χίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην παράσχου ἡμῖν
» φιλάνθρωπε.

(*) Μετὰ τοῦτο, τὸ Χειρόγραφον ἔχει καὶ τὸ ἐφεξῆς Τροπάριον, ὅπερ ἀπαντᾶται καὶ ἐν τοῖς παλαιοῖς τετυπωμένοις Ὡρολογίοις· « Ἐπὶ κλίνης ὀδύνης » μου, καὶ τῆς ἀῤῥωστίας κατακειμένῳ μοι, ὡς φιλάνθρωπος » βοήθησον, Θεοτόκε Μήτηρ ἀειπάρθενε ».



Τροπάρια.

Ἔμπλησον Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον.

Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

» Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου
» τὰς θλίψεις, ὅτι κακῶν, ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ
» ζωή μου τῷ Ἅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ
» φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Τροπάρια.

Θανάτου καὶ τῆς φθορᾶς ὃς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ, καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν, διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν· καὶ δέομαι διαπαντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με (*).

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμόν, ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ' ἡ Θεόν, καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς· Ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

(*) Τὸ Χειρόγραφον· τῶν παθῶν μου ῥυσθῆναι Πανάμωμε.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Ὁ Ἱερεὺς μνημονεύει, ὡς δεδήλωται.

Μετὰ δὲ τὴν Ἐκφώνησιν, Κοντάκιον, Ἦχος β'.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε τῶν τιμώντων σε.

Εἶτα τὸ Α'. Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ'. Ἤχου.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. Δίς.

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. Δίς.

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει, ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχ. Ἄκουσον Θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου (*).

(*) Μετὰ ταῦτα τὸ Χειρόγραφον ἔχει· «Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι » ἅγιος εἶ ὁ Θεός. Τό, Πᾶσα πνοή. Εἶτα· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς κ.τ.λ.»



Ὁ Ἱερεύς·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Σοφία, ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. α'. 39.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Δόξα, Ἦχος β'.

Πάτερ Λόγε Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον, τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα· Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Μὴ καταπιστεύσῃς με, ἀνθρωπίνῃ προστασίᾳ, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ οἰκέτου σου· θλίψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα σκε-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

πην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλὴν σοῦ. Δέσποινα τοῦ κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.

### Ο ΙΕΡΕΥΣ.

Σῶσον, ὁ Θεὸς, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριςιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας, τοῦ θαυματουργοῦ· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας) καὶ πάντων σου τῶν Ἁγίων· ἱκετεύομέν σε, πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς.

Κύριε ἐλέησον, ιβ'. Μετὰ δὲ τό, Ἐλέει καὶ οἰκτιρμοῖς, ἀποπληροῦμεν τὰς λοιπὰς Ὠδὰς τοῦ Κανόνος.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

» Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες ἐν Βαβυλῶνι
» ποτὲ, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου,
» κατεπάτησαν ψάλλοντες· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς, εὐ-
» λογητὸς εἶ.

Τροπάρια.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.



Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

Ὠδὴ η'. Ὁ Εἱρμός.

» Τὸν Βασιλέα τῶν οὐρανῶν, ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγ-
» γέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε Κόρη εἰς αἰῶνας.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέοις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι τὸν ἄφραστόν σου τόκον.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύοις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σε δοξάζω τὴν κεχαριτωμένην (*).

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

» Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμέ-
» νοι Παρθένε ἁγνή, σὺν Ἀσωμάτων χορείαις σὲ μεγα-
» λύνοντες.

Τροπάρια.

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου, πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

(*) Μετὰ τοῦτο, τὸ Χειρόγραφον ἔχει καὶ τὸ ἐφεξῆς Τροπάριον· «Τῆς σωτη-
» ρίας τὸν ἀρχηγὸν ἡ τεκοῦσα, τὸν Χριστὸν, διασῴζοις Παρθένε, τοὺς σὲ ἀνυ-
» μνοῦντας εἰς πάντας τοὺς αἰῶνας».

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Φωτὸς σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα Παρθένε θεράπευσον, ἐξ ἀῤῥωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

Καὶ εὐθὺς τό, Ἄξιον ἐστὶν ὡς ἀληθῶς.

Καὶ θυμιᾷ ὁ Ἱερεὺς τὸ Θυσιαστήριον, καὶ τὸν λαόν, ἢ τὸν οἶκον, ὅπου ψάλλεται ἡ Παράκλησις· καὶ ἡμεῖς ψάλλομεν τὰ παρόντα Μεγαλυνάρια.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν, λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην· ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Δέσποτα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις, ἀναξίων σῶν οἰκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα. Ὦ Δέσποτα τοῦ κόσμου, γενοῦ μεσίτρια.

Ψάλλομεν προθύμως σοὶ τὴν ᾠδήν, νῦν τῇ πανυμνήτῳ, Θεοτόκῳ χαρμονικῶς· Μετὰ τοῦ Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, δυσώπει Θεοτόκε, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ἄλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων, τὴν Εἰκόνα σου τὴν σεπτήν, τὴν ἱστορηθεῖσαν ὑπὸ τοῦ Ἀποστόλου, Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα, Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστι. Καὶ τὰ Τροπάρια ταῦτα

Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· Ἐλέησον ἡμᾶς.



Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὁ Ἱερεὺς μνημονεύει πάλιν, ὑπὲρ ὧν ἡ Παράκλησις γίνεται.

Εἶτα λέγει· Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ κ.τ.λ, καὶ ποιεῖ τὴν Ἀπόλυσιν.

## ΠΕΡΙ ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΗΣ ΠΑΝΑΓΙΑΣ,

### ὅταν μέλλῃ ἀποδημῆσαί τις ἐν ταξειδίῳ.

Εἰς μὲν τὸν μέλλοντα ἀποδημῆσαι, ψάλλεται πρῶτον Παράκλησις, εἰ βούλεται· εἰδ' οὔ, ποιεῖ ὁ Ἱερεὺς Εὐλογητόν· εἶτα, Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ. Καὶ τὰ Κατανυκτικὰ Τροπάρια· Ἐλέησον ἡμᾶς. Δόξα. Κύριε ἐλέησον ἡμᾶς. Καὶ νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην. Τό, Κύριε ἐλέησον, ιβ'. Δεῦτε προσκυνήσωμεν γ'. Καὶ ὁ Πεντηκοστός. Εἶτα τό, Πιστεύω εἰς ἕνα Θεόν· Ἄνες, ἄφες. Τό, Πάτερ ἡμῶν· Ὅτι σοῦ. Καὶ τὰ παρόντα Θεοτοκία Τροπάρια.

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με· ἀνθρωπίνῃ προστασίᾳ, μὴ καταπιστεύσῃς με· ἀλλ' αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.

Ἐγὼ Παρθένε ἁγία Θεοτόκε, τῇ σκέπῃ σου προστρέχων, οἶδα ὅτι τεύξομαι τῆς σωτηρίας· δύνασαι γὰρ ἁγνὴ βοηθῆσαί μοι.

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε· ἀλλ' αἰτεῖται τὴν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Ἕκαστος ὅπου σώζεται, ἐκεῖ δικαίως καὶ προστρέχει· καὶ ποία ἄλλη τοιαύτη καταφυγή, ὡς σὺ Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν; Δόξα. Ἦχος δ'.

Νεῦσον παρακλήσεσι σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι· Σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Πάντων προστατεύεις Ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ κατακαμπτόμενοι ὑπὸ πταισμάτων πολλῶν. Μῆτερ τοῦ Θεοῦ τοῦ ὑψίστου, ὅθεν σοι προσπίπτομεν· Ῥῦσαι, πάσης περιστάσεως τοὺς δούλους σου.

Εἶτα τό, Δόξα καὶ νῦν· Κύριε ἐλέησον, τρίς· καὶ ὑψοῖ τὴν Παναγίαν.

Μέγα τὸ ὄνομα τῆς ἁγίας Τριάδος.

Παναγία Δέσποινα Θεοτόκε, βοήθει τῷ δούλῳ σου (τῷ δεῖνι).

Ταῖς αὐτῆς πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Εἶτα·

Γέγονεν ἡ κοιλία σου ἁγία τράπεζα, ἔχουσα τὸν οὐράνιον Ἄρτον· ἐξ οὗ πᾶς ὁ τρώγων οὐ θνήσκει, ὡς ἔφησεν ὁ παντὸς, Θεογεννῆτορ τροφεύς.

Τῶν σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον, Θεοτόκε Παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα, τοῖς ἐν πίστει λαμβάνουσι, τὴν εὐλογίαν σου ἄχραντε.

Καὶ ψάλλομεν τό, Ἄξιον ἐστὶν ὡς ἀληθῶς.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε Ναέ, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Χίου

Παράδεισε λογικὲ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι.

Κοντάκιον, Ἦχος ὁ αὐτός.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε. Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι· Χαῖρε Νύμφη ἀνύμφευτε.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἔχοντές σε, Θεοτόκε, ἐλπίδα καὶ προστασίαν, ἐχθρῶν ἐπιβουλὰς οὐ πτοούμεθα, ὅτι σώζεις τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Εἰδὲ ἔστι παρὼν ὁ μέλλων ταξειδεῦσαι, λέγει ὁ Ἱερεὺς τὴν παροῦσαν Εὐχήν·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ἡ ἀληθινὴ καὶ ζωηρὰ ὁδὸς, ὁ συνοδεύσας τῷ θεράποντί σου Ἰωσὴφ, συνόδευσον, Δέσποτα, καὶ τῷ δούλῳ σου (τῷδε), καὶ ῥῦσαι αὐτὸν ἀπὸ πειρατηρίων, καὶ πάσης χειμασίας καὶ ἐπιβουλῆς· εἰρήνην καὶ εὐρωστίαν ἀποκατάστησον· δικαιοσύνης πάσης πρόνοιαν ποιούμενον, κατὰ τὰς ἐντολάς σου, καὶ πλήρη τῶν βιωτικῶν καὶ ἐπουρανίων ἀγαθῶν γενόμενον, πάλιν ἐπανελθεῖν εὐδόκησον. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΥΧΗ ΕΤΕΡΑ

### ΕΠΙ ΜΕΛΛΟΝΤΟΣ ΤΙΝΟΣ ΠΛΕΕΙΝ.

Δέσποτα Κύριε, ὁ καταξιώσας συμπλεῦσαι τοῖς ἁγίοις Μαθηταῖς καὶ Ἀποστόλοις σου, καὶ ἐπιτιμήσας τῇ λαίλαπι τῶν ἀνέμων, καὶ τῆς θαλάσσης γαληνιᾷν τὰ κύματα μελεύσας, σύμπλευσον καὶ τοῖς ἐκδημοῦσιν ἐν τῷ πλοίῳ τούτῳ, πάντα ἐναντίον ἄνεμον καταπραΰνων. Διέγειρον δὲ ἐπιτηδείους ἀνέμους, κυβερνήτης αὐτοῖς πανταχοῦ γενόμενος, πᾶσαν πειρατηρίων ἐξ αὐτῶν ἀποστρέφων ἐπιβουλήν· χαίροντας χαίρουσιν ἡμῖν ἐνταῦθα ἐπανελθεῖν εὐδόκησον αἰσίως, καὶ κατὰ πρόθεσιν πράττοντας τὰ ἐπιτηδευόμενα παρ᾽ αὐτῶν, χάριν τὴν σὴν δωρούμενος ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, σωτήριος καὶ εὔδιος λιμὴν τοῖς πλέουσι καὶ τῷ πλοίῳ εὑρισκόμενος. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΜΕΘΟΔΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ,

### Περὶ τῶν ἀπ' ἀρνήσεως διαφόρων προσώπων καὶ ἡλικιῶν, πρὸς τὴν Ὀρθόδοξον καὶ ἀληθῆ Πίστιν ἐπιστρεφόντων.

Εἰ μὲν παιδίον συνελήφθη, καὶ ἠρνήσατο, ἢ φόβῳ, ἢ ἀγνοίᾳ καὶ ἀμαθείᾳ, ὁ τοιοῦτος λαμβανέτω ἱλαστικὰς Εὐχὰς ἐπὶ ἡμέρας ἑπτά, καὶ τῇ η'. λουέσθω. Καὶ ἀπὸ τοῦ λουτροῦ λεντίῳ περιζωσθεὶς, χριέσθω Μύρῳ, καθάπερ οἱ βαπτιζόμενοι· καὶ βαλέσθω ἱμάτια καινὰ, κατὰ τὸν τύπον τῶν βαπτιζομένων.

Εἰ δὲ νεανίαι εἶεν, ἢ πρεσβῦται, ἢ γέροντες, τέλειοι ὄντες τὴν ἡλικίαν· εἰ μὲν ἀπὸ βασάνων ἠρνήσαντο, τυχέτωσαν φιλανθρωπίας· πλὴν νηστευέτωσαν δύω Τεσσαρακοστὰς, σχολάζοντες εἰς προσευχὰς, καὶ ἐκτελοῦντες γονυκλισίας καὶ ἐκτενεῖς δεήσεις. Ἐγγίζοντος δὲ τοῦ πληρώματος τῶν δύω Τεσσαρακοστῶν ἐπὶ ἡμέρας ὀκτὼ, δεχέσθωσαν πάλιν ἱλαστικὰς Εὐχὰς, καὶ λεγέτωσαν καθ' ἑκάστην τὸ, **Κύριε ἐλέησον** ρ'., καὶ μετὰ τοῦτο, λουέσθωσαν, καὶ χριέσθωσαν τῷ Μύρῳ, κατὰ τὴν προειρημένην διάταξιν· καὶ γενομένης Λειτουργίας, ἀξιούσθωσαν τῶν Ἁγιασμάτων, σχολάζοντες, καθὼς οἱ βαπτιζόμενοι, τῇ Ἐκκλησίᾳ καὶ τῇ Λειτουργίᾳ τὰς ὀκτὼ ἡμέρας.

Εἰ δὲ τινες ἀπὸ προαιρέσεως ηὐτομόλησαν πρὸς τὴν ἄρνησιν, ἐπιστρέφοντας μὲν τούτους δεχόμεθα, τῶν δὲ Θείων Μυστηρίων οὐ μεταλαμβάνουσιν, εἰμὴ μόνον ἐν τῷ τέλει τῆς ζωῆς αὐτῶν, κατὰ τὸν ογ'. Κανόνα τοῦ Μεγάλου Βασιλείου, τὸν λέγοντα· Ὁ τὸν Χριστὸν ἀρνησάμενος, καὶ παραβὰς τὸ τῆς σωτηρίας μυστήριον, ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς αὐτοῦ προσκλαίειν ὀφείλει· καὶ ἐξομολογεῖσθαι, χρεωστεῖ ἐν τῷ καιρῷ, ᾧ ἐκβαίνει τοῦ βίου, τοῦ Ἁγιάσματος ἀξιούμενος, πίστει τῆς παρὰ Θεοῦ φιλανθρωπίας (*).

(*) Τὰς ἐν τοῖς τετυπωμένοις ἀσυνταξίας τοῦ Κανόνος τούτου ἐπανωρθώσαμεν, ἀκριβεῖ κειμένῳ παραβαλόντες.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΑΙ

## ΙΛΑΣΤΙΚΑΙ ΕΠΙ ΤΟΝ ΑΠ' ΑΡΝΗΣΕΩΣ ΕΠΙΣΤΡΕΦΟΝΤΑ ΠΡΟΣ ΤΗΝ ΑΛΗΘΙΝΗΝ ΠΙΣΤΙΝ.

Τοῦ Κυρίου δεηθῶμεν.

Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου· οὐ γὰρ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησας ἡμῖν, οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκας ἡμῖν· παραβάντες γὰρ τὰς ἐντολάς σου, ἑαυτοὺς παρεδώκαμεν τῷ θανάτῳ· αὐτὸς γὰρ ὡς εὔσπλαγχνος Δεσπότης, ὁ εἰδὼς τὴν καταςροφὴν ἡμῶν, ὅτι πονηρὰ, καὶ ὅτι κατέπιεν ἡμᾶς ἰσχύσας ὁ θάνατος, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς, σῶσαι εὐδόκησας τὸ σὸν πλάσμα, μορφὴν δούλου λαβών· καὶ τῷ θανάτῳ συμπλακεὶς, ἀνεκαλέσω τὴν σὴν εἰκόνα, ἠλευθέρωσας ἡμᾶς τῆς ἐξουσίας τοῦ θανάτου, καὶ ὡδήγησαν ἡμᾶς εἰς ὁδὸν σωτηρίας, τῇ ἀναγεννήσει τοῦ Ἁγίου σου Πνεύματος· καὶ σωθέντες τῇ σῇ χάριτι, ἀνυμνοῦμεν τὴν οἰκονομίαν σου, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, καὶ παρακαλοῦμεν· Ἐν τῇ δευτέρᾳ σου Παρουσίᾳ, καθ' ἣν μέλλεις κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, μνήσθητι τοῦ ἐλέους σου, ὅτι ἀπὸ τοῦ αἰῶνός ἐστι, καὶ ὑπέρβηθι τὰ ἀνθρώπινα ἡμῶν πταίσματα καὶ πλημμελήματα. Παράσχου ἡμῖν ἱλασμὸν τοῖς αἰτουμένοις σε, καὶ συγχώρησον πᾶν παράπτωμα ἑκούσιόν τε καὶ ἀκούσιον, ἐν γνώσει τε καὶ ἀγνοίᾳ· οὐ γάρ ἐστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐχ ἁμαρτήσει, οὐδ' ἂν μία ἡμέρα γένηται ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς· τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν αὐτοῦ; ἢ τίς παῤῥησιάσεται καθαρὸς ὑπάρχειν ἀπὸ ἁμαρτίας; πάντες γὰρ ἡμάρτομεν ἐν λόγοις καὶ ἔργοις ἐνώπιόν σου, καὶ ςερούμεθα τῆς σῆς δόξης, ἐλπίζοντες δικαιωθήσεσθαι ἐπὶ τοῦ φοβεροῦ καὶ φρικτοῦ Βήματός σου, οὐκ ἐξ ἔργων δικαιοσύνης (οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς), ἀλλ' ἐκ πίστεως ἀληθοῦς, καὶ τῆς εἰς σὲ ὁμολογίας· τὸ γὰρ ἐπίστασθαί σε, ὁλόκληρος δικαιοσύνη· καὶ τὸ εἰδέναι σου τὸ κράτος, ῥίζα ἀθα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη

νασίας· καὶ οἴδαμεν, καὶ ὁμολογοῦμεν, καὶ πιστεύομεν ὅτι σὺ εἶ ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν ἡμᾶς, καὶ παραπεσόντας ἐλεῶν, καὶ ἁμαρτάνοντας φέρων, καὶ ἐκ θανάτε ζωοποιούμενος. Δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν· Ὅ,τι περ ἂν ἡμάρτομεν ἐνώπιόν σου, ὡς σάρκα φοροῦντες, καὶ τὸν κόσμον τῦτον οἰκοῦντες, καὶ ἀσθένειαν περικείμενοι, εἴτε ἔργοις, εἴτε λόγοις, εἴτε ἐνθυμήμασιν, αὐτὸς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Δεσπότης, ἄνες, ἄφες, πάριδε, καὶ συγχώρησον τὰ παραπτώματα ἡμῖν τοῖς ὁμολογοῦσι· καὶ μὴ λογίσῃ, μηδὲ εἰσέλθῃς εἰς κρίσιν μετὰ τῶν δούλων σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι σὺ εἶ μόνος ἀναμάρτητος, καὶ δεχόμενος τοὺς μετανοοῦντας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὰς κλεῖς τῆς βασιλείας σου τοῖς σοῖς ἁγίοις Μαθηταῖς καὶ ἱεροῖς Ἀποστόλοις κατεμπιστεύσας καὶ ἐπ' αὐτοῖς τὴν ἁγίαν σου Ἐκκλησίαν οἰκοδομήσας, καὶ δοὺς αὐτοῖς ἐξουσίαν, διὰ τῆς σῆς χάριτος, τοῦ δεσμεῖν καὶ λύειν τὰ ἐπὶ τῆς γῆς· ἐπάκουσον καὶ ἡμῶν τῶν ἀναξίων ἐπικαλεμένων σε νῦν ἐπὶ ἱλασμὸν τοῦ παρόντος δούλου σου, καὶ θαυμάςωσον τὰ ἐλέη σου ἐπ' αὐτὸν, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. Σὺ γὰρ εἶπας, Κύριε, διὰ τῶν θεοφορεμένων χειλέων τῶν Προφητῶν σε· Ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς· καὶ τὸ, Οὐ θελήσει θέλω τὸν θάνατον τῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιςρέψαι καὶ ζῆν αὐτόν. Αὐτὸς οὖν, φιλάνθρωπε, καὶ τὸν παρόντα δοῦλόν σε ἐκ πλάνης ὁδοῦ αὐτῦ ἐπιστρέφοντα καὶ αἰτούμενον παρὰ σοῦ ἱλασμὸν, μὴ ἀποστραφῇς, ἀλλ' ἐν ἐλέει ἐπίσκεψαι, καὶ ἐν οἰκτιρμοῖς ἀνακάλεσαι. Ὅτι σὺ εἶ ὁ Θεὸς, Θεὸς τῶν μετανοούντων, καὶ τῶν πρὸς σὲ ἐπιςρεφόντων Σωτὴρ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τῦς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΥΧΗ ΕΤΕΡΑ.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς, ὁ τῶν ἁπάντων Ποιητὴς καὶ Δεσπότης, ἡ πηγὴ τῆς ἀγαθότητος, ὁ Πατὴρ πάντων ἀνθρώπων, μάλιςα πιστῶν· ὁ μὴ παριδὼν τὸν ἄνθρωπον ἐκ τῆς τοῦ διαβόλου πανουργίας εἰς βυθὸν ἀπωλείας καὶ πλάνης κατενεχθέντα, ἀλλὰ, διὰ τῆς σωτηρίου ἐνανθρωπήσεως τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, τῦτον ἀναζητήσας καὶ σώσας καὶ πρὸς ἑαυτὸν ἐπαναγαγών· αὐτὸς, Δέσποτα φιλάνθρωπε, καὶ τανῦν ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου τοῦτον, πρόβατον τῆς λογικῆς ποίμνης τοῦ Χριστοῦ σου ὑπάρχοντα, ὃν ἐλυτρώσω ἐκ τῆς αἰχμαλωσίας τῶν ἀθέων ἐχθρῶν· μεθ' ὧν, ἀγνοίᾳ παιδικῇ, ἢ βίᾳ τυραννικῇ τὰ τῆς ἐκείνων πλάνης ἤθη μετήρχετο· νῦν δὲ κατηξίωσας αὐτὸν τῇ τοῦ λαῦ σου πολιτείᾳ συνενωθῆναι. Καταύγασον αὐτοῦ τὴν διάνοιαν τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ Ἁγίου σου Πνεύματος, ὥστε τὸν ἐναποκείμενον τῇ ψυχῇ αὐτοῦ σπινθῆρα τοῦ σωτηριώδυς Βαπτίσματος ταῖς αὔραις τῆς χάριτος νοητῶς ἐξαφθῆναι· καὶ τὴν ἐνσημανθεῖσαν αὐτῷ Σφραγίδα ἐκτυπώτερον ἐπιφαίνεσθαι ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ τοῖς λογισμοῖς, διὰ τῆς σημειώσεως τῦ Σταυροῦ τῦ Χριςοῦ σῦ, τὴν εἰς σὲ ἐλπίδα καὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν, ἵνα γινώσκῃ καὶ προσκυνῇ σὲ τὸν μόνον ἀληθινὸν Θεὸν καὶ Πατέρα, καὶ τὸν μονογενῆ σῦ Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριςὸν, καὶ τὸ Πνεῦμά σῦ τὸ Ἅγιον· ἕνωσον αὐτὸν τῇ ἁγίᾳ σου Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ· ἀπόστησον ἐκ τῆς αὐτῆς διανοίας πᾶσαν συνήθειαν ἐθνικῆς ἀθεότητος, καὶ κατεύθυνον αὐτὸν ἐν ταῖς ἐντολαῖςσου· καὶ τοῖς προστάγμασί σου ἀξίως πορεύεσθαι, καὶ τῆς τῶν σωτηρίων σου Μυστηρίων ἀκατακρίτου μεταλήψεως καταξίωσον, καὶ ἐν τῇ μελλούσῃ ζωῇ τῆς ἐπουρανίυ σου Βασιλείας μέτοχον ἀνάδειξον. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΥΧΗ ΕΤΕΡΑ.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ὁ διὰ τὸ ἀπολωλὸς πρόβατον τὸν μονογενῆ σου Υἱὸν ἐξαποστείλας εἰς τὸν κόσμον, Σωτῆρα καὶ Λυτρωτὴν, ἵνα τὴν σὴν ἀναζητήσῃ, καὶ ἀνασώσῃ εἰκόνα· σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν· Πρόσδεξαι τὸν δοῦλόν σου (τόνδε), τοῖς οἰκτιρμοῖς σȣ προστρέχοντα, καὶ τυχόντα μὲν ἐκ παιδὸς τῆς Ὀρθοδόξου Πίςεως τῆς πρὸς σὲ, διὰ τοῦ ἁγίου σου Βαπτίσματος, ἐκπεσόντα δὲ ταύτης, διὰ νηπιότητα, ἤ τινα ἄλλην περιπέτειαν· ἐπιστρέφοντα δὲ νῦν, καὶ διὰ μετανοίας καὶ ἐπιγνώσεως πρὸς τὴν σὴν παλινδρομοῦντα χρηςότητα· Ἔκχεον ἐπ' αὐτὸν τῆς σῆς φιλανθρωπίας τὴν εὐσπλαγχνίαν· πρόσδεξαι αὐτὸν ὡς τὸν Ἄσωτον, πρὸς σὲ τὸν Θεὸν καὶ Πατέρα ἐπανακάμπτοντα· ἀπόστησον ἀπ' αὐτοῦ πᾶσαν πλάνην καὶ ἐπίνοιαν τοῦ ἐχθροῦ· σύνταξον τῇ τῶν λογικῶν σου προβάτων ἁγίᾳ Ποίμνῃ· κόσμησον αὐτὸν καὶ νῦν τῇ δόξῃ τοῦ παναγίου ὀνόματος τοῦ Χριστοῦ σου· μέτοχον ἀνάδειξον σὺν πᾶσι Πιστοῖς τῶν Ἁγιασμάτων σȣ τῶν ἀχράντων, εἰς ἄφεσιν μὲν τῶν προγεγονότων σφαλμάτων αὐτοῦ, ἀσφάλειαν δὲ τοῦ μέλλοντος, καὶ φυλακὴν τῆς ψυχῆς καὶ τȣ̃ σώματος. Δὸς αὐτῷ ἐν παντὶ καιρῷ καὶ τόπῳ πρὸς σὲ καταφεύγειν, καὶ σχολάζειν ταῖς Ἐκκλησίαις σου, καὶ τὰ εὐάρεςά σοι ἐπιτελεῖν· ἵνα καὶ κληρονόμος δι' ἀγαθοεργίας ἀναφανῇ τῆς ἐπουρανίου σου Βασιλείας· ἧς καὶ ἡμᾶς ἀξίωσον σὺν αὐτῷ· Χάριτι καὶ οἰκτιρμοῖς τοῦ Χριςοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων· ὁ διὰ τοῦ Σταυροῦ σȣ τῆς προγονικῆς κατάρας ἐλευθερώσας ἡμᾶς, καὶ πρὸς τὴν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μακαρίαν ζωὴν ἐπαναγαγών· ὁ εἰπὼν, γίνεσθαι χαρὰν ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· πρόσδεξαι καὶ νῦν τὸ ἀπολωλός σου πρόβατον λογικὸν, καὶ τῇ ποίμνῃ σου σύναψον, καὶ τοὺς ἁρπάσαντας λύκους ἀπ' αὐτοῦ ἀποσόβησον· ἀξίωσον αὐτὸν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, τειχιζόμενον τῷ Σταυρῷ σου, καὶ φρουρούμενον τῇ δόξῃ τοῦ προσκυνητοῦ σου ὀνόματος, τοῦ ἐπικεκλημένου ἡμῖν τοῖς δούλοις σου. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν Εὐχὴν, λαβὼν τὸ ἅγιον Μύρον, χρίει αὐτὸν κατὰ τὴν τάξιν τῶν βαπτιζομένων, ποιῶν Σταυροῦ τύπον ἐπί τε τοῦ μετώπου, καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν δύω ὠτίων, καὶ τῶν χειρῶν, καὶ τοῦ στήθους, καὶ τῶν μεταφρένων, καὶ τῶν γονάτων, λέγων·

Σφραγὶς δωρεᾶς Πνεύματος Ἁγίου. Ἀμήν.

Καὶ μετὰ τὴν χρίσιν, λέγει τὴν Εὐχὴν ταύτην, ἐπάνω τῆς κεφαλῆς αὐτοῦ.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ διὰ τῆς ἀποστολῆς τοῦ παναγίου σου Πνεύματος, χάριτος ἐμπλήσας τοὺς Μαθητὰς, καὶ τὸν δοῦλόν σου τοῦτον ἐπιστρέψας ἐκ τῆς πεπλανημένης ὁδοῦ, καὶ εἰς τὴν σὴν Πίστιν καθοδηγήσας, καὶ τῆς εὐωδίας τοῦ Ἁγίου σου Πνεύματος, διὰ τῆς τοῦ Μύρου τούτου χρίσεως, ἀξιώσας, φύλαξον αὐτὸν ἐν τῷ σῷ ἁγιασμῷ· δὸς αὐτῷ κατὰ τὸ θέλημά σου πορεύεσθαι· καὶ καταξίωσον αὐτὸν σὺν ἡμῖν ἐν ἀπολαύσει γενέσθαι καὶ τῶν φρικτῶν σου Μυστηρίων, καὶ τηρήσαντα τὴν εἰς σὲ πίστιν ὀρθὴν, ἐπάξιον φανῆναι, καὶ τῆς ἐπουρανίου σου Βασιλείας, διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου· μεθ' οὗ σοι πρέπει δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ γίνεται Ἀπόλυσις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΙΕΡΕΑ ΕΝΥΠΝΙΑΣΘΕΝΤΑ.

Μετὰ τὸν ἐνυπνιασμὸν, εὐθὺς ἀνίσταται· καὶ ποιήσας Εὐλογητὸν, ἄρχεται τοῦ Τρισαγίου. Τὸ, Κύριε ἐλέησον, ιβ'. Δεῦτε προσκυνήσωμεν γ'. τὸν Ν'. Εἶτα, τὸ, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες· Δόξα ἐν ὑψίστοις Θεῷ. Πιστεύω εἰς ἕνα Θεόν· τὸ, Ἄνες, ἄφες.

Καὶ τὸ Ἀπολυτίκιον, καὶ Κοντάκιον τῆς ἡμέρας.

Εἶθ' οὕτω τὰ Τροπάρια ταῦτα. Ἦχος β'. (*)

Ἥμαρτον εἰς σὲ Σωτὴρ, ὡς ὁ Ἄσωτος υἱός· δέξαι με Πάτερ, μετανοοῦντα, καὶ ἐλέησόν με ὁ Θεός.

Κράζω σοι Χριστὲ Σωτὴρ, τοῦ Τελώνου τὴν φωνήν· Ἱλάσθητί μοι, ὥσπερ ἐκείνῳ, καὶ ἐλέησόν με ὁ Θεός.

Θεοτοκίον, Ἦχος πλ. ά.

Τὴν ταχεῖάν σου σκέπην καὶ τὴν βοήθειαν, καὶ τὸ ἔλεος δεῖξον ἐπὶ τῷ δούλῳ σου, καὶ τὰ κύματα Ἁγνὴ σὺ καταπράϋνον, τῶν ματαίων λογισμῶν· καὶ τὴν πεσοῦσάν μου ψυχὴν, ἀνάστησον Θεοτόκε· οἶδα γὰρ ὅτι Παρθένε, ἰσχύεις ὅσα καὶ βούλεσαι.

Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ·

Ἕτερα Στιχ. Ἦχος βαρύς.

Ὡς ὁ περιπεσὼν εἰς τοὺς λῃστὰς, καὶ τετραυματισμένος, οὕτω κἀγὼ περιέπεσα ἐξ ἐμῶν ἁμαρτιῶν, καὶ τετραυματισμένη ὑπάρχει μου ἡ ψυχή· πρὸς τίνα καταφύγω ὁ ὑπεύθυνος ἐγὼ, εἰμὴ πρὸς σὲ τὸν εὔσπλαγχνον, τῶν ψυχῶν τὸν ἰατρόν; ἐπίχεε ἐπ' ἐμὲ ὁ Θεὸς, τὸ μέγα σου ἔλεος.

Ὡς ὁ Ἄσωτος υἱὸς, ἦλθον κἀγὼ Οἰκτίρμον· δέξαι με προσπίπτοντα, ὡς ἕνα τῶν μισθίων σου ὁ Θεὸς, καὶ ἐλέησόν με.

(*) Μετὰ τὸ Τρισάγιον, τὸν Ν'. καὶ μετανοίας γ'., τὸ χειρόγραφον ἔχει ἕτερα Τροπάρια δ'. Ἦχος ά., καὶ ἀμέσως τὴν Εὐχήν· Πάλιν ὑπεσκελίσθην σελ. 598.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἦχος πλ. δ'.

Τοῖς τῶν ἐμῶν λογισμῶν λησταῖς περιπεσών, ἐσυλήθην ὁ τάλας τὸν νοῦν, καὶ δεινῶς πληγωθείς, ὅλην μου τὴν ψυχὴν τετραυμάτισμαι, καὶ ἔνθεν κεῖμαι γυμνὸς ἀρετῶν, ἐν τῇ τοῦ βίου ὁδῷ. Ἱερεὺς δὲ ἰδών με τῷ μώλωπι ὀδυνώμενον, διὰ τὸ ἀνίατον παρορῶν οὐκ ἀποβλέπει με· Λευΐτης δὲ πάλιν μὴ φέρων, τὴν ψυχοφθόρον ἀλγηδόνα, καὶ αὐτὸς κατιδὼν ἀντιπαρῆλθέ μοι. Σὺ δὲ ὁ εὐδοκήσας οὐκ ἐκ Σαμαρείας, ἀλλ' ἐκ Μαρίας σαρκωθῆναι Χριστὲ ὁ Θεός, τῇ φιλανθρωπίᾳ σου παράσχου μοι τὴν ἴασιν, ἐπιχέων ἐπ' ἐμὲ τὸ μέγα σου ἔλεος.

Ἦχος πλ. β'.

Ἐννοῶ τὴν ἡμέραν τὴν φοβεράν, καὶ θρηνῶ μου τὰς πράξεις τὰς πονηράς· πῶς ἀπολογήσομαι τῷ ἀθανάτῳ Βασιλεῖ; ποίᾳ δὲ παῤῥησίᾳ ἀτενίσω τῷ Κριτῇ, ὁ ἄσωτος ἐγώ; Εὔσπλαγχνε Πάτερ, Υἱὲ μονογενές, καὶ Πνεῦμα τὸ Ἅγιον ἐλέησόν με.

Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν διέθου, ὅταν καθίσῃς Ἐλεῆμον, ποιῆσαι δικαίαν κρίσιν, μὴ δημοσιεύσῃς μου τὰ κεκρυμμένα, μηδὲ καταισχύνῃς με ἐνώπιον τῶν Ἀγγέλων· ἀλλὰ φεῖσαί μου ὁ Θεός, καὶ ἐλέησόν με.

Δόξα.

Ἐγὼ ὑπάρχω τὸ δένδρον τὸ ἄκαρπον Κύριε, κατανύξεως καρπὸν μὴ φέρων τὸ σύνολον, καὶ τὴν ἐκκοπὴν πτοοῦμαι, καὶ τὸ πῦρ ἐκεῖνο δειλιῶ τὸ ἀκοίμητον. Διό σε ἱκετεύω· Πρὸ ἐκείνης τῆς ἀνάγκης, ἐπίστρεψον καὶ σῶσόν με.

Καὶ νῦν. Θεοτοκίον.

Ἐλπὶς τοῦ κόσμου ἀγαθή, Θεοτόκε Παρθένε, τὴν σὴν καὶ μόνην φοβερὰν προστασίαν αἰτοῦμαι· Σπλαγχνίσθητι ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, καὶ δυσώπησον τὸν ἐλεήμονα Θεόν, ῥυσθῆναι τὴν ἐμὴν ψυχὴν ἐκ πάσης ἀπειλῆς, μόνε εὐλογημένη.

Τό, Κύριε ἐλέησον, μ'. καὶ ἡ παροῦσα

## ΕΥΧΗ

### Μάρκου Μοναχοῦ.

Ἄχραντε, ἀμόλυντε, πολυεύσπλαγχνε Κύριε, ὁ τῇ ἀναλήψει τῆς σῆς ἀνθρωπότητος τὴν ἡμετέραν φύσιν τῆς φθορᾶς



ἀπαλλάξας, καὶ τῇ ἑνώσει τῆς κρείττονος ὅλην καθαγιάσας· ὁ τοῖς εἰς σὲ τὸν μόνον ἀληθινὸν ἀνενδοιάστως πιςεύουσι τὴν χάριν σου δαψιλῶς παρεχόμενος, καὶ ἐν τῇ ἀσθενείᾳ τῆς σαρκὸς τὸν μεγάλαυχον καταισχύνων καὶ παλαιὸν πτερνιστήν· αὐτός, εὐεργέτα Κύριε, κἀμὲ τὸν ἐμπαθῆ καὶ φιλαμαρτήμονα, διὰ τῆς καθ' ὕπνον φαντασίας χρανθέντα, καθαρὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ μὴ λογίσῃ μοι τοῦτο εἰς ἁμαρτίαν, εἴτε, φθόνῳ τοῦ μισοκάλου καὶ ἀνυποστάτου δαίμονος, διὰ τῆς ὀνειρώσεως ἐμολύνθην, εἴτ' ἀμελείᾳ, καὶ ἀκρασίᾳ τῶν βλαβερῶν, ἢ ἕξει πονηρᾷ καὶ προσλήψεων τυραννίδι. Ἐνίσχυσον δέ με τοῦ λοιποῦ κατὰ τῆς αὐτοῦ σκαιότητος καὶ μανίας, τῇ παντοδυνάμῳ σου χάριτι, καὶ ἀνώτερον τῶν αὐτοῦ ποικίλων ἐπινοιῶν διατήρησον, τὸν τῆς σωφροσύνης μου λύχνον ἄσβεστον μέχρι τέλους διαφυλάττων· ἵνα, μυσαρᾶς μὲν ἁπάσης τῶν γαργαλισμῶν ἡδυπαθείας, καὶ παντοίας φοβερᾶς τῶν νυκτερινῶν φαντασιῶν ἀχλύος, διὰ τῆς σῆς βοηθείας, ἀπηλλαγμένος, τῇ δὲ φωταυγεῖ θεωρίᾳ τῶν ἐπιθυμητῶν καὶ ὑπὲρ μέλι καὶ κηρίον ἡδυνόντων κριμάτων σου νυκτὸς καὶ ἡμέρας ἐμμελετῶν, ἐν καθαρῷ συνειδότι τῶν ζωοποιῶν καὶ ἀθανάτων σου Μυςηρίων μετασχεῖν ἀξιωθήσωμαι· πρεσβείαις τῆς ἀφθόρως τεκούσης σε παναχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ

### Τοῦ Μεγάλου Βασιλείου.

Πολυεύσπλαγχνε, ἀκήρατε, ἀμόλυντε, ἄχραντε, μόνε ἀναμάρτητε Κύριε, καθαρόν με τὸν ἀχρεῖον δοῦλόν σου ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ τῆς νῦν ἐξ ἀπροσεξίας μου καὶ ῥαθυμίας ἐπιγενομένης μοι ἀκαθαρσίας, μετὰ τῶν ἄλλων μου πασῶν ἀνομιῶν· καὶ ἀνάδειξόν με ἄσπιλον, διὰ τῆς χάριτος τοῦ Χριςοῦ σου, καὶ ἁγίασόν με τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου σου Πνεύματος· ἵνα, ἀνανήψας ἐκ τῆς ὁμίχλης τῶν ἀκαθαρσιῶν μου καὶ τῶν φαντασιῶν τοῦ διαβόλου, ἔτι δὲ καὶ ἀπὸ παντὸς μολυσμοῦ διαβολικοῦ, καταξιωθῶ ἐν καθαρᾷ συνειδήσει ἀνοῖξαι τὸ ῥυπαρόν μου στόμα καὶ ἐναγές, εἰς τὸ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ὑμνῆσαι τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· καὶ οὕτω μετασχεῖν ἀνενόχως καὶ ἀκατακρίτως τῶν ἀχράντων, ἀθανάτων, ὑπεραγίων (*) καὶ ζωοποιῶν Μυϛηρίων τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ.

### Τοῦ αὐτοῦ.

(Τινὲς δὲ φασιν εἶναι ταύτην τοῦ ὁσίου Μαρτινιανοῦ) (**).

Πάλιν ὑπεσκελίσθην ὁ τάλας τὸν νοῦν, τῇ πονηρᾷ συνηθείᾳ τῆς ἁμαρτίας δουλεύων· πάλιν ὁ τοῦ σκότους ἄρχων, καὶ τῆς ἐμπαθοῦς ἡδονῆς ὁ γεννήτωρ αἰχμάλωτον εἷλέ με, καὶ, ὥσπερ δοῦλον τεταπεινωμένον τῷ ἑαυτοῦ θελήματι, ταῖς ἐπιθυμίαις τῆς σαρκὸς δουλεύειν καταναγκάζει με. Καὶ τί ποιήσω, Κύριέ μου, Κύριε λυτρωτὰ καὶ ὑπερασπιϛὰ τῶν πεποιθότων ἐπὶ σέ; εἰμὴ πρὸς σὲ πάλιν ἐπιϛραφήσομαι, καὶ ϛενάξω, καὶ συγγνώμην αἰτήσομαι τῶν πεπραγμένων μοι δεινῶν. Ἀλλὰ δέδοικα καὶ τρέμω, μήπως, καθ' ἑκάστην ἐξομολογούμενος, καὶ ἀποχὴν τῶν κακῶν ἐπαγγελλόμενος, καθ' ὥραν ἁμαρτάνων καὶ μὴ παυόμενος, μὴ ἀποδοὺς τὰς εὐχάς μου σοὶ τῷ Θεῷ μου, τὴν μακροθυμίαν σου διεγείρω πρὸς ἀγανάκτησιν· καὶ τίς ὑποίσει, Κύριε, τὸν θυμόν σου; Γινώσκων οὖν τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τὴν ἄβυσσον τῆς φιλανθρωπίας σου, πάλιν ἐπιῤῥίπτω ἐμαυτὸν εἰς τὰ ἐλέη σου, καὶ κράζω σοι· Ἥμαρτον, ἐλέησόν με, ὁ Θεὸς, τὸν παραπεσόντα· δός μοι χεῖρα βοηθείας τῷ ἐν βόθρῳ τῶν ἡδονῶν βεβυθισμένῳ, καὶ μὴ καταλίπῃς με, Κύριε, τὸ πλάσμα σου, φθαρῆναι ταῖς ἀνομίαις καὶ ταῖς ἁμαρτίαις· ἀλλὰ τῇ συνήθει σου χρηστότητι, ῥῦσαί με τοῦ μιασμοῦ καὶ ῥύπου τῆς σαρκός μου, καὶ

(*) Ἴσως, ἐπουρανίων.
(**) Ἡ παροῦσα Εὐχὴ ἐν τῷ Χειρογράφῳ ὑπάρχει ἀνεπίγραφος.



τῶν ἐμπαθῶν λογισμῶν, τῶν καθ' ἑκάϛην καταχραινόντων τὴν ἐμὴν ἀθλίαν ψυχήν· ἰδοὺ γὰρ, Κύριε ὁ Θεός μου, οὐκ ἔστι τόπος ἐν αὐτῇ καθαρὸς, ἀλλ' ὅλη λελέπρωται, τὴν ὁλοσώματον ἔχουσα πληγήν. Αὐτὸς οὖν, ὡς ἰατρὸς τῶν ψυχῶν, καὶ τοῦ ἐλέους πηγὴ, κάθαρον αὐτὴν τῇ τῶν δακρύων μου καθάρσει, ταῦτα προχέων ἐπ' ἐμὲ δαψιλῶς· καὶ δός μοι τὴν ἴασιν καὶ τὴν κάθαρσιν, καὶ μὴ ἀποϛρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ, ὡς πῦρ, καταφάγῃ με τὸ τῆς ἀπογνώσεως σκότος. Ἀλλ' ὥσπερ εἶπας ὁ ἀψευδὴς Θεὸς, ὅτι· Χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, τοῦτο πραχθείη καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· καὶ μὴ κλείσῃς τὰ ὦτα τῆς εὐσπλαγχνίας σου εἰς τὴν προσευχὴν τῆς μετανοίας μου· ἀλλ' ἄνοιξόν μοι ταῦτα, καὶ ὡς θυμίαμα κατεύθυνον αὐτὴν ἐνώπιόν σου· οἶδας γὰρ τὴν ἀσθένειαν τῆς φύσεως, ὁ Πλάστης, καὶ τὸ εὐόλισθον τῆς νεότητος, καὶ παρορᾷς ἁμαρτίας, καὶ τὴν μετάνοιαν ἐκδέχῃ τῶν ἐν ἁμαρτίαις ὄντων καὶ ἐπικαλουμένων σε· Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Καὶ ποιεῖ μετανοίας, ν'. Ὀφείλει δὲ λέγειν κατὰ μετάνοιαν, τὸ, Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με, διὰ τὸ ὄνομά σου τὸ ἅγιον· ἢ τὸ, Ἥμαρτόν σοι, Κύριε, συγχώρησόν μοι τῷ ἀσώτῳ. Εἶτα λέγει τὸ, Ὁ ἐν παντὶ καιρῷ· Τὴν τιμιωτέραν· Ἐν ὀνόματι Κυρίου εὐλόγησον. Πάτερ· καὶ τὴν Εὐχὴν, Δέσποτα, Θεὲ, Πάτερ Παντοκράτορ. Εἶτα Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· τὸ, Κύριε ἐλέησον, ιβ'. Τὴν τιμιωτέραν τῶν Χερουβίμ· Τῇ ὑπερμάχῳ στρατηγῷ.

Καὶ Ἀπόλυσις.

Καὶ εἰ μέν ἐστιν ἡ φαντασία ἐκ δαιμονικῆς ἐπηρείας, ποιεῖ ὁ Ἱερεὺς τὴν αὐτὴν διάταξιν, καὶ ἱερουργεῖ· ὁ δὲ λαϊκὸς μεταλαμβάνει. Εἰ δὲ ἐκ πολυποσίας γένηται, μὴ ἅπτου, κατὰ τὸν δ'. Κανόνα τοῦ Διονυσίου, καὶ κατὰ τὸν Μέγαν Ἀθανάσιον, ἐν τῇ πρὸς Ἀμμοῦν Ἐπιϛολῇ, καὶ κατὰ τὸν Μέγαν Βασίλειον ἐν τοῖς Ἀσκητικοῖς. Ζήτει ταῦτα εἰς τὸν Νόμον, εἰς τὸ Κ στοιχεῖον, ἐν Κεφαλαίῳ κή.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΧΗ

## ΕΠΙ ΤΟΙΣ ΑΠΟ ΕΧΘΡΑΣ ΕΙΡΗΝΕΥΟΥΣΙΝ.

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, τῷ Βασιλεῖ τῶν αἰώνων, καὶ δοτῆρι τῶν ἀγαθῶν, τῷ καθελόντι τὸ τῆς ἔχθρας μεσότοιχον, καὶ εἰρήνην βραβεύσαντι τῷ γένει τῶν ἀνθρώπων, τῷ δωρησαμένῳ καὶ νῦν εἰρήνην τοῖς δούλοις σου, (τοῖς δε). Ῥίζωσον ἐν αὐτοῖς τὸν φόβον σου, καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην βεβαίωσον· κατάσβεσον πᾶσαν ἔχθραν καὶ ἐριθείαν· περίελε πάντα τὰ τῆς διχοστασίας σκάνδαλα. Ὅτι σὺ εἶ ἡ εἰρήνη ἡμῶν καὶ καταφυγή, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΥΧΗ

## ΕΙΣ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΤΑ ΒΑΪΑ Τῌ ΚΥΡΙΑΚῌ ΤΩΝ ΒΑΪΩΝ.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ· ὁ ἐξεγείρας τὴν δυναστείαν, καὶ ἀποστείλας τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα σώσῃ τὸν κόσμον διὰ τοῦ Σταυροῦ, τῆς Ταφῆς, καὶ τῆς Ἀναστάσεως αὐτοῦ· οὗ παραγενομένου ἐν Ἱερουσαλὴμ ἐπὶ τὸ ἑκούσιον Πάθος, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει καὶ σκιᾷ θανάτου, λαβόντες τὰ τῆς νίκης σύμβολα, τοὺς κλάδους τῶν δένδρων, καὶ τὰ βαΐα τῶν φοινίκων, τὴν Ἀνάστασιν προεμήνυσαν· Αὐτός, Δέσποτα, καὶ ἡμᾶς, τοὺς κατὰ μίμησιν ἐκείνων τῇ προεορτίῳ ταύτῃ ἡμέρᾳ Βαΐα καὶ κλάδους δένδρων ἐν χερσὶ φέροντας, διατήρησον, καί, ὡς ἐκεῖνοι οἱ ὄχλοι καὶ οἱ Παῖδες, τό, Ὡ σ α ν ν ά σοι προσφέροντας, διαφύλαξον· ὅπως ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς καταξιωθῶμεν τῆς ζωοποιοῦ καὶ τριημέρου Ἀναστάσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΟΤΑΝ ΣΤΑΥΡΟΙ Ο ΙΕΡΕΥΣ ΠΑΘΟΣ ΝΟΣΗΜΑΤΟΣ ΜΕΤΑ ΤΗΣ ΑΓΙΑΣ ΛΟΓΧΗΣ.

Ἦχος ά.

Σταυρωθέντος σου Χριστὲ, ἀνῃρέθη ἡ τυραννὶς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ Ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ᾽ αὐτὸς ὁ Κύριος, ἔσωσας ἡμᾶς· δόξα σοι.

Δόξα. Ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς, ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου Αἵματι, τῷ Σταυρῷ προσηλωθεὶς, καὶ τῇ Λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις· Σωτὴρ ἡμῶν δόξα σοι.

Καὶ νῦν.

Λόγχῃ πλευρὰν, ὦ Χριστέ μου νυγεὶς σου, τὴν ἐκ πλευρᾶς ἀνθρωπίνης κτισθεῖσαν, ὀλέθρου πᾶσι βροτοῖς γεγονυῖαν πρόξενον, τῆς κατάρας ἠλευθέρωσας.

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΥΙΟΘΕΣΙΑΝ.

Ἵσταται ὁ μέλλων υἱοθετεῖσθαι ἔσωθεν τῶν πυλῶν τοῦ ἁγίου Θυσιαστηρίου, καὶ ὁ ἀνάδοχος ἔξωθεν, ἀμφότεροι κηροὺς κατέχοντες ἁπτομένους. Ὁ δὲ Ἱερεὺς, φορῶν τὴν ἱερατικὴν στολὴν, ποιεῖ Εὐλογητὸν, καὶ λέγει τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἡμέρας, καὶ τὸ Κοντάκιον τοῦ Ἁγίου τῆς Μονῆς. Εἶθ᾽ οὕτω τὴν παροῦσαν Εὐχήν·

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ ἠγαπημένου Παιδός σου, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, τέκνα Θεοῦ καλέσας ἡμᾶς, υἱοθεσίᾳ καὶ χάριτι τοῦ παντοδυνάμου καὶ Ἁγίου σου Πνεύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ματος· ὁ εἰπών· Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν· αὐτὸς, φιλάνθρωπε Βασιλεῦ, ἐπίβλεψον ἐξ ἁγίου σου κατοικητηρίου ἐπὶ τοὺς δούλους σου τούτους· καὶ οὓς ἡ φύσις κατὰ σάρκα διεστηκότας ἀλλήλων ἐγέννησε, τούτους αὐτὸς, ὡς πατέρα καὶ υἱὸν, ἕνωσον τῷ Ἁγίῳ σου Πνεύματι. Στήριξον αὐτοὺς ἐν τῇ ἀγάπῃ σου· σύνδεσον αὐτοὺς ἐν τῇ εὐλογίᾳ σου· εὐλόγησον αὐτοὺς ἐν τῇ δόξῃ σου· ἑδραίωσον αὐτοὺς ἐν τῇ πίστει σου, φυλάττειν διαπαντὸς καὶ μὴ ἀθετεῖν τὰ ἐκπορευόμενα ἐκ τῶν χειλέων αὐτῶν, καὶ γενοῦ μεσίτης τῆς αὐτῶν ὑποσχέσεως· ἵνα ἀδιάῤῥηκτον μέχρι τέλους ζωῆς αὐτῶν τὴν σχέσιν, ἣν ἐπὶ σοῦ ὡμολόγησαν, ἄψευστον διαφυλάττωσιν, ἐν σοὶ ζῶντες τῷ μόνῳ ζῶντι καὶ ἀληθινῷ Θεῷ ἡμῶν, καὶ ἀξίωσον αὐτοὺς κληρονόμους γενέσθαι τῆς Βασιλείας σου. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. (*).

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος· Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῆς κτίσεως πάσης δημιουργὸς, ὁ ἐν τῷ προπάτορι ἡμῶν Ἀδὰμ τὴν κατὰ σάρκα φυσικὴν δεσμεύσας συγγένειαν, ἐν δὲ Χριστῷ Ἰησοῦ, τῷ ἠγαπημένῳ Υἱῷ σου, καὶ κατὰ πάντα Δεσπότῃ, τῷ Δημιουργῷ καὶ Θεῷ ἡμῶν, χάριτι καὶ ἡμᾶς συγγενεῖς σου ἀναδείξας· σοὶ τῷ μόνῳ εἰδότι τὰ πάντα καὶ πρὶν γενέσθαι, οἱ δοῦλοί σου

(*) Μετὰ τὴν Εὐχὴν ταύτην, τὸ Χειρόγραφον ἔχει· «Καὶ εἰ μὲν ἐστι μικρὸν » παιδίον, ἐναγκαλίζεται αὐτό· εἰ δὲ ἐστι μέγα, σκεπάζει τῇ διπλοΐδι, καὶ ἐ» πιτίθησι τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτῷ, καὶ λέγει ὁ Ἱερεύς· Τοῦ Κυρίου δεηθῶ» μεν. Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ φυλάσσων τὰ νήπια, ὁ διατρέφων » αὐτὰ, καὶ εἰπὼν, ὡς ἀγαθός· Μὴ κωλύετε αὐτὰ ἔρχεσθαι πρός με· » τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν· αὐτὸς, Δέσπο» τα Κύριε, φύλαξον αὐτὸν, ὑποδεξάμενος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τῇ πνευ» ματικῇ σου κηδεμονίᾳ. Σκέπασον, καὶ ὁδήγησον αὐτοὺς τοῦ φυλάττειν καὶ » ποιεῖν τὰς ἐντολάς σου, ὅπως τύχωσι καὶ τῆς ἐπουρανίου σου βασιλείας. Ὅτι » ἡγίασταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ » Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ κ.τ.λ. — Εἶτα, Εἰρήνη πᾶσι. — » Τὰς κεφαλάς — Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῆς κτίσεως » κ.τ.λ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

οὗτοι τὰς ἑαυτῶν κεφαλὰς ὑποκλίνουσι, τῆς παρὰ σοῦ εὐλογίας δεόμενοι· καὶ τῷ ἐν σοὶ συνδέσμῳ εἰς πατέρα καὶ υἱὸν ἀλλήλους ἐπιγράφοντες, τύχοιεν ὧν ἐλπίζουσιν ἀγαθῶν· καὶ τὴν ἑαυτοῖς ὀφειλομένην διατηροῦντες κατάστασιν, γένοιτο καὶ τῆς ἐν σοὶ Υἱοθεσίας ἀξίως πολιτευομένους· ἵνα, ὡς ἐν πᾶσι, καὶ ἐν τούτῳ δοξάζηταί σου τὸ ὄνομα σοῦ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν (*).

Καὶ λαμβάνει ὁ πατὴρ τὸν υἱὸν ἐκ τοῦ Θυσιαστηρίου. Ὁ δὲ υἱὸς πίπτει εἰς τοὺς πόδας τοῦ πατρὸς, καὶ πατεῖ αὐτὸν ὁ πατὴρ εἰς τὸν τράχηλον, λέγων· Σήμερον υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· καὶ ἀνιστᾷ αὐτόν· εἶτα ἀσπάζονται ἀλλήλους· ὁ δὲ Ἱερεὺς ποιεῖ Ἀπόλυσιν, καὶ εὐλογεῖ αὐτοὺς, καὶ διδάσκει αὐτούς.

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΚΑΜΙΝΟΝ.

Ποιεῖ ὁ Ἱερεὺς Ἁγιασμόν· καὶ μετ' αὐτὸν, λέγει τὰς Εὐχὰς ταύτας (**).

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ αἰώνιος, ὁ τὴν ἑπταπλάσιον Κάμινον, καὶ τὴν φλόγα τὴν ἐν Βαβυλῶνι εἰς δρόσον μεταβαλὼν, καὶ τοὺς ἐν αὐτῇ ἐμβληθέντας ὑπὸ τοῦ βασιλέως Ναβουχοδονόσορ ἁγίους τρεῖς Παῖδας, Ἀνανίαν, Ἀζαρίαν, καὶ Μισαὴλ, σῴους αὐτοὺς διαφυλάξας· αὐτὸς εὐλόγησον καὶ τὴν Κάμινον ταύτην τῆς

(*) Μετὰ ταῦτα λέγει τὸ Χειρόγραφον· « Εἶθ' οὕτω γυρίζει αὐτὸν ὁ πατὴρ, » κρατῶν ἐκ τῶν μασχαλῶν αὐτοῦ· καὶ ὅταν γυρίσῃ αὐτὸν γ'., πίπτει ὁ υἱὸς » εἰς τοὺς πόδας αὐτοῦ τοῦ πατρός. Εἶτα ἀσπάζονται ἀλλήλους· ὁ δὲ Ἱερεὺς » ποιεῖ Ἀπόλυσιν ».

(**) « Ποιεῖ Εὐλογητὸν ὁ Ἱερεύς· Τρισάγιον, καὶ τὰ λοιπά· Τροπάριον καὶ » Κοντάκιον τῆς ἡμέρας· τὸ, Κύριε ἐλέησον ιβ'. ὁ Ν'. καὶ ἡ Ἀκολουθία τοῦ » Ἁγιασμοῦ· καὶ τὰς Εὐχὰς ταύτας ». Οὕτω τὸ Χειρόγραφον.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀσβέςου, διὰ τὸ μέγα σου ἔλεος· καὶ εὐλόγησον τὰ ἔργα τῶν χειρῶν τῶν δούλων σου, καὶ εὐόδωσον αὐτὰ ἐν τῇ ἀγαθοεργίᾳ σȣ· καὶ κατεύθυνον καὶ πλήθυνον αὐτὰ, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου· πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προςασίαις τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ, καὶ πασῶν τῶν ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἁγίου Ἱερομάρτυρος Κυπριανοῦ, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριςὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν· ὁ εὐλογήσας τὸν οἶκον Λάβαν ἐπὶ τῆς εἰσόδου τοῦ Ἰακὼβ, καὶ τὸν οἶκον Πεντεφρὶ ἐπὶ τῇ εἰσόδῳ τοῦ Ἰωσήφ· ὁ εὐλογήσας τὸν οἶκον Ἀμιναδὰβ (*) ἐπὶ τῆς εἰσόδου τῆς Κιβωτοῦ· ὁ διὰ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ σου, σωτηρία γενόμενος τῷ οἴκῳ Ζακχαίου· αὐτὸς, Κύριε, εὐλόγησον τὴν Κάμινον ταύτην, καὶ τοὺς ἐνεργοῦντας αὐτὴν τῷ σῷ φόβῳ διατήρησον, καὶ ἀβλαβεῖς αὐτοὺς ἀπὸ τῶν ἀντικειμένων διαφύλαξον, καὶ τὴν σὴν εὐλογίαν ἐξ ὕψους κατοικητηρίου σου κατάπεμψον αὐτοῖς, καὶ εὐλόγησον καὶ πλήθυνον τὰ ἔργα τῶν χειρῶν αὐτῶν· ἵνα πάντοτε εὐχαρίστως δοξάζωμεν τὸ πανάγιον ὄνομά σοῦ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίȣ Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει τὰς Αἰτήσεις.

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ

(*) Ἐν τῷ χειρογράφῳ, Ἀμεδράχ.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

δούλου τοῦ Θεοῦ (τοῦδε)· καὶ ὑπὲρ τοῦ εὐλογηθῆναι καὶ πληθυνθῆναι τὰ ἔργα τῶν χειρῶν τῶν κοπιώντων ἐν τῇ Καμίνῳ ταύτῃ, δεόμεθά σου, Κύριε· Ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς. Εἶτα·

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ῥαντίζει τὴν Κάμινον, καὶ τοὺς ὄντας ἐκεῖ, ἐκ τοῦ ἁγίου Ὕδατος, ψάλλων· Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε κτλ. Καὶ ποιεῖ Ἀπόλυσιν.

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΠΑΙΔΑΣ ΚΑΚΟΣΚΟΠΟΥΣ.

Εὐλογήσαντος τοῦ Ἱερέως, λέγομεν τὸ Τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστι.

Καὶ τὰ Τροπάρια ταυτα.

Ὡς ἐν μέσῳ τῶν Μαθητῶν σου παρεγένου Σωτὴρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ' ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Τοὺς ἀγραμμάτους Μαθητὰς, τὸ Πνεῦμά σου τὸ Ἅγιον, παιδευτὰς ἀνέδειξε, Χριστὲ ὁ Θεὸς, καὶ τῇ πολυφθόγγῳ ἁρμονίᾳ τῶν γλωσσῶν, τὴν πλάνην ἐμείωσεν, ὡς παντοδύναμον.

Γλώσσαις ἀλλογενῶν ἐκαινούργησας Χριστὲ, τοὺς σοὺς Μαθητὰς, ἵνα δι' αὐτῶν σὲ κηρύξωσι τὸν ἀθάνατον Λόγον καὶ Θεὸν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ, μὴ ἀςοχήσωμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶθ' ὕτω λέγει ὁ Ἱερεὺς τὰς Εὐχὰς ἐπὶ τῆς κεφαλῆς τῦ Παιδίυ.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, Ἰησοῦ Χριςὲ, ὁ Θεὸς ἡμῶν, ὁ ἐνοικήσας εἰς τὰς καρδίας τῶν δώδεκα Ἀποςόλων, ἀνυποκρίτως, διὰ τῆς χάριτος τοῦ παναγίου Πνεύματος, τοῦ κατελθόντος ἐν εἴδει πυρίνων γλωσσῶν, καὶ τούτων τὰ χείλη ἀνοίξας, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις· αὐτὸς, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ἐξαπόστειλον αὐτὸ τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐπὶ τὸ παρὸν Παιδίον (τὸ δεῖνα), καὶ ἐμφύτευσον εἰς τὰ ὦτα τῆς καρδίας αὐτοῦ τὰ ἱερὰ γράμματα, ἃ ἡ χείρ σου ἡ ἄχραντος ἐν πλαξὶ διεχάραξε τῷ νομοθέτῃ Μωσῇ· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΤΕΡΑ.

Κύριε, Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ ἐνοικήσας, καὶ φωτίσας τὰς καρδίας τῶν εἰκοσιτεσσάρων Πρεσβυτέρων, καὶ τῶν ἁγίων σου Μαθητῶν καὶ Ἀποστόλων, καὶ τῶν ἁγίων Ἀποςόλων καὶ Εὐαγγελιστῶν σου Ἰωάννου, Ματθαίου, Μάρκου, καὶ Λουκᾶ· ὁ ὑπομνήσας καὶ φωτίσας τὸν ἅγιον Πρωτομάρτυρα Στέφανον· αὐτὸς καὶ νῦν, Κύριε, φώτισον τὴν καρδίαν τοῦ δούλου σου (δεῖνος)· πρεσβείαις τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένυ Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· τῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἁγίου Ἀποστόλου Ματθία· τῶν ἁγίων Μαρτύρων, Ἀγαπητοῦ, Προκοπίου, Φιλητοῦ, καὶ πάντων τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη

ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου Θεοῦ. Ἀμήν.

---

# ΕΥΧΗ

## ΟΤΑΝ ΑΠΕΡΧΗΤΑΙ ΠΑΙΔΙΟΝ ΜΑΝΘΑΝΕΙΝ ΤΑ ΙΕΡΑ ΓΡΑΜΜΑΤΑ.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ εἰκόνι τιμήσας ἡμᾶς τοὺς ἀνθρώπους, καὶ αὐτεξουσίῳ περιβαλὼν θελήματι· ὁ ἐν τῷ Ναῷ εἰσελθὼν μεσούσης τῆς Ἑορτῆς, καὶ διδάσκων τὸν λαὸν, θαυμαζόντων δὲ τῶν λαῶν, καὶ λεγόντων· Πόθεν οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς; Δαυῒδ δέ· Δεῦτε τέκνα φωτίσασθε, λέγει, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς (*)· ὁ τὸν Σολομῶντα σοφίαν διδάξας, Θεὲ τῶν ὅλων, Λόγε παντάναξ, ἄνοιξον τὴν ψυχὴν, καὶ τὴν καρδίαν, τὸ στόμα, καὶ τὴν διάνοιαν τοῦ δούλου σου (τοῦδε), εἰς τὸ συνιέναι, καὶ δέξασθαι, καὶ ποιεῖν τὸ θέλημά σου· καὶ λύτρωσαι αὐτὸν ἀπὸ πάσης ἐπηρείας τοῦ διαβόλου, τηρῶν αὐτὸν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, καὶ προκόπτοντα ἐν πάσαις ταῖς ἐντολαῖς σου διαπαντός· πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ ἐπίσκοπος τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Ἁγίῳ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(*) Πρὸς διόρθωσιν τῆς ἀσυντάκτου ταύτης περιόδου, μετάθηθι ἀπὸ τοῦ, μεμαθηκὼς εἰς τὸ, ὁ τὸν Σολομῶντα· τὰ γὰρ μεταξὺ τούτων δῆλον ὅτι παρενεγράφησαν ὑφ' ἑτέρας χειρός. Ἡ δὲ παροῦσα Εὐχὴ λείπει ἐκ τοῦ Χειρογράφου.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠ. ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ Τῌ ΑΓΙᾼ ΚΑΙ ΜΕΓΑΛῌ ΠΕΜΠΤῌ.

Εὐλόγησον, Δέσποτα.

Ἀγαπητοί μοι ἀδελφοὶ καὶ παμπόθητοι, οἱ συναθροισθέντες ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ, πρὸς τὸ λατρεῦσαι Θεῷ ζῶντι ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καὶ τῶν ἁγίων, ἀχράντων καὶ ἀθανάτων, φρικτῶν Μυστηρίων τοῦ Χριστοῦ μετὰ φόβου μετασχεῖν, ἀκούσατε ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀναξίου. Οὐ γὰρ ἐγώ εἰμι ὁ λαλῶν καὶ ὁ διδάσκων ὑμᾶς, ἀλλ' ἡ χάρις τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος. Οὐ γὰρ ἀπ' ἐμαυτοῦ λαλῶ, ἀλλ' ὡς ἐδιδάχθην παρὰ τῶν θείων Κανόνων, καὶ Θεοφόρων Πατέρων, καὶ ὡς παρέλαβεν ἡ Ἐκκλησία παρὰ τῶν θεοσόφων καὶ θείων Ἀποστόλων· οὕτω δὴ αὐτός φημι ἐγὼ, ὁ ταπεινὸς καὶ πάντων ἐλαχιστότερος. Τὰς πράξεις ὑμῶν οὐ γινώσκω, τὰ ἐπιτηδεύματα ἀγνοῶ· καὶ διὰ τοῦτο τῷ τοῦ Θεοῦ φόβῳ βαλλόμενος, παραγγέλλω ἑνὶ ἑκάστῳ ὑμῶν, ἀνδράσι τε καὶ γυναιξὶ, μικροῖς τε καὶ μεγάλοις· Μηδεὶς ἐξ ὑμῶν, ἔνοχος ἁμαρτίας ὑπάρχων, ὑπὸ τῆς ἰδίας κατηγορούμενος συνειδήσεως, πρὶν μετανοῆσαι καὶ ἐξομολογήσασθαι, τολμήσῃ καταφρονητικῶς προσελθεῖν, καὶ ἅψασθαι τοῦ θείου τούτου Πυρός· ὁ γὰρ Θεὸς ἡμῶν, πῦρ καταναλίσκον ἐστί· καὶ τοὺς μὲν ἐκ πίστεως καὶ φόβου προσερχομένους, ὡς Θεῷ καὶ Βασιλεῖ καὶ Κριτῇ πάντων ἡμῶν, φλογίζει καὶ κατακαίει τὰς ἁμαρτίας αὐτῶν, τὰς δὲ ψυχὰς φωτίζει καὶ ἁγιάζει· τοὺς δὲ ἀπίστους καὶ μετὰ ἀναισχυντίας προσερχομένους, φλογίζει καὶ κατακαίει τὰς ψυχὰς αὐτῶν καὶ τὰ σώματα. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι κοιμῶνται, τουτέστιν, ἀποθνήσκουσι πολλοὶ ἀνεξαγόρευτοι καὶ ἀμετανόητοι. Καὶ λοιπὸν, ἀδελφοί μου, παρακαλῶ ὑμᾶς, καὶ λέγω· Μηδεὶς ὀμνύων, ἢ ἐπίορκος, ἢ ψεύστης, ἢ κατάλαλος, ἢ πόρνος, ἢ μοιχὸς, ἢ ἀρσενοκοίτης, ἢ ἅρπαξ, ἢ μέθυσος, ἢ λοίδορος, ἢ μῖσος

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη

ἔχων κατὰ τοῦ ἀδελφοῦ, ἢ φόνον πεποιηκὼς, ἢ μάγος, ἢ γόης, ἢ φαρμακὸς, ἢ ἐπαοιδὸς, ἢ μάντις, ἢ λῃστὴς, ἢ Μανιχαῖος, ἀνεξαγόρευτος καὶ ἀνέτοιμος προσέλθῃ, τῶν φρικτῶν τοῦ Χριστοῦ Μυστηρίων ἢ ἅψασθαι, ἢ προσεγγίσαι· φοβερὸν γὰρ τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· τομώτερος γάρ ἐστι ὁ λόγος τοῦ Θεοῦ ὑπὲρ μάχαιραν δίστομον, διϊκνούμενος μέχρις ἁρμονιῶν, καὶ μυελῶν, καὶ ὀξέων, καὶ ἐννοιῶν, καὶ καρδιῶν. Βλέπετε οὖν, ἀδελφοί μου, μηδεὶς ἀμεταμέλητος, ἢ ἀνέτοιμος, ἢ ἀνάξιος προσελθὼν, μεταλάβῃ τῶν φοβερῶν καὶ ἀχράντων αὐτοῦ Μυστηρίων· αὐτὸς γάρ φησιν· Ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ· ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω· καὶ οὐκ ἔστιν, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου· αὐτὸς γάρ ἐστιν ὁ Βασιλεὺς τῶν αἰώνων· αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

## ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, ΛΟΓΟΣ ΚΑΤΗΧΗΤΙΚΟΣ Τῌ ΑΓΙᾼ ΚΑΙ ΜΕΓΑΛῌ ΚΥΡΙΑΚῌ ΤΟΥ ΠΑΣΧΑ.

Εὐλόγησον, Δέσποτα.

Εἴτις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω ταύτης τῆς καλῆς καὶ φαιδρᾶς πανηγύρεως. Εἴτις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτοῦ. Εἴτις ἔκαμε νηστεύων, ἀπολαυέτω νῦν τὸ δηνάριον. Εἴτις ἀπὸ τῆς πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. Εἴτις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτασάτω. Εἴτις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλέτω· καὶ γὰρ οὐδὲν ζημιοῦται. Εἴτις ὑστέρησεν εἰς τὴν ἐννάτην, προσελθέτω, μηδὲν ἐνδοιάζων. Εἴτις εἰς μόνην ἔφθασε τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδύτητα· φιλότιμος γὰρ ὢν ὁ Δεσπότης, δέχεται τὸν ἔσχατον, καθάπερ καὶ τὸν πρῶτον· ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης· καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι, καὶ τούτῳ


ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

χαρίζεται· καὶ τὰ ἔργα δέχεται, καὶ τὴν γνώμην ἀσπάζεται· καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ. Οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν· καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολαύετε. Πλούσιοι καὶ πένητες, μετ' ἀλλήλων χορεύσατε. Ἐγκρατεῖς καὶ ῥάθυμοι, τὴν ἡμέραν τιμήσατε. Νηστεύσαντες, καὶ μὴ νηστεύσαντες, εὐφράνθητε σήμερον. Ἡ τράπεζα γέμει, τρυφήσατε πάντες. Ὁ μόσχος πολὺς, μηδεὶς ἐξέλθῃ πεινῶν. Πάντες ἀπολαύετε τοῦ συμποσίου τῆς πίστεως. Πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. Μηδεὶς θρηνείτω πενίαν· ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία. Μηδεὶς ὀδυρέσθω πταίσματα· συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλε. Μηδεὶς φοβείσθω θάνατον· ἠλευθέρωσε γὰρ ἡμᾶς ὁ τοῦ Σωτῆρος θάνατος. Ἔσβεσεν αὐτὸν, ὑπ' αὐτοῦ κατεχόμενος. Ἐσκύλευσε τὸν ᾅδην, ὁ κατελθὼν εἰς τὸν ᾅδην. Ἐπίκρανεν αὐτὸν, γευσάμενον τῆς σαρκὸς αὐτοῦ· καὶ τοῦτο προλαβὼν Ἡσαΐας, ἐβόησεν· Ὁ ᾅ δ η ς, φησὶν, ἐ π ι κ ρ ά ν θ η, σ υ ν α ν τ ή σ α ς σ ο ι κ ά τ ω. Ἐπικράνθη, καὶ γὰρ κατηργήθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεκρώθη. Ἐπικράνθη, καὶ γὰρ καθῃρέθη. Ἐπικράνθη, καὶ γὰρ ἐδεσμεύθη. Ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν. Ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανῷ. Ἔλαβεν, ὅπερ ἔβλεπε, καὶ πέπτωκεν, ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; Ἀνέστη Χριστὸς, καὶ σὺ καταβέβλησαι. Ἀνέστη Χριστὸς, καὶ πεπτώκασι δαίμονες. Ἀνέστη Χριστὸς, καὶ χαίρουσιν Ἄγγελοι. Ἀνέστη Χριστὸς, καὶ ζωὴ πολιτεύεται. Ἀνέστη Χριστὸς, καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ, ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΠΟΣΤΟΛΟΙ ΚΑΙ ΕΥΑΓΓΕΛΙΑ

ΤΩΝ ΤΟΥ ΟΛΟΥ ΕΝΙΑΥΤΟΥ ΔΕΣΠΟΤΙΚΩΝ ΚΑΙ ΘΕΟΜΗΤΟΡΙΚΩΝ ΕΟΡΤΩΝ, ΚΑΙ ΤΙΝΩΝ ΕΟΡΤΑΖΟΜΕΝΩΝ ΑΓΙΩΝ ΚΑΙ ΑΛΛΩΝ ΤΙΝΩΝ.

## ΜΗΝ ΣΕΠΤΕΜΒΡΙΟΣ.

### ΤΗ Η'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τὸ Γενέθλιον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. α'. 39.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος γ΄.

Μεγαλύνει, ἡ ψυχή μου, τὸν Κύριον.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Ὁ Ἀπόστολος.

Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου.

Κεφ. β΄. 5.

Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός.

Ἀλληλούϊα, Ἦχος πλ. β΄.

Ἄκουσον, θύγατερ, καὶ ἴδε.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. ι΄. 38.

Τῷ καιρῷ, ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά· γυνὴ δέ τις, ὀνόματι Μάρθα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφή, καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τῶν λόγων αὐτοῦ· ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δέ, εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς, καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

Διακ. ια. 27. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε· Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

Κοινωνικόν. Ποτήριον σωτηρίου λήψομαι.



## ΤΗ ΙΔ΄. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Ἡ παγκόσμιος Ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ιβ΄. 28.

Εἶπεν ὁ Κύριος· Πάτερ, δόξασόν σου τὸ ὄνομα. Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε βροντὴν γεγονέναι. Ἄλλοι ἔλεγον· Ἄγγελος αὐτῷ λελάληκεν. Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν· Οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· κἀγώ, ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. (Τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν). Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, ὅτι δεῖ ὑψωθῆναι τὸν Υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ Υἱὸς τοῦ ἀνθρώπου; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε, ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος βαρύς.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους α΄. Ἐπιστολῆς Παύλου.

Κεφ. α΄. 18.

Ἀδελφοί, ὁ λόγος ὁ τοῦ Σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι. Γέγραπται γάρ· Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. Ποῦ σοφός; Ποῦ γραμματεύς; Ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ, οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεὸν, εὐδόκησεν ὁ Θεὸς, διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριςὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν· αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν.

Ἀλληλούϊα. Ἦχος α΄.

Μνήσθητι τῆς συναγωγῆς του, ἧς ἐκτήσω ἀπ᾿ ἀρχῆς.

Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. ιθ΄. 6.

Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἐποίησαν οἱ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν ἀπολέσωσι. Καὶ παρεγένοντο πρὸς Πιλάτον, λέγοντες· Σταύρωσον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν Υἱὸν τοῦ Θεοῦ ἐποίησεν. Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη. Καὶ εἰσῆλθεν εἰς τὸ Πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σύρου

ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί
σε; Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐ-
μοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν. Ὁ οὖν Πιλάτος ἀκούσας Διακ. στίχ. 13.
τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ
τοῦ βήματος, εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ
Γαββαθᾶ. Ἦν δὲ Παρασκευὴ τοῦ Πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη·
καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε ὁ Βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύ-
γασαν· Ἆρον, ἆρον, ςαύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος·
Τὸν Βασιλέα ὑμῶν ςαυρώσω; Ἀπεκρίθησαν οἱ Ἀρχιερεῖς· Οὐκ
ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. Τότε οὖν παρέδωκε αὐτὸν
αὐτοῖς, ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ἰησοῦν, καὶ ἀπήγα-
γον. Καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ, ἐξῆλθεν εἰς τὸν λεγό-
μενον Κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστὶ, Γολγοθᾶ· ὅπου
αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύω, ἐντεῦθεν καὶ
ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησῦν. Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλά-
τος, καὶ ἔθηκεν ἐπὶ τῦ Σταυρῦ. Ἦν δὲ γεγραμμένον· Ἰησοῦς
ὁ Ναζωραῖος ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Τοῦτον οὖν
τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν ὁ
τόπος τῆς πόλεως, ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμ-
μένον Ἑβραϊστὶ, Ἑλληνιστὶ, Ῥωμαϊστί. Εἱστήκεισαν δὲ παρὰ Διακ. στίχ. 25.
τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ Ἀδελφὴ τῆς Μη-
τρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή.
Ἰησοῦς οὖν ἰδὼν τὴν Μητέρα, καὶ τὸν Μαθητὴν παρεστῶτα, ὃν
ἠγάπα, λέγει τῇ Μητρὶ αὐτοῦ· Γύναι, ἰδοὺ ὁ Υἱός σου. Εἶτα
λέγει τῷ Μαθητῇ· Ἰδοὺ ἡ Μήτηρ σῦ. Καὶ ἀπ' ἐκείνης, τῆς ὥρας
ἔλαβεν ὁ Μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Μετὰ τῦτο εἰδὼς ὁ Ἰησοῦς,
ὅτι πάντα ἤδη τετέλεσται, κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ
πνεῦμα. Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ Διακ. στίχ. 30.
σώματα ἐν τῷ Σαββάτῳ, ἐπεὶ Παρασκευὴ ἦν, (ἦν γὰρ μεγάλη
ἡ ἡμέρα ἐκείνη τοῦ Σαββάτου), ἠρώτησαν τὸν Πιλάτον, ἵνα
κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ ςρα-
τιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλ-
λου τοῦ συσταυρωθέντος αὐτῷ. Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες,
ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη·
ἀλλ' εἷς τῶν ςρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Κοινωνικ. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

## Τῌ͂ ΚϚ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Ἡ Μετάστασις τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ. Ζήτει Εὐαγγέλιον Ἑωθινὸν ΙΑ'.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον, Ἦχος δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ὁ Ἀπόστολος.

Καθολικῆς α'. Ἐπιστολῆς Ἰωάννου.

Κεφ. δ'. 12.

Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα, καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν αὐτοῦ Σωτῆρα τοῦ κόσμου. Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸν ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ. Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον· ὅτι ὁ φόβος κόλασιν ἔχει· ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. Ἡμεῖς ἀγαπῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς.

Ἀλληλουϊα. Ἦχος α'.

Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου.

Στίχ. Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ Ἁγίων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. ιθ΄. 25.

Τῷ καιρῷ ἐκείνῳ, εἱστείκεισαν παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ Ἀδελφὴ τῆς Μητρὸς, αὐτȣ͂, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς οὖν ἰδὼν τὴν Μητέρα, καὶ τὸν Μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ Μητρὶ αὐτοῦ· Γύναι, ἰδοὺ ὁ υἱός σου. Εἶτα λέγει τῷ Μαθητῇ· Ἰδοὺ ἡ Μήτηρ σου. Καὶ ἀπ᾽ ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ Μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Οὗτός ἐστιν ὁ Μαθητὴς ὁ μαρτυρῶν περὶ τȣ́των, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν, ὅτι ἀληθής ἐςιν ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλὰ, ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ᾽ ἓν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

# ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ.

## ΤΗ ΚϚ΄. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τοῦ ἁγίου Μεγαλομάρτυρος Δημητρίου, τοῦ Μυροβλήτου.

### ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεὸς, τῆς φωνῆς μου.

Ὁ Ἀπόστολος.

Πρὸς Τιμόθεον β΄. Ἐπιστολῆς Παύλου.
Κεφ. β΄. 1.

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ· καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς ςρατιώτης Ἰησοῦ Χριςοῦ. Οὐδεὶς ςρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυῒδ κατὰ τὸ εὐαγγέλιόν μου· ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου.

Ἀλληλούϊα, Ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ιε'. 17.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου· διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ· εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν, καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν· Ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, (τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται,) ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε· ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ᾽ ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ.

## ΤΗ Α΄. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τῶν ἁγίων καὶ Θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος δ΄.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Στίχ. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους α΄. Ἐπιστολῆς Παύλου.

Κεφ. ιβ΄. 27.

Ἀδελφοί, ὑμεῖς ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους. Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον Ἀποστόλους, δεύτερον Προφήτας, τρίτον Διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν· μὴ πάντες, Ἀπόστολοι; μὴ πάντες, Προφῆται; μὴ πάντες, Διδάσκαλοι; μὴ πάντες, δυνάμεις; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι; Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. Ἐὰν ταῖς Κεφ. ιγ΄. 1.
γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν Ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίζω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

στεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. Ἀλληλούϊα. Ἦχος β'.

Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν;

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ί. 1.

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥςε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν

Διακ. 5. νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες· Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.

## ΤΗ Η'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Ἡ Σύναξις τοῦ Ἀρχιστρατήγου Μιχαὴλ, καὶ τῶν λοιπῶν Ἀσωμάτων Δυνάμεων.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος δ'.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Κεφ. β'. 2.

Ἀδελφοί, εἰ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν· πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου ὑπὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σιάτιστας

τῶν ἀκυσάντων εἰς ἡμᾶς ἐβεβαιώθη· συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος Ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν. Οὐ γὰρ Ἀγγέλοις ὑπέταξε τὴν οἰκυμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. Διεμαρτύρατο δέ που τὶς, λέγων· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλυς· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέςησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. Τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον· ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου· ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν διὰ παθημάτων τελειῶσαι.

Ἀλληλούϊα. Ἦχος β'.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

Στίχ. Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. ι'. 16.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέςρεψαν δὲ οἱ Ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν Σατανᾶν, ὡς ἀστραπὴν, ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδού, δίδωμι ὑμῖν τὴν ἐξουσίαν, τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε, δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, Πάτερ,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

Κοινωνικόν.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

## ΤΗ ΙΓ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

### Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος α'.

Τὸ στόμα μου λαλήσει σοφίαν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Κεφ. ζ'. 26.

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος· ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ Ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν Ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν Ἁγίων λειτουργός, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

Ἀλληλούϊα. Ἦχος β'.

Στόμα δικαίου ἀποστάζει σοφίαν.

Στίχ. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. ί. 9.

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται· καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται, εἰμὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὑτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Ὁ μισθωτὸς δὲ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐςι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα· καὶ τὴν ψυχήν μȣ τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν· καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

## ΤΗ ΚΑ΄. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Ἡ ἐν τῷ Ναῷ Εἴσοδος τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ. Ζήτει τὸ Εὐαγγ. τῇ Η΄. τοῦ Σεπτεμβρ.

### ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος γ΄.

Μεγαλύνει, ἡ ψυχή μου, τὸν Κύριον.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τὴν δούλης αὐτοῦ.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Κεφ. θ΄. 1.

Ἀδελφοὶ, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό,τε ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἥ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ Ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες· εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ Ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Ἀλληλούϊα. Ἦχος πλ. δ'.

Ἄκουσον, Θύγατερ, καὶ ἴδε.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά.

(Ζήτει ὡσαύτως τῇ ή. τοῦ Σεπτεμβρίου).

Κοινωνικόν.

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

## ΤΗ Λ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τοῦ ἁγίου, ἐνδόξου, καὶ πανευφήμου Ἀποστόλου Ἀνδρέου, τοῦ Πρωτοκλήτου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. δ'. 18.

Τῷ καιρῷ ἐκείνῳ, περιπατῶν ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύω ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰ τὴν θάλασσαν· (ἦσαν γὰρ ἁλιεῖς)· καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλȣς δύω ἀδελφοὺς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τȣ͂ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν· καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον, καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους α'. Ἐπιστολῆς Παύλου.

Κεφ. δ'. 9.

Ἀδελφοὶ, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποςόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ Ἀγγέλοις καὶ ἀνθρώποις. Ἡμεῖς μωροὶ διὰ Χριστὸν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριςῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀςατȣ͂μεν, καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλȣ͂μεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μȣ ἀγαπητὰ νȣθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγȣ̀ς ἔχητε ἐν Χριςῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριςῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε. Ἀλληλούϊα. Ἦχος β'.

Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου.

Στιχ. Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ Ἁγίων.

Εὐαγγελιον, ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. α'. 35.

Τῷ καιρῷ ἐκείνῳ, εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

γει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς· Τί ζητεῖτε; Οἱ δὲ εἶπον αὐτῷ· Ῥαββί, (ὃ λέγεται ἑρμηνευόμενον, Διδάσκαλε), ποῦ μένεις; Λέγει αὐτοῖς· Ἔρχεσθε, καὶ ἴδετε. Ἦλθον καὶ εἶδον ποῦ μένει· καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα δὲ ἦν ὡς δεκάτη. Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ. Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον, ὁ Χριστός· καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε· Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. Τῇ ἐπαύριον, ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι. Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. Εὑρίσκει Φίλιππος τὸν Ναθαναήλ, καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ Προφῆται, εὑρήκαμεν Ἰησοῦν, τὸν υἱὸν τοῦ Ἰωσήφ, τὸν ἀπὸ Ναζαρέτ. Καὶ εἶπεν αὐτῷ Ναθαναήλ· ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ ἴδε. Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. Ἀπεκρίθη Ναθαναήλ, καὶ λέγει αὐτῷ· Ῥαββί, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ Βασιλεὺς τοῦ Ἰσραήλ. Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι· Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει. Καὶ λέγει αὐτῷ· Ἀμὴν λέγω ὑμῖν· Ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς Ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας, καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου.

### Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ.

## ΤΗ͂ Ε'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τοῦ ὁσίȣ καὶ θεοφόρȣ Πατρὸς ἡμῶν Σάββα, τȣ͂ Ἡγιασμένου.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Ἀπόστολον, καὶ Εὐαγγέλιον, ζήτει εἰς τὴν μνήμην τοῦ Μεγάλȣ Ἀντωνίου, τῇ ΙΖ'. τοῦ Ἰανουαρίου Μηνός.

## ΤΗ͂ ϛ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, Ἐπισκόπου Μύρων τῆς Λυκίας, τοῦ Θαυματουργοῦ. (Ζήτει ὁμοίως).

## ΤΗ͂ ΚΔ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Παραμονὴ τῆς Χριστοῦ Γεννήσεως.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Προκείμενον. Ἦχος α'.

Κύριος εἶπε πρός με· Υἱός μȣ εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.
Στίχ. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Κεφ. α'. 1.

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς Προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς· τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

γέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν Ἀγγέλων· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε; Καὶ πάλιν· Ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν; Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ. Καὶ πρὸς μὲν τοὺς Ἀγγέλους λέγει· Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν Υἱόν· Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Καί· Σὺ καταρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται· καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Πρὸς τίνα δὲ τῶν Ἀγγέλων εἴρηκέ ποτε· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλό-
Κεφ. β'. 1. μενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραῤῥυῶμεν. Εἰ γὰρ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν· πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη.

Ἀλληλούϊα. Ἦχος πλ. δ'.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου.

Στίχ. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.

Στίχ. Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. β'. 1.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. (Αὕτη ἡ ἀπογραφὴ, πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου). Καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲτ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαυῒδ, ἥτις καλεῖται Βηθλεὲμ, (διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυῒδ), ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ, οὔσῃ ἐγκύῳ. Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. Καὶ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ· διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι. Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. Καὶ ἰδοὺ, Ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς· καὶ ἐφοβήθησαν φόβον μέγαν. Καὶ εἶπεν αὐτοῖς ὁ Ἄγγελος· Μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ. Ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαυῒδ. Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· Εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν τῇ φάτνῃ. Καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ Ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου, αἰνούντων τὸν Θεὸν, καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Καὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ Ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ Ποιμένες εἶπον πρὸς ἀλλήλους· Διέλθωμεν δὴ ἕως Βηθλεὲμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν. Καὶ ἦλθον σπεύσαντες, καὶ ἀνεῦρον τήν τε Μαριὰμ, καὶ τὸν Ἰωσὴφ, καὶ τὸ Βρέφος κείμενον ἐν τῇ φάτνῃ. Ἰδόντες δὲ, διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ Παιδίου τούτου. Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ὑπέστρεψαν οἱ Ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

## ΤΗ ΚΕ΄. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

*Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.*

### ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.
Κεφ. α΄. 18.

Τοῦ Ἰησοῦ Χριστοῦ ἡ Γέννησις οὕτως ἦν· Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος Ἁγίου. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὤν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδού, Ἄγγελος Κυρίου κατ᾽ ὄναρ ἐφάνη αὐτῷ, λέγων· Ἰωσὴφ υἱὸς Δαυΐδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου· τέξεται δὲ Υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. (Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ Προφήτου, λέγοντος· Ἰδού, ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον, μεθ᾽ ἡμῶν ὁ Θεός). Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ Ἄγγελος Κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ. Καὶ οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

### ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος πλ. δ΄.

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι.

Στίχ. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## Ὁ Ἀπόστολος.

### Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου.

Κεφ. δ'. 4.

Ἀδελφοί, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον· ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· Ἀββᾶ, ὁ Πατήρ. Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλ' υἱός· εἰ δὲ υἱὸς καὶ κληρονόμος Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ.

Ἀλληλούϊα. Ἦχος α'.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Στίχ. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα.

### Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. β'. 1.

Τοῦ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδού, Μάγοι ἀπὸ Ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες· Ποῦ ἐστιν ὁ τεχθεὶς Βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ Ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. Ἀκούσας δὲ Ἡρώδης ὁ βασιλεὺς ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ. Καὶ συναγαγὼν πάντας τοὺς Ἀρχιερεῖς καὶ Γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται; Οἱ δὲ εἶπον αὐτῷ· Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· οὕτω γὰρ γέγραπται διὰ τοῦ Προφήτου· Καὶ σὺ Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται Ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. Τότε Ἡρώδης λάθρα καλέσας τοὺς Μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος. Καὶ πέμψας αὐτοὺς εἰς Βηθλεέμ, εἶπε· Πορευθέντες, ἀκριβῶς ἐξετάσατε περὶ τοῦ Παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. Οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως, ἐπορεύθησαν· καὶ ἰδού, ὁ ἀστήρ, ὃν εἶδον ἐν τῇ Ἀνατολῇ, προῆγεν αὐτούς ἕως ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ Παιδίον. Ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εὗρον τὸ Παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ· καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

πεσόντες προσεκύνησαν αὐτῷ· καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν. Καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

Κοινωνικόν. Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ.

# ΜΗΝ ΙΑΝΟΥΑΡΙΟΣ.

## ΤΗ Α'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Ἡ κατὰ σάρκα Περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου Καισαρείας Καππαδοκίας, τοῦ Μεγάλου.

### ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ. (Ζήτει Νοεμβρίου ΙΓ'. σελ. 623.)

### ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος α'.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Ὁ Ἀπόστολος.

Πρὸς Κολοσσαεῖς Ἐπιστολῆς Παύλου.

Κεφ. β'. 8.

Ἀδελφοί, βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, καὶ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν· ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας· ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ· συνταφέν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σύρου

τες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως καὶ τῆς ἐνεργείας τοῦ Θεοῦ, τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν. Ἀλληλούϊα. Ἦχος πλ. δ'.

Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. β'. 20.

Τῷ καιρῷ ἐκείνῳ, ὑπέστρεψαν οἱ Ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς. Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ Παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ Ἀγγέλου, πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. Τὸ δὲ Παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας· καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ. Καὶ ἐπορεύοντο οἱ Γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ Πάσχα. Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς· καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ· καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ Μήτηρ αὐτοῦ. Νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδόν· καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι, καὶ ἐν τοῖς γνωστοῖς· καὶ μὴ εὑρόντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, ζητοῦντες αὐτόν. Καὶ ἐγένετο, μεθ' ἡμέρας τρεῖς, εὗρον αὐτὸν ἐν τῷ Ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν Διδασκάλων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. Καὶ ἰδόντες αὐτὸν, ἐξεπλάγησαν· καὶ πρὸς αὐτὸν ἡ Μήτηρ αὐτοῦ εἶπε· Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ Πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. Καὶ εἶπε πρὸς αὐτούς· Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με; Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα, ὃ ἐλάλησεν αὐτοῖς. Καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ· καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. Ἡ δὲ Μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΤΗ ϛ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρέτ.

(Ζήτει εἰς τὸν Μέγαν Ἁγιασμόν, σελ. 344.)

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος δ'.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός.

Ὁ Ἀπόστολος.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. β'. 11.

Τέκνον Τίτε, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν
ἀνθρώποις· παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέ-
βειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως
καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμενοι τὴν μα-
καρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ,
καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡ-
μῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ
Κεφ. γ'. 4. ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. Ὅτε δὲ ἡ χρη-
στότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ,
οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ
κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενε-
σίας καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου· οὗ ἐξέχεεν ἐφ' ἡ-
μᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν· ἵνα δι-
καιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ' ἐλ-
πίδα ζωῆς αἰωνίου.

Ἀλληλούϊα. Ἦχος α'.

Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ.

Στίχ. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.



Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. γ'. 13.

Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτȣ̃. Ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτόν, λέγων· Ἐγὼ χρείαν ἔχω ὑπὸ σȣ̃ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν· Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐςὶν ἡμῖν, πληρῶσαι πᾶσαν δικαιοσύνην. Τότε ἀφίησιν αὐτόν. Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς, ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδού, ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστεράν, καὶ ἐρχόμενον ἐπ' αὐτόν. Καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.

Κοινωνικόν.

Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις.

## ΤΗ ΙΖ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τȣ̃ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Ἀντωνίου, τοῦ Μεγάλου.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Κεφ. ιγ'. 17.

Ἀδελφοί, πείθεσθε τοῖς ἡγȣμένοις ἡμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γάρ, ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι. Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μέγαν ἐν αἵματι διαθήκης αἰωνίε, τὸν Κύριον Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ· ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα. Ἦχος β'.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Στίχ. Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. ς'. 17.

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ, ἀπὸ πάσης τῆς Ἰεδαίας, καὶ Ἰερουσαλήμ, καὶ τῆς παραλίου Τύρε καὶ Σιδῶνος· οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων· καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ· ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς Μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐςε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τῦ Υἱῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ σκιρτήσατε· ἰδοὺ γάρ, ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

---

## ΤΗ Λ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Κεφ. ιγʹ. 7.

Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις, καὶ ξέναις μὴ περιφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ Ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ, τουτέστι καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

Ἀλληλούϊα. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. εʹ. 14.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ἡμῶν, τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς Προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.

# ΜΗΝ ΦΕΒΡΟΥΑΡΙΟΣ.

## ΤΗ Β'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

### Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. β'. 25.

Τῷ καιρῷ ἐκείνῳ, ἦν ἄνθρωπος ἐν Ἱερουσαλὴμ, ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ· καὶ Πνεῦμα Ἅγιον ἦν ἐπ' αὐτόν. Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου, μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριςὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ Ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς Γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεὸν, καὶ εἶπε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος γ'.

Μεγαλύνει, ἡ ψυχή μου, τὸν Κύριον.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου. Κεφ. ζ'. 7.

Ἀδελφοί, χωρὶς πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δὲ, μαρτυρούμενος ὅτι ζῇ. Καὶ (ὡς ἔπος εἰπεῖν) διὰ Ἀβραὰμ καὶ Λευῒ ὁ δεκάτας λαμ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

βάνων δεδεκάτωται· ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ Πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ. Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, (ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο)· τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. Πρόδηλον γὰρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν· εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε. Καὶ περισσότερον ἔτι κατάδηλόν ἐςιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίςαται Ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου· μαρτυρεῖ γάρ· Ὅτι σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Ἀλληλούϊα. Ἦχος δ'.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα.

Στίχ. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. β'. 22.

Τῷ καιρῷ ἐκείνῳ, ἀνήγαγον οἱ Γονεῖς τὸ παιδίον Ἰησοῦν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ Κυρίῳ, (καθὼς γέγραπται ἐν νόμῳ Κυρίȣ· Ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται)· καὶ τοῦ δοῦναι θυσίαν, κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύω νεοσσοὺς περιστερῶν. Καὶ ἰδοὺ, ἦν ἄνθρωπος ἐν Ἱερουσαλὴμ, ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ· καὶ Πνεῦμα Ἅγιον ἦν ἐπ' αὐτόν. Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου, μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ Ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς Γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεὸν, καὶ εἶπε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. Καὶ ἦν Ἰωσὴφ καὶ ἡ Μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. Καὶ εὐλόγησεν αὐτοὺς Συμεών, καὶ εἶπε πρὸς Μαριὰμ τὴν Μητέρα αὐτοῦ· Ἰδού, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· (καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία)· ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. Καὶ ἦν Ἄννα Προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς. Καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ Ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν· καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο τῷ Κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ. Καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρέτ. Τὸ δὲ Παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο Πνεύματι, πληρούμενον σοφίας· καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ.

Κοινωνικόν. Ποτήριον σωτηρίου λήψομαι.

# ΜΗΝ ΜΑΡΤΙΟΣ.

## Τῌ Θ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

*Τῶν ἁγίων Τεσσαράκοντα Μαρτύρων, τῶν ἐν Σεβαστείᾳ τῇ πόλει μαρτυρησάντων.*

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον, Ἦχος πλ. δ'.

Σύ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.

Στίχ. Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Κεφ. ιβ'. 1.

Ἀδελφοί, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος Μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε ςαυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ Θρόνου τοῦ Θεοῦ ἐκάθισεν. Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. Οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· Υἱέ μȣ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαςιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; Εἰδὲ χωρὶς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί. Εἰ δὲ τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς, ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.

Ἀλληλούϊα Ἦχος δ'.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Στίχ. Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. κ'. 1.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέςειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτȣ. Καὶ ἐξελθὼν περὶ τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς· κἀκείνοις εἶπεν· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν. Οἱ δὲ ἀπῆλθον. Πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην ὥραν, ἐποίησεν ὡσαύτως. Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλους ἑστῶτας ἀργοὺς, καὶ λέγει αὐτοῖς· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Λέγουσιν αὐτῷ· Ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. Λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε. Ὀψίας δὲ γενομένης, λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· Κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων, ἕως τῶν πρώτων. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον. Ἐλθόντες δὲ οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλείονα λήψονται· καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Λαβόντες δὲ, ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες· Ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν ἑνὶ αὐτῶν· Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; ἆρον τὸ σὸν, καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι, ὡς καὶ σοί· ἢ οὐκ ἔξεςί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐςιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι, ἔσχατοι· πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.

## ΤΗ ΚΕ΄. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν, Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ.

( Ζήτει Σεπτεμβρίου Η΄.)

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος γ΄.

Μεγαλύνει, ἡ ψυχή μου, τὸν Κύριον.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## Ὁ Ἀπόστολος.

### Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

### Κεφ. β΄. 11.

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε· καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ· καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διαπαντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Ἀλληλούϊα. Ἦχος α΄.

Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον.

Στίχ. Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον.

### Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. α΄. 24.

Ἐν ταῖς ἡμέραις ἐκείναις, συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ Ζαχαρίου· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα· Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ Ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρέτ, πρὸς Παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαυΐδ· καὶ τὸ ὄνομα τῆς παρθένου, Μαριάμ. Καὶ εἰσελθὼν ὁ Ἄγγελος πρὸς αὐτήν, εἶπε· Χαῖρε κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν. Ἡ δὲ ἰδοῦσα, διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ· καὶ διελογίζετο, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ Ἄγγελος αὐτῇ· Μὴ φοβοῦ, Μαριάμ· εὗρες

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

γὰρ χάριν παρὰ τῷ Θεῷ. Καὶ ἰδοὺ, συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ Υἱόν· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυῒδ τοῦ Πατρὸς αὐτοῦ· καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Εἶπε δὲ Μαριὰμ πρὸς τὸν Ἄγγελον· Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; Καὶ ἀποκριθεὶς ὁ Ἄγγελος, εἶπεν αὐτῇ· Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ. Καὶ ἰδοὺ, Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα Υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ, τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Εἶπε δὲ Μαριάμ· Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ Ἄγγελος.

Κοινωνικόν.

Ἐξελέξατο Κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

## ΜΗΝ ΑΠΡΙΛΙΟΣ.

### ΤΗ ΚΓ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τοῦ ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου, τοῦ Τροπαιοφόρου.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεὸς, τῆς φωνῆς μου.

Ὁ Ἀπόστολος.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. ιβ'. 1.

Κατ' ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρώδης ὁ Βασιλεὺς τὰς χεῖρας, κακῶσαί τινας τῶν ἀπὸ τῆς Ἐκκλησίας· ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν, Ἰωάννου, μαχαίρᾳ. Καὶ ἰδὼν, ὅτι



ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· (ἦσαν δὲ αἱ ἡμέραι τῶν Ἀζύμων)· ὃν καὶ πιάσας, ἔθετο εἰς φυλακὴν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν· βουλόμενος μετὰ τὸ Πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς Ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ. Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσί· φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. Καὶ ἰδοὺ, Ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν, λέγων· Ἀνάστα ἐν τάχει. Καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. Εἶπε δὲ ὁ Ἄγγελος πρὸς αὐτόν· Περίζωσαι, καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Ἐποίησε δὲ οὕτω. Καὶ λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι. Καὶ ἐξελθὼν, ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ Ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν· καὶ εὐθέως ἀπέστη ὁ Ἄγγελος ἀπ' αὐτοῦ. Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· Νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλε Κύριος τὸν Ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

Ἀλληλούϊα. Ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· Ταῦτα ἐντέλλομαι ὑμῖν.

(Ζήτει τῇ ΚϚ'. Ὀκτωβρίου σελ. 618).

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΜΗΝ ΜΑΪΟΣ.

## ΤΗ Η'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τοῦ ἁγίου, ἐνδόξου, Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου.

(Ἀπόςολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ΚΣΤ'. Σεπτεμ. σελ. 616).

## ΤΗ ΚΑ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τῶν ἁγίων, Μεγάλων Βασιλέων, καὶ Ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ὁ Ἀπόστολος.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. κς'. 1.

Κεφ. κς'. 12. Ἐν ταῖς ἡμέραις ἐκείναις, Ἀγρίππας ὁ βασιλεὺς πρὸς τὸν Παῦλον ἔφη· Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τότε ὁ Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν χεῖρα. Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν Ἀρχιερέων, ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν εἶδον, Βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου, περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. Ἐγὼ δὲ εἶπον· Τίς εἶ, Κύριε; Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. Ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες, ὧν τε ὀφθήσο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μαί σοι· ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς νῦν σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, πίστει τῇ εἰς ἐμέ. Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ· ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν ἀπήγγελλον μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.

Ἀλληλούϊα. Ἦχος α'.

Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.

Στίχ. Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ι'. 1.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται· καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται· καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΜΗΝ ΙΟΥΝΙΟΣ.

## ΤΗ ΚΔ΄. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τὸ Γενέθλιον τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.
Στίχ. Εἰσάκουσον, ὁ Θεὸς, τῆς φωνῆς μου.

Ὁ Ἀπόστολος.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου.

Κεφ. ιγ΄. 11.

Ἀδελφοὶ, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν. Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός· Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν· μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ· ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ Κυρίῳ στήκει, ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν.

Ἀλληλούϊα. Ἦχος α΄.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ.
Στίχ. Καὶ σὺ Παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. α΄. 1.

Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμε-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

νοι τοῦ Λόγου· ἔδοξε κἀμοὶ, παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε· ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ βασιλέως τῆς Ἰουδαίας, Ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρὼν, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ. Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι. Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς τὸν Ναὸν τοῦ Κυρίου. Καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. Ὤφθη δὲ αὐτῷ Ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. Καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἄγγελος· Μὴ φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. Καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. Ἔσται γὰρ μέγας ἐνώπιον τοῦ Κυρίου· καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ· καὶ Πνεύματος Ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. Καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν· καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν Ἄγγελον· Κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. Καὶ ἀποκριθεὶς ὁ Ἄγγελος, εἶπεν αὐτῷ· Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. Καὶ ἰδοὺ, ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

καιρὸν αὐτῶν. Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· καὶ
ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ Ναῷ. Ἐξελθὼν δὲ,
οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν, ὅτι ὀπτασίαν
ἑώρακεν ἐν τῷ Ναῷ· καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς· καὶ διέ-
μεινε κωφός. Καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λει-
τουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μετὰ δὲ ταύ-
τας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ· καὶ
περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα· Ὅτι οὕτω μοι πε-
ποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός
Διακ. στίχ. 57. μου ἐν ἀνθρώποις. Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τε-
κεῖν αὐτήν· καὶ ἐγέννησεν υἱόν. Καὶ ἤκουσαν οἱ περίοικοι
καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ
μετ' αὐτῆς· καὶ συνέχαιρον αὐτῇ. Καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ
ἡμέρᾳ, ἦλθον περιτεμεῖν τὸ Παιδίον. Καὶ ἐκάλουν αὐτὸ ἐπὶ
τῷ ὀνόματι τοῦ Πατρὸς αὐτοῦ, Ζαχαρίαν. Καὶ ἀποκριθεῖσα
ἡ Μήτηρ αὐτοῦ, εἶπεν· Οὐχὶ, ἀλλὰ κληθήσεται Ἰωάννης. Καὶ
εἶπον πρὸς αὐτήν· Ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου, ὃς
καλεῖται τῷ ὀνόματι τούτῳ. Ἐνένευον δὲ τῷ Πατρὶ αὐτοῦ,
τὸ, τί ἂν θέλοι καλεῖσθαι αὐτόν. Καὶ αἰτήσας πινακίδιον,
ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐθαύμα-
σαν πάντες. Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ
ἡ γλῶσσα αὐτοῦ· καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν. Καὶ ἐγένετο
ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ
ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα.
Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέ-
γοντες· Τί ἄρα τὸ Παιδίον τοῦτο ἔσται; Καὶ χεὶρ Κυρίου ἦν
μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ Πατὴρ αὐτοῦ ἐπλήσθη Πνεύμα-
τος Ἁγίου, καὶ προεφήτευσε, λέγων· Εὐλογητὸς Κύριος, ὁ Θεὸς
τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ
Διακ. στίχ. 76. αὐτοῦ. Καὶ σὺ, Παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ· προπο-
Διακ. στίχ. 80. ρεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Τὸ
δὲ Παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι· καὶ ἦν ἐν ταῖς
ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

**Κοινωνικόν.**

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## Τῌ ΚΘ΄. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

### Τῶν ἁγίων, ἐνδόξων Ἀποστόλων, καὶ Πρωτοκορυφαίων Πέτρου καὶ Παύλου.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος πλ. δ΄.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους β΄. Ἐπιστολῆς Παύλου.

Κεφ. ιά. 21.

Ἀδελφοί, ἐν ᾧ δ᾽ ἄν τις τολμᾷ, (ἐν ἀφροσύνῃ λέγω) τολμῶ κἀγώ. Ἑβραῖοι εἰσί; κἀγώ· Ἰσραηλῖται εἰσί; κἀγώ· σπέρμα Ἀβραάμ εἰσι; κἀγώ· διάκονοι Χριςοῦ εἰσι; (παραφρονῶν λαλῶ) ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως ἐν θανάτοις πολλάκις· Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον. Τρὶς ἐῤῥαβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηςείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι. Χωρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθ᾽ ἡμέραν, ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν. Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων· καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον
τὰς χεῖρας αὐτοῦ. Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι· ἐλεύσομαι Κεφ. ιβ. 1.
γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου. Οἶδα ἄνθρωπον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἐν Χριςῷ πρὸ ἐτῶν δεκατεσσάρων, (εἴτε ἐν σώματι, οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν)· ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτȣ οὐρανȣ̃· καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, (εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν·) ὅτι ἡρπάγη εἰς τὸν Παράδεισον, καὶ ἤκουσεν ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰμὴ ἐν ταῖς ἀσθενείαις μου. Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δὲ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τί ἐξ ἐμοῦ. Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ· καὶ εἴρηκέ μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

Ἀλληλούϊα. **Ἦχος α'.**

Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου.

**Στίχ.** Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ Ἁγίων.

**Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.**

**Κεφ. ις'. 13.**

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς Μαθητὰς αὐτοῦ, λέγων· Τίνα με λέγȣσιν οἱ ἄνθρωποι εἶναι· τὸν Υἱὸν τοῦ ἀνθρώπȣ; Οἱ δὲ εἶπον· Οἱ μὲν Ἰωάννην τὸν Βαπτιστήν· ἄλλοι δὲ, Ἠλίαν· ἕτεροι δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν Προφητῶν. Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος, εἶπε· Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς· κἀγὼ δέ σοι λέγω· Ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ δώσω σοι τὰς κλεῖς τῆς Βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔςαι δεδε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

μένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.

Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

# ΜΗΝ ΙΟΥΛΙΟΣ.

## ΤΗ Κ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Τοῦ ἁγίου, ἐνδόξου Προφήτου Ἡλιοὺ, τοῦ Θεσβίτου.

### ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος δ'.

Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου.

Ὁ Ἀπόστολος.

Καθολικῆς Ἐπιστολῆς Ἰακώβου.

Κεφ. ε. 10.

Ἀδελφοὶ, ὑπόδειγμα λάβετε τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας, τοὺς Προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου. Ἰδοὺ, μακαρίζομεν τοὺς ὑπομένοντας. Τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίȣ οἴδατε, ὅτι πολυεύσπλαγχνός ἐστιν ὁ Κύριος καὶ οἰκτίρμων. Πρὸ πάντων δὲ, ἀδελφοί μου, μὴ ὀμνύετε μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ· ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις; ψαλλέτω· ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίȣ. Καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε· πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

προσηύξατο τοῦ μὴ βρέξαι· καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς, καὶ μῆνας ἕξ· καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς. Ἀδελφοί, ἐάς τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτόν, γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

Ἀλληλούϊα. Ἦχος δ'.

Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. δ'. 22.

Τῷ καιρῷ ἐκείνῳ, ἐθαύμαζον οἱ ὄχλοι ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος τοῦ Ἰησοῦ καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ Υἱὸς Ἰωσήφ; Καὶ εἶπε πρὸς αὐτούς· Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· Ἰατρέ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναοὺμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου. Εἶπε δέ· Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. Ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλιοὺ ἐν τῷ Ἰσραὴλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας, εἰμὴ εἰς Σάρεπτα τῆς Σιδῶνος, πρὸς γυναῖκα χήραν. Καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου τοῦ Προφήτου ἐν τῷ Ἰσραὴλ· καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη, εἰμὴ Νεεμὰν ὁ Σύρος. Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ Συναγωγῇ, ἀκούοντες ταῦτα· καὶ ἀναστάντες, ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως· καὶ ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν. Αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν, ἐπορεύετο.

Κοινωνικόν.

Ἀγαλλιᾶσθε, Δίκαιοι, ἐν Κυρίῳ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΜΗΝ ΑΥΓΟΥΣΤΟΣ.

## ΤΗ ϛ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Ἡ ἁγία Μεταμόρφωσις τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

### ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. Θ'. 28.

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ Ἰωάννην, καὶ Ἰάκωβον, καὶ ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ἐγένετο, ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. Καὶ ἰδοὺ, ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵ τινες ἦσαν Μωσῆς καὶ Ἠλίας· οἳ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ, εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συνεςῶτας αὐτῷ. Καὶ ἐγένετο, ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· Ἐπιςάτα, καλόν ἐςιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοὶ, καὶ μίαν Μωσεῖ, καὶ μίαν Ἠλίᾳ· μὴ εἰδὼς ὃ λέγει. Ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην. Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε. Καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος· καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν, ὧν ἑωράκασιν.

### ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος δ'.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

### Ὁ Ἀπόστολος.

Καθολικῆς Β'. Ἐπιστολῆς Πέτρου.

Κεφ. α'. 10.

Ἀδελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες, οὐ μὴ πταίσητέ ποτε. Οὕτω γὰρ πλουσίως ἐπιχορηγηθήσεται ἡμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Διὸ οὐκ ἀμελήσω ὑμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. Δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει· εἰδὼς, ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνήμην ποιεῖσθαι. Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες, ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος. Λαβὼν γὰρ παρὰ Θεοῦ Πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ἐγὼ εὐδόκησα. Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν.

Ἀλληλούϊα. Ἦχος πλ. δ'.

Σοί εἰσιν οἱ οὐρανοὶ, καὶ σή ἐστιν ἡ γῆ.

**Στίχ.** Μακάριος ὁ λαὸς, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.

**Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. ιζ'. 1.**

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ· καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. Καὶ ἰδοὺ, ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας, μετ' αὐτοῦ συλλαλοῦντες. Ἀποκρι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

θεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, σοὶ μίαν, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ. Ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ, φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε. Καὶ ἀκούσαντες οἱ Μαθηταὶ, ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἥψατο αὐτῶν, καὶ εἶπεν· Ἐγέρθητε, καὶ μὴ φοβεῖσθε. Ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον, εἰμὴ τὸν Ἰησοῦν μόνον. Καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

Κοινωνικόν.

Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου, Κύριε, πορευσόμεθα, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιασόμεθα εἰς τὸν αἰῶνα.

## ΤΗ ΙΕ΄. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Ἡ Κοίμησις τῆς Ὑπεραγίας, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ ΚΑΙ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

(Ζήτει Ἀπόστολον καὶ Εὐαγγέλιον, τῇ Η΄. τοῦ Σεπτεμ. σελ. 611.)

## ΤΗ ΚΘ΄. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ.

Ἡ Ἀποτομὴ τῆς τιμίας Κεφαλῆς τοῦ ἁγίου, ἐνδόξου, Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. ιδ΄. 1.

Τῷ καιρῷ ἐκείνῳ, ἤκουσεν Ἡρώδης ὁ Τετράρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ· Οὗτός ἐστιν Ἰωάννης ὁ Βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. Ὁ γὰρ Ἡρώδης κρατήσας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τὸν Ἰωάννην, ἔδησεν αὐτὸν, καὶ ἔθετο ἐν φυλακῇ, διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππȣ τοῦ ἀδελφοῦ αὐτοῦ. Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης· Οὐκ ἔξεςί σοι ἔχειν αὐτήν. Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδȣ, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ· καὶ ἤρεσε τῷ Ἡρώδῃ· ὅθεν μεθ' ὅρκȣ ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. Ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, Δός μοι, φησὶν, ὧδε ἐπὶ πίνακι τὴν Κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ ἐλυπήθη ὁ Βασιλεύς· διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, ἐκέλευσε δοθῆναι. Καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. Καὶ ἠνέχθη ἡ Κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ· καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό· καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησȣ̃. Καὶ ἀκούσας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν. Καὶ ἀκȣ́σαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεὸς, τῆς φωνῆς μου.

Ὁ Ἀπόστολος.

Πράξεων τῶν Ἀποστόλων. Κεφ. ιγ'. 25.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ὡς ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον, ἔλεγε· Τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ, ἀλλ' ἰδοὺ, ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι. Ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους Ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη. Οἱ γὰρ κατοικοῦντες ἐν Ἱερȣσαλὴμ, καὶ οἱ ἄρχοντες αὐτῶν, τȣ̃τον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν Προφητῶν τὰς κατὰ πᾶν Σάββατον ἀναγινωσκομένας, κρίναντες, ἐπλήρωσαν· καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν. Ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλȣ, ἔθηκαν εἰς μνη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Χάρου

μεῖον. Ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλὴμ, οἵ τινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν.

Ἀλληλούϊα. Ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. ς'. 14.

Τῷ καιρῷ ἐκείνῳ, ἤκουσεν Ἡρώδης ὁ βασιλεὺς τὴν ἀκοὴν Ἰησοῦ, (φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ), καὶ ἔλεγεν· Ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. Ἄλλοι ἔλεγον· Ὅτι Ἠλίας ἐστίν· ἄλλοι δὲ ἔλεγον· Ὅτι Προφήτης ἐστὶν, ἢ ὡς εἷς τῶν Προφητῶν. Ἀκούσας δὲ ὁ Ἡρώδης, εἶπεν· Ὅτι ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν, αὐτὸς ἠγέρθη ἐκ νεκρῶν. Αὐτὸς γὰρ ὁ Ἡρώδης, ἀποστείλας ἐκράτησε τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππȣ τοῦ ἀδελφȣ̃ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν. Ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ· Ὅτι οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου. Ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο. Ὁ γὰρ Ἡρώδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον· καὶ συνετήρει αὐτόν· καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουε. Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας· καὶ εἰσελθȣ́σης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρωδιάδος, καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης τῷ Ἡρώδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ· Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι. Καὶ ὤμοσεν αὐτῇ· Ὅτι ὃ ἐὰν μοι αἰτήσῃς, δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. Ἡ δὲ ἐξελθοῦσα, εἶπε τῇ μητρί αὐτῆς· Τί αἰτήσομαι; Ἡ δὲ εἶπε· Τὴν Κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστȣ̃.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Πάτρου

Καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν βασιλέα, ἠτήσατο, λέγουσα· Θέλω, ἵνα μοι δῷς ἐξ αὐτῆς ἐπὶ πίνακι τὴν Κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς, διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. Καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα, ἐπέταξεν ἐνεχθῆναι τὴν Κεφαλὴν αὐτοῦ. Ὁ δὲ ἀπελθὼν, ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ· καὶ ἤνεγκε τὴ Κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ· καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. Καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ, ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν τῷ μνημείῳ. Καὶ συνάγονται οἱ Ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν, καὶ ὅσα ἐδίδαξαν.

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

---

## ΕΙΣ ΓΥΝΑΙΚΑΣ ΜΑΡΤΥΡΑΣ.

### ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

**Προκείμενον. Ἦχος δ΄.**

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Στίχ.** Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Ὁ Ἀπόστολος.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου.

**Κεφ. γ΄. 23.**

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι· Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. Ἐλθούσης δὲ τῆς πίστεως, οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, καὶ κατ᾽ ἐπαγγελίαν

κληρονόμοι. Λέγω δέ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν· ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ Πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον· ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Κεφ. δ'. 4.

'Αλληλούϊα. Ἦχος ά.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

**Στίχ.** Καὶ ἔστησεν ἐπὶ πέτραν.

**Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον.**

**Κεφ. ἑ. 24.**

Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δέδωκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα· ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίȣ αὐτοῦ· ἔλεγε γάρ· Ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς· καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις· Τίς μου ἥψατο; Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΙΣ ΟΣΙΑΣ ΓΥΝΑΙΚΑΣ.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὸν Ἀπόστολον, ζήτει εἰς **Γυναῖκας Μάρτυρας**.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.
Κεφ. κέ. 1.

Εἶπεν ὁ **Κύριος** τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα Παρθένοις, αἵ τινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ Νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί· αἵ τινες μωραί, λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον. Αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ Νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδού, ὁ Νυμφίος, ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ Παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ Νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ Παρθένοι, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθείς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΙΣ ΟΣΙΟΜΑΡΤΥΡΑΣ ΓΥΝΑΙΚΑΣ.

### ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Προκείμενον. Ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου. Κεφ. ί. 32.

Ἀδελφοί, ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· τοῦτο μέν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δέ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες· καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν. Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ἡμῶν, ἥ τις ἔχει μισθαποδοσίαν μεγάλην. Ὑπομονῆς γὰρ ἔχετε χρείαν· ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν· ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.

Ἀλληλούϊα. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. ί. 16.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ἰδού, ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς, καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς, ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τί λαλήσητε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Κοινωνικόν. Ἀγαλλιᾶσθε, Δίκαιοι, ἐν Κυρίῳ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΥΑΓΓΕΛΙΑ

## ΕΩΘΙΝΑ ΑΝΑΣΤΑΣΙΜΑ

## ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑ ΕΙΣ ΤΟΥΣ ΟΡΘΡΟΥΣ ΕΚΑΣΤΗΣ ΚΥΡΙΑΚΗΣ.

### ΕΩΘΙΝΟΝ ΠΡΩΤΟΝ.

Ἐκ τοῦ κατὰ Ματθαῖον. Κεφ. κή. 16.

Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ Ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. Καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

### ΕΩΘΙΝΟΝ ΔΕΥΤΕΡΟΝ.

Ἐκ τοῦ κατὰ Μάρκον. Κεφ. ιϛ΄. 1.

Διαγενομένου τοῦ Σαββάτου, Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου, καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν Ἰησοῦν. Καὶ λίαν πρωῒ τῆς μιᾶς Σαββάτων, ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. Καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι, θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν· καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη

τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς Μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

## ΕΩΘΙΝΟΝ ΤΡΙΤΟΝ.

### Ἐκ τοῦ κατὰ Μάρκον. Κεφ. ις'. 9.

Ἀναστὰς ὁ Ἰησοῦς, πρωῒ πρώτῃ Σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. Ἐκείνη, πορευθεῖσα, ἀπήγγειλε τοῖς μετ' αὐτῶ γενομένοις, πενθοῦσι καὶ κλαίουσι. Κἀκεῖνοι, ἀκούσαντες ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν. Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. Κἀκεῖνοι ἀπελθόντες, ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν. Ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς Ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν, καὶ σκληροκαρδίαν· ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. Σημεῖα δὲ τοῖς πιστεύσασι, ταῦτα παρακολουθήσει· Ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς· ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀῤῥώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος, διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΕΩΘΙΝΟΝ ΤΕΤΑΡΤΟΝ.

### Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. κδ΄. 1.

Τῇ μιᾷ τῶν Σαββάτων, ὄρθρου βαθέος, ἦλθον Γυναῖκες ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα· καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου· καὶ εἰσελθοῦσαι, οὐχ εὗρον τὸ Σῶμα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδού, δύω ἄνδρες ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων· Ὅτι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ. Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα τοῖς Ἕνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς. Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς Ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν, ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

## ΕΩΘΙΝΟΝ ΠΕΜΠΤΟΝ.

### Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. κδ΄. 12.

Τῷ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ ἰδού, δύω ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην, ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς· καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας, συνεπορεύετο αὐτοῖς. Οἱ



δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; Καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ, ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ· ὅπως τε παρέδωκαν αὐτὸν οἱ Ἀρχιερεῖς καὶ Ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. Ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ Γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον· καὶ μὴ εὑροῦσαι τὸ Σῶμα αὐτοῦ, ἦλθον, λέγουσαι καὶ ὀπτασίαν Ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω, καθὼς καὶ αἱ Γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον. Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· Ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ Προφῆται· οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν Προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ. Καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο· καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. Καὶ παρεβιάσαντο αὐτόν, λέγοντες· Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστί, καὶ κέκλικεν ἡ ἡμέρα. Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον, εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. Καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, καὶ εὗρον συνηθροισμένους τοὺς Ἕνδεκα, καὶ τοὺς σὺν αὐτοῖς λέγοντας· Ὅτι ἠγέρθη

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ· καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

### ΕΩΘΙΝΟΝ ΕΚΤΟΝ.

### Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. κδ΄. 36.

Τῷ καιρῷ ἐκείνῳ, ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν, ἔστη ἐν μέσῳ τῶν Μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦμα θεωρεῖν. Καὶ εἶπεν αὐτοῖς· Τί τεταραγμένοι ἐστὲ, καὶ διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου· ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπὼν, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· Ἔχετέ τι βρώσιμον ἐνθάδε; Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου. Καὶ λαβὼν, ἐνώπιον αὐτῶν ἔφαγεν. Εἶπε δὲ αὐτοῖς· Οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως, καὶ Προφήταις, καὶ Ψαλμοῖς περὶ ἐμοῦ. Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς Γραφάς· καὶ εἶπεν αὐτοῖς· Ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ. Ὑμεῖς δὲ ἐστε μάρτυρες τούτων. Καὶ ἰδοὺ, ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ᾽ ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν· καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ᾽ αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης. Καὶ ἦσαν διαπαντὸς ἐν τῷ Ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

### ΕΩΘΙΝΟΝ ΕΒΔΟΜΟΝ.

### Ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. κ΄. 1.

Τῇ μιᾷ τῶν Σαββάτων, Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον· καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. Τρέχει οὖν, καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον Μαθητὴν, ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς· Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος Μαθητὴς, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος Μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον. Καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια· οὐ μέντοι εἰσῆλθεν. Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος Μαθητὴς, ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε, καὶ ἐπίστευσεν. Οὐδέπω γὰρ ᾔδεισαν τὴν Γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ Μαθηταί.

### ΕΩΘΙΝΟΝ ΟΓΔΟΟΝ.

### Ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. κ΄. 11.

Τῷ καιρῷ ἐκείνῳ, Μαρία εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω· ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον· καὶ θεωρεῖ δύο Ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ Σῶμα τοῦ Ἰησοῦ. Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· Γύναι, τί κλαίεις; Λέγει αὐτοῖς· Ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. Καὶ ταῦτα εἰποῦσα, ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα· καὶ οὐκ ᾔδει ὅτι ὁ Ἰησοῦς ἐστι. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἐκείνη, δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ ἔθηκας αὐτὸν, κἀγὼ αὐτὸν ἀρῶ. Λέ-

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

γει αὐτῇ ὁ Ἰησοῦς· Μαρία. Στραφεῖσα ἐκείνη, λέγει αὐτῷ· Ῥαββουνὶ, ὃ λέγεται, Διδάσκαλε. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ, ἀπαγγέλλουσα τοῖς Μαθηταῖς ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

### ΕΩΘΙΝΟΝ ΕΝΝΑΤΟΝ.

### Ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. κ΄. 19.

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν Σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ Μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ Μαθηταὶ, ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα Ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ, εἷς ἐκ τῶν Δώδεκα ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι Μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. Καὶ μεθ' ἡμέρας ὀκτὼ, πάλιν ἦσαν ἔσω οἱ Μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν· ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν· Εἰρήνη ὑμῖν. Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Καὶ ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μου καὶ ὁ Θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν Μα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

θητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες, ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

## ΕΩΘΙΝΟΝ ΔΕΚΑΤΟΝ.

### Ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. κά. 1.

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως· Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν Μαθητῶν αὐτοῦ δύο. Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. Ἐξῆλθον, καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθὺς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. Πρωΐας δὲ ἤδη γενομένης, ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέν τοι ᾔδεισαν οἱ Μαθηταὶ ὅτι Ἰησοῦς ἐστι. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ· Οὔ. Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. Λέγει οὖν ὁ Μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· Ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο (ἦν γὰρ γυμνὸς), καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. Οἱ δὲ ἄλλοι Μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, (οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων), σύροντες τὸ δίκτυον τῶν ἰχθύων. Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον. Λέγει αὐτοῖς, ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. Ἀνέβη Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν· καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε, ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν Μαθητῶν ἐξετάσαι αὐτὸν, Σὺ τίς εἶ; εἰδότες, ὅτι ὁ Κύριός ἐστιν. Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

νει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

### ΕΩΘΙΝΟΝ ΕΝΔΕΚΑΤΟΝ.

### Ἐκ τοῦ κατὰ Ἰωάννην. Κεφ. κά. 14.

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν· καὶ λέγει τῷ Σίμωνι Πέτρῳ· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ· Ναί, Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναί, Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον· Φιλεῖς με; καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας· σὺ γινώσκεις, ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου. Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτόν, καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. Καὶ τοῦτο εἰπών, λέγει αὐτῷ· Ἀκολούθει μοι. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος, βλέπει τὸν Μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; Τοῦτον ἰδὼν ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; σὺ ἀκολούθει μοι. Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ Μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει· ἀλλ', Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Οὗτός ἐστιν ὁ Μαθητής, ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθὴς ἐστιν ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλά, ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΓΡΑΜΜΑ ΣΥΣΤΑΤΙΚΟΝ

τῷ κατὰ Πνεῦμα ἡμῶν Υἱῷ Παπᾷ Κυρίῳ (τῷ δεῖνι), εἰς ἔνδειξιν καὶ ἀσφάλειαν.

Ἐγράφη ἐν τῷ ἡμετέρῳ οἴκῳ τῆς ἁγίας Ἐπισκοπῆς (τῆς δε), κατὰ τὴν δοθεῖσαν τοῖς Ἀρχιερεῦσιν ἐξουσίαν ὑπὸ τῶν ἁγίων Ἀποστόλων εἰς τὸ χειροτονεῖν Ὑποδιακόνους, Διακόνους, καὶ εἰς τὸ τοῦ Πρεσβυτέρου εἰσάγειν ἀξίωμα. Καὶ ταύτης τῆς χάριτος καὶ εἰς τὴν ἡμῶν ταπεινότητα διελθούσης, κεχειροτόνηκα Πρεσβύτερον τὸν ἐν Ἱερομονάχοις κύριον (τὸν δεῖνα), κατὰ τὴν συμμαρτυρίαν τοῦ Πνευματικοῦ αὐτοῦ Πατρὸς, καὶ κατὰ τοὺς Κανόνας τῶν ἁγίων Ἀποστόλων. Δέδωκα δὲ αὐτῷ ἐξουσίαν ἱερουργεῖν ἀκωλύτως ἐν ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις. Ὅθεν καὶ εἰς τοῦτο γέγονε τὸ παρὸν Συστατικὸν τῆς ἡμῶν ταπεινότητος, καὶ ἐπεδόθη τῷ διαλειφθέντι Ἱερομονάχῳ κυρίῳ (τῷ δεῖνι), εἰς ἀσφάλειαν αὐτοῦ.

## ΓΡΑΜΜΑ ΕΝΤΑΛΤΗΡΙΟΝ

διδόμενον παρὰ τοῦ Ἀρχιερέως εἰς τὸν Πνευματικὸν τὸν ἐξομολογοῦντα.

Ἡ ταπεινότης ἡμῶν ἀνατίθησί σοι τῷ εὐλαβεστάτῳ Ἱερομονάχῳ (τῷ δεῖνι) τὸ λειτούργημα τῆς Πνευματικῆς Πατρότητος· ὅθεν ὀφείλεις ἀναδέχεσθαι τοὺς λογισμοὺς, καὶ τὰς πράξεις, καὶ τὰ ποικίλα πάθη πάντων τῶν εἰς Ἐξομολόγησιν προσερχομένων σοι, καὶ οἰκονομεῖν τὴν μετάνοιαν, καὶ τὴν σωτηρίαν αὐτῶν, ἀναλόγως κατὰ τὴν ἑκάστου δύναμιν καὶ τὰς τῶν ἁμαρτημάτων διαφοράς· δήσεις γὰρ, ὃ δεῖ δεθῆναι, καὶ λύσεις ὃ δεῖ λυθῆναι, ὡς συνεργὸς καὶ ὑπηρέτης τῆς παρὰ Θεοῦ δοθείσης ἡμῖν Πνευματικῆς καὶ Ἀποστολικῆς χάριτος, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρωπίνων ψυχῶν. Δεῖ εὐσεβῶς καὶ Μοναχοὺς ἀποκείρειν τοὺς εἰς τοῦτο προσκαλουμένους σε, μετὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

τῆς ὀφειλομένης κανονικῆς παρατηρήσεως, τῆς τε ἄλλης, καὶ τοῦ μέλλοντος πνευματικῶς ἀναδέχεσθαι τὸν ἀποκειρόμενον. Τοὺς δὲ πρὸς τὸ τῆς Ἱερωσύνης ἀξίωμα ἀναγομένους, οὕτως ἐξετάζειν ὀφείλεις, καὶ τὰ κατ᾽ αὐτοὺς διερευνᾶσθαι πάντα ἀκριβῶς, ὡς ὁ Ἀποστολικὸς καὶ Κανονικὸς ἀπαιτεῖ λόγος· ἵνα μὴ διὰ ῥᾳθυμίαν, ἢ συναρπαγήν τινα, λάθῃς σεαυτὸν, ἀλλοτρίαις κοινωνῶν ἁμαρτίαις, κατὰ τὸν θεῖον εἰπεῖν Ἀπόστολον. Ἐπὶ τούτῳ καὶ τὸ παρὸν Ἐνταλτήριον Γράμμα, γεγονὸς παρὰ τῆς ἡμῶν ταπεινότητος, ἐπεδόθη σοι δι᾽ ἀσφάλειαν. Ἐν Μηνὶ ( τῷδε ) ἔτει ( τῷδε ), καὶ τὰ ἑξῆς.

---

# ΕΚΘΕΣΙΣ

ΠΕΡΙ ΤΟΥ, Πῶς χρὴ δέχεσθαι τὸν ἐξ Ἰουδαίων προσερχόμενον τῇ Πίστει τῶν Χριστιανῶν.

Χρὴ τὸν ἐξ Ἰουδαίων προσερχόμενον χριστιανίσαι, πρότερον θριαμβεύειν πᾶν νόμιμον Ἰουδαϊκὸν ἐπιτήδευμα, κἀντεῦθεν δεικνύειν, ὡς ἐξ ὅλης ψυχῆς καὶ καρδίας καὶ πίστεως εἰλικρινοῦς χριστιανίσαι ἠθέλησε, καὶ ἀποτάσσεσθαι μὲν φανερῶς ἐπ᾽ Ἐκκλησίας πάσῃ τῇ Ἰουδαϊκῇ θρησκείᾳ καὶ τοῖς παλαιοῖς νομίμοις ἅπασιν· ἀναθεματίζειν δὲ τὰ ὕστερον ἐπινενοημένα παρὰ γνώμην Θεοῦ ἐπιτηδεύματα καὶ ἔθη· καὶ οὕτω συντάσσεσθαι Χριστῷ τῷ Θεῷ καὶ τῇ Πίστει τῶν Χριστιανῶν· τοῦ Ἱερέως πρότερον λέγοντος, καὶ ἐκείνου ἀποκρινομένου, ἢ τοῦ Ἀναδόχου αὐτοῦ, εἴπερ ἐστὶ παιδίον, ἢ ἀλλόγλωσσος ὁ βαπτιζόμενος.

Ἐγὼ ( ὁ δεῖνα ), ὁ ἐξ Ἑβραίων σήμερον προσιὼν τῇ Πίστει τῶν Χριστιανῶν, οὐ διά τινα βίαν, ἢ ἀνάγκην, ἢ φόβον, ἢ ἐπήρειαν, ἢ πενίαν, ἢ χρέος, ἢ ἔγκλημα κατ᾽ ἐμοῦ κινούμενον, ἢ διὰ τιμὴν κοσμικὴν, ἢ δι᾽ εὐεργεσίας τινὰς, ἢ κτήματα, ἢ χρήματα παρά τινος ὑπισχνούμενα, ἢ διὰ οἱανδήποτε ὠφέλειαν, ἢ προστασίαν ἀνθρωπίνην, ἢ δι᾽ ἔριν, ἢ φιλονεικίαν πρός τινα τῶν ὁμοφύλων καὶ ὁμοπίστων μου, ἢ ὡς βουλόμενος ἐντεῦθεν ἀμύνασθαι Χριστιανοῖς, ὡς δῆθεν ζηλωτὴς τοῦ νόμου·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἀλλ' ὡς ἐξ ὅλης ψυχῆς καὶ καρδίας τὸν Χριστὸν ἀγαπήσας καὶ τὴν αὐτοῦ Πίστιν, ἀποτάσσομαι πάσῃ τῇ Ἑβραϊκῇ θρησκείᾳ, καὶ τοῖς νομίμοις πᾶσι, καὶ περιτομῇ, καὶ ἀζύμοις, καὶ τῷ Ἰουδαϊκῷ Πάσχᾳ, καὶ τῇ θυσίᾳ τοῦ ἀμνοῦ, καὶ τῇ τῶν Ἑβδομάδων ἡμερῶν ἑορτῇ, καὶ τῷ ἐκείνων Ἰοβηλαίῳ, καὶ ταῖς πλάστιγξι, καὶ τῷ ἱλασμῷ, καὶ ταῖς σκηνοπηγίαις, καὶ ταῖς λοιπαῖς ἁπάσαις ἑορταῖς τῶν Ἑβραίων, σὺν ταῖς θυσίαις αὐτῶν καὶ ταῖς προσευχαῖς, καὶ τοῖς ῥαντισμοῖς καὶ καθαρισμοῖς καὶ ἁγνισμοῖς, καὶ ταῖς νηστείαις αὐτῶν, καὶ τοῖς σάββασι, καὶ ταῖς νεομηνίαις, καὶ τοῖς βρώμασιν αὐτῶν, καὶ τοῖς πόμασι· καὶ ἁπλῶς, ἀποτάσσομαι παντὶ Ἰουδαϊκῷ νομίμῳ, καὶ ἔθει, καὶ ἐπιτηδεύματι. Καὶ ἐπὶ τούτοις ἀναθεματίζω τὰς παρ' Ἰουδαίων αἱρέσεις, καὶ τοὺς αἱρετικοὺς Σαδδουκαίους, οἵ τινες τὸ Πνεῦμα τὸ Ἅγιον βλασφημοῦσι, καὶ τὴν τῶν νεκρῶν ἀνάστασιν ἀθετοῦσι· καὶ τοὺς ἄλλους ἀποβάλλομαι, Φαρισαίους, τοὺς ἀφωρισμένους, οἳ κατὰ Δευτέραν καὶ Πέμπτην νηστεύουσι, καὶ παρθενίαν ἐπὶ καιροὺς ὑποκρινόμενοι, μετὰ δὲ ταῦτα λύουσι πᾶσαν ἐγκράτειαν ἀσώτως καὶ ἀκορέστως· δοξάζουσι δὲ καὶ εἱμαρμένην, καὶ τῇ ἀστρολογίᾳ σχολάζουσι· Νασσαραίους, τοὺς ἀφανιστάς, οἳ τὸν περὶ θυσιῶν οὐ παραδέχονται Μωσέως νόμον, καὶ διὰ τοῦτο ἐμψύχων ἀπέχονται, καὶ ὅλως οὐ θύουσι· Χοσσαίους, τοὺς ἰταμωτάτους, οἳ γραφαῖς ἑτέραις παρὰ τὸν νόμον χρώμενοι, τοὺς πλείους τῶν Προφητῶν ἀποβάλλουσι, διδάσκαλον δὲ αὐτῶν ἔχουσιν ἄνθρωπόν τινα, Ἀλλεξάην καλȣμενον (εἴτ' οὖν, δύναμιν κεκαλυμμένην), καὶ τὴν Μαραθῶ καὶ Μαρθάνην, τὰς ἀπὸ τοῦ γένους αὐτῶν καταγομένας, ἃς καὶ ὡς θεὰς τιμῶσιν οἱ Ἡρωδιανοί· οἵ τινες καὶ τὸν ἀλλόφυλον βασιλέα τῶν Ἰȣδαίων Ἡρώδην, τὸν σκωληκόβρωτον, ὡς Χριστὸν δοξάζουσιν· Ἡμεροβαπτιστάς, οἳ τὰ αὐτὰ φρονοῦσι τοῖς Φαρισαίοις, καὶ ἔτι κατὰ προσθήκην δογματίζουσι τό, μὴ δύνασθαι ἄνθρωπον σωθῆναι, εἰμὴ καθ' ἑκάστην ἡμέραν βαπτίζεται Ῥωματοῖς, καὶ ȣ̓ θέλȣσι κατὰ νόμον ζῆν, ἀλλὰ περισσεύειν αὐτοὺς ξεστῶν, καὶ ποτηρίων, καὶ πινακίων, καὶ ἄλλων σκευῶν τοῖς βαπτισμοῖς ἁρμοδίων, καὶ πυγμῇ τὰς χεῖρας νίπτειν, καὶ κατασκευὴν πλύνειν

ἐννοῦσι, καὶ ἁπλῶς ἰδίας παραδόσεις πολλὰς τῷ νόμῳ προστιθέντες, δευτερώσεις αὐτὰς καλοῦσιν, οἷον δευτέρας Θεοῦ νομοθεσίας· καὶ τὴν μὲν πρώτην ψευδῶς ἀναφέρουσι (παρεξηγοῦντες) εἰς τὸν Μωσέα· τὴν δὲ δευτέραν εἰς τὸν Ῥαββὶ Ἀκικάν· καὶ τὴν τρίτην (ὡς λέγουσιν) εἰς Ἄνναν καὶ Ἰούδαν· τὴν δὲ τετάρτην εἰς τοὺς υἱοὺς τοῦ Νασσαμοναίου, οἵτινες καὶ τὸ Σάββατον ἐν τοῖς πολέμοις ἠθέτησαν. Ταύτας οὖν τὰς Ἰουδαϊκὰς αἱρέσεις πάσας ἀναθεματίζω, καὶ τοὺς Αἱρεσιάρχας αὐτῶν, καὶ τοὺς δευτερωτάς, καὶ τὰς δευτερώσεις τοῦ Ταλμοὺθ. Σὺν τούτοις δὲ ἀναθεματίζω καὶ τοὺς τὴν ἑορτὴν ἐπιτελοῦντας τοῦ λεγομένου Μαρδοχαίου, κατὰ τὸ πρῶτον Σάββατον τῶν Χριστιανικῶν Νηστειῶν· ξύλῳ γὰρ δῆθεν τὸν Ἀμνὸν προσηλοῦντες, εἶτα μιγνύντες αὐτῷ τῷ τοῦ Σταυροῦ σημείῳ, κατακαίουσιν, ἐπιλέγοντες καί τινας ἐπῳδάς· τὴν δὲ στάκτην ἐκείνου κατέχουσιν εἰς ἀποτροπὴν (ὡς οἴονται) ῥίγους, καὶ πάσης ἄλλης ἀῤῥωστίας. Ἔτι ἀναθεματίζω καὶ τοὺς κατὰ τὸν Ἰούλιον μῆνα τὴν ἀνάμνησιν ἑορτάζοντας τῶν λεγομένων παρ' αὐτοῖς λυπηρῶν, εἴτ' οὖν τῆς ἁλώσεως Ἱερουσαλὴμ ὑπὸ τοῦ Τίτου, κόνει τὰς κεφαλὰς αὐτῶν ἐπιτάττοντας, καὶ νήστεις διατελοῦντας ἐφ' ὅλον τὸ νυχθήμερον ἐκεῖνο, καὶ μετὰ μυρίων ὀδυρμῶν ἐπιφωνοῦντας ἑαυτοῖς τό, Οὐαὶ οὐαί. Ἔτι ἀναθεματίζω πάντας τοὺς τὴν τοῦ Ἠλιμμένου (μᾶλλον δὲ τὴν τοῦ Ἀντιχρίστου) προσδοκῶντας ἔλευσιν, ὃν καὶ τράπεζαν αὐτοῖς ἑτοιμάσειν μεγίστην ἐλπίζουσι, καὶ προσθήσειν εἰς ἑστίασιν τόν τε Ζίζ, καὶ τὸν Μεγχεμὼθ, καὶ τὸν Λευϊαθάν· εἶναι δὲ λέγουσι τὸν μὲν Ζίζ πτηνόν τι ζῶον, τὸν δὲ Μεγχεμὼθ τετράπουν, καὶ τὸν Λευϊαθὰν λέγουσιν ἐνάλιον· οὕτω μέγιστα καὶ πλήθοντα ταῖς σαρξὶν, ὥστε ἀρκεῖν ἕκαστον εἰς τροφὴν μυριάσιν ἀνθρώπων ἀπείροις. Ἔτι ἀναθεματίζω πᾶν Ἑβραϊκὸν ἔθος καὶ ἐπιτήδευμα, μὴ παραδεδομένον παρὰ Μωσέως, καὶ πᾶσαν αὐτῶν γοητείαν, καὶ ἐπῳδὴν, καὶ κληδωνισμὸν, καὶ τελετάς, καὶ τὰ περιάμματα καὶ φυλακτήρια. Ἔτι ἀναθεματίζω πάντα Ῥεμπὶ (ἢ Ῥαμπὶ) παρὰ τὸν Μωσαϊκὸν νόμον διδάξαντα, ἢ διδάσκοντα, καὶ πάντας τοὺς λεγομένους παρ' αὐτῶν Ἀρχιφερεκίτας, (ἢ Ἀρχιραμπίτας, καὶ Διδασκάλους), ὧν τὰς διδαχὰς πατρικὰ καλοῦσιν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Ἀναθεματίζω πρὸς τοῖς παλαιοῖς, Ἀρχιραμπίτας τοὺς παρὰ τὸν νόμον διδάξαντας, καὶ τοὺς νέους τῶν Ἰουδαίων διδασκάλȣς, Λάζαρον φημὶ, τὸν τὴν ἄθεσμον ἑορτὴν ἐξευρόντα, τὴν λεγομένην παρ' αὐτοῦ Μονοποδαρίαν, καὶ Ἡλίαν, τὸν ἐκείνου, κατὰ τὴν ἀσέβειαν, ȣ̓κ ἐλάττονα, Βενιαμίν τε καὶ Ζεβεδαῖον, Ἀβράμιον καὶ Συμπλίκιον, καὶ τȣ̀ς λοιπȣ́ς. Καὶ ἐπὶ πᾶσι τȣ́τοις ἀναθεματίζω καὶ καταναθεματίζω τὸν παρὰ Ἰουδαίων προσδοκώμενον, ὡς Χριςὸν, ἐλεύσεσθαι Μεσσίαν, εἴτ' ȣ̓̃ν Ἠλιμμένον· μᾶλλον δὲ Ἀντίχριστον ἐκεῖνον εἶναι ὁμολογῶ, καὶ ἀποτάσσομαι αὐτῷ. Ἀποτασσόμενος δὲ τὰ Ἰουδαϊκὰ πάντα τὰ σκιώδη καὶ πεπερασμένα, συντάσσομαι τῷ ἀληθινῷ Θεῷ καὶ μόνῳ Χριστῷ, καὶ πιστεύω εἰς Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα, τὴν ἁγίαν ὁμοούσιον καὶ ἀδιαίρετον Τριάδα· καὶ τὴν ἔνσαρκον Οἰκονομίαν, καὶ τὴν πρὸς ἀνθρώπους ἐπιδημίαν ὁμολογῶ τοῦ τῆς ἁγίας Τριάδος ἑνὸς μονογενοῦς Υἱοῦ καὶ Λόγȣ τοῦ Θεοῦ, τοῦ ἐκ τοῦ Πατρὸς πρὸ πάντων τῶν αἰώνων γεννηθέντος, δἰ οὗ τὰ πάντα ἐγένετο. Αὐτὸν ὑπάρχειν πιστεύω τὸν παρὰ τοῦ νόμου καὶ τῶν Προφητῶν προκηρυχθέντα Μεσσίαν· ὃν καὶ ἤδη ἐλθόντα ἐπὶ γῆς πληροφοροῦμαι, διὰ τοῦ ἀνθρωπίνου γένους τὴν σωτηρίαν, καὶ γενέσθαι κατὰ ἀλήθειαν ἄνθρωπον, μὴ ἐκστάντα τῆς οἰκείας Θεότητος, καὶ εἶναι αὐτὸν Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς, ἀσυγχύτως, ἀτρέπτως, καὶ ἀναλλοιώτως, ἐν ὑποστάσει μιᾷ καὶ δυσὶ φύσεσιν· ἑκουσίως τὰ πάντα παθεῖν, καὶ σταυρωθῆναι σαρκὶ, τῆς Θεότητος ἀπαθοῦς μεινάσης, καὶ ταφῆναι, καὶ τριήμερον ἀναστῆναι, καὶ εἰς οὐρανοὺς ἀναληφθῆναι· ὃς καὶ ἥξει ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς. Καὶ τὴν κατὰ σάρκα τοῦτον τεκοῦσαν ἁγίαν Παρθένον Μαρίαν, καὶ μείνασαν μετὰ τόκον παρθένον, κυρίως καὶ ἀληθῶς Θεοτόκον πιστεύω καὶ λέγω, ὡς κατὰ ἀλήθειαν Μητέρα Θεοῦ ἐνανθρωπήσαντος, καὶ διὰ τοῦτο Κυρίαν καὶ Δέσποιναν γεγενημένην πάσης τῆς κτίσεως. Προσκυνῶ καὶ τιμῶ καὶ τὸν παρὰ Χριστιανοῖς ἱερουργούμενον Ἄρτον καὶ Οἶνον, ὃν ἐν ταῖς θείαις τελεταῖς μεταλαμβάνουσι· πείθομαι καὶ ὁμολογῶ καὶ πιστεύω Σάρκα καὶ Αἷμα κατὰ ἀλήθειαν εἶναι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, μεταβαλλόμενον τῇ ἐκείνου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Θεϊκῇ δυνάμει, ὑπὲρ πᾶσαν φυσικὴν ἔννοιαν, ὡς οἶδε μόνος αὐτός· καὶ οὕτω κἀγὼ μεταλήψεσθαι τούτων τῶν Μυστηρίων συντίθεμαι, εἰς ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ζωὴν τὴν αἰώνιον, καὶ Βασιλείας ȣρανῶν κληρονομίαν, ἣν χαρίζεται τοῖς ἐξ αὐτῶν τῶν Μυστηρίων ἐν πίστει τελείᾳ μετέχουσι καὶ μεταλαμβάνουσι. Καὶ τὸ ἅγιον τοῦ Χριστοῦ Βάπτισμα, μετὰ καθαρᾶς καὶ ἀδόλου ψυχῆς καὶ καρδίας καὶ πίστεως εἰλικρινȣ̃ς, ἐπιζητῶ δέξασθαι, πληροφορȣ́μενος ἀληθῶς κάθαρσιν αὐτὸ νοητὴν εἶναι, καὶ ἐξάλειψιν τοῦ προπατορικȣ̃ ἁμαρτήματος, καὶ ἀναγέννησιν ψυχῆς τε σώματος. Καὶ τὸν σεβάσμιον δὲ Σταυρὸν τοῦ αὐτοῦ ἀληθινοῦ Χριϛοῦ καὶ Θεοῦ ἡμῶν, ὡς οὐκέτι φθορᾶς ὄργανον καὶ ἀρᾶς, ἀλλ' ἐλευθερίας καὶ ζωῆς αἰωνίου, καὶ σημεῖον τῆς κατὰ θανάτου καὶ τοῦ διαβόλου νίκης· ἔτι δὲ καὶ τὰς σεβασμίας Εἰκόνας τῆς τε μετὰ σαρκὸς πρὸς ἀνθρώπους ἐπιφανείας τοῦ Θεοῦ Λόγου, καὶ τῆς ἀφράστως αὐτὸν τεκούσης ἁγνῆς Παρθένου καὶ Θεοτόκου, καὶ τῶν Θεοειδῶν Ἀγγέλων, καὶ τῶν Ἁγίων πάντων, ὡς σύμβολα τῶν πρωτοτύπων, καὶ δέχομαι καὶ τιμῶ καὶ σχετικῶς προσκυνῶ καὶ ἀσπάζομαι· αὐτοὺς δὲ τοὺς ἱεροὺς Ἀγγέλους, καὶ τοὺς Ἁγίους πάντας, οὐ μόνον Προπάτορας καὶ Προφήτας, ἀλλὰ καὶ Ἀποστόλους καὶ Μάρτυρας καὶ Ὁμολογητὰς καὶ Διδασκάλȣς καὶ Ὁσίους, καὶ πάντας ἁπλῶς τοὺς τῷ ἤδη ἐλθόντι Χριϛῷ εὐαρεϛήσαντας, ὡς δούλους ἐκείνου καὶ πιϛοὺς θεράποντας, τιμῶ καὶ σεβάζομαι, διὰ τὴν πρὸς ἐκεῖνον τιμήν· καὶ ὄντως ἐξ ὅλης ψυχῆς καὶ καρδίας, καὶ προαιρέσεως ἀληθοῦς, προσέρχομαι ἀναγεννηθῆναι διὰ τῆς χάριτος τοῦ ἁγίȣ Βαπτίσματος· καὶ χριστιανίσαι θέλω μετὰ πίστεως καὶ ἀγάπης πολλῆς, ἀποθέμενος τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον, καὶ ἐνδυσάμενος τὸν νέον, τὸν ἀνακαινȣ́μενον διὰ λȣτροῦ παλιγγενεσίας. Εἰ δὲ μεθ' ὑποκρίσεως καὶ δόλου ταῦτα φημὶ, καὶ οὐκ ἐκ πίστεως εἰλικρινοῦς καὶ ὁλοψύχου καρδίας, τὸν ἤδη ἐλθόντα Χριστὸν ἀγαπώσης, ἀλλ' ὡς βουλόμενος ἀμύνασθαι Χριστιανοῖς, ἐντεῦθεν ὡς ζηλωτὴς τοῦ παλαιοῦ νόμου, ἄρτι μὲν σχηματίζομαι Χριστιανὸς, ὕστερον δὲ θελήσω ἀρνήσασθαι, καὶ πρὸς τὴν Ἰουδαϊκὴν ἐπιϛρέψαι πάλιν θρησκείαν,
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ἢ εὑρεθῶ συνεσθίων τοῖς Ἰουδαίοις, ἢ συνεορτάζων, ἢ συνομιλῶν αὐτοῖς λάθρα, καὶ τὸν Χριστιανισμὸν καταβάλλων, ἢ πρὸς τὰς Συναγωγὰς αὐτῶν καὶ προσευχὰς ἀπιὼν, ἢ ἀνανεῶν, ἢ περιποιούμενος ταύτας, καὶ οὐχὶ μᾶλλον φανερῶς ἐλέγχων τούτους καὶ τὰς τούτων πράξεις, καὶ ἀθετῶν τὴν ματαίαν πίστιν αὐτῶν καὶ θρησκείαν· νῦν ἔλθοιεν ἐπ' ἐμὲ πᾶσαι αἱ κατάραι, ἃς ἐν τῷ Δευτερονομίῳ Μωσῆς ἔγραψε, καὶ ὁ τρόμος τοῦ Καΐν, καὶ ἡ λέπρα τοῦ Γιεζῆ· πρὸς δὲ, καὶ τὸ ταῖς ποιναῖς τῶν πολιτικῶν νόμων εἶναί με ὑπεύθυνον ἀπαραιτήτως· κατὰ δὲ τὸν μέλλοντα αἰῶνα εἴη μοι τὸ ἀνάθεμα, καὶ ἡ ψυχή μου ταχθείη μετὰ τοῦ Σατανᾶ, καὶ τῶν πονηρῶν δαιμόνων, ἐν πυρὶ ἀσβέστῳ καὶ σκότει ἐξωτέρῳ.

Μετὰ δὲ τὴν ὁλοψύχως ὁμολογίαν ταύτην, βαπτίζεται ὁ ἐξ Ἰουδαίων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΑΙ ΑΠΟΛΥΣΕΙΣ

## ΤΩΝ ΔΕΣΠΟΤΙΚΩΝ ΕΟΡΤΩΝ

Λεγόμεναι εἰς τὸν Ἑσπερινὸν, εἰς τὸν Ὄρθρον, καὶ εἰς τὴν Λειτουργίαν, κατὰ τάξιν.

ΕΙΣ ΤΗΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ.

Ο ἐν σπηλαίῳ γεννηθεὶς, καὶ ἐν φάτνῃ ἀνακλιθεὶς, διὰ τὴν ἡμῶν σωτηρίαν.

ΕΙΣ ΤΗΝ ΠΕΡΙΤΟΜΗΝ.

Ο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι κατεδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

ΕΙΣ ΤΑ ΑΓΙΑ ΘΕΟΦΑΝΕΙΑ.

Ο ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ.

Ο ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΪΩΝ.

Ο ἐπὶ πώλου ὄνου καθεσθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν.

ΤΗ ΔΕΥΤΕΡΑ, ΤΡΙΤΗ, ΚΑΙ ΤΕΤΑΡΤΗ
ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΒΔΟΜΑΔΟΣ.

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον Πάθος, διὰ τὴν ἡμῶν σωτηρίαν.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ.

Ο δι᾽ ὑπερβάλλουσαν ἀγαθότητα, ὁδὸν ἀρίστην, τὴν ταπείνωσιν, ὑποδείξας ἐν τῷ νίψαι τοὺς πόδας τῶν Μαθητῶν, καὶ μέχρι Σταυροῦ καὶ Ταφῆς συγκαταβὰς ἡμῖν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ὁ ἐμπτυσμοὺς, καὶ μάστιγας, καὶ κολαφισμοὺς, καὶ σταυρὸν, καὶ θάνατον ὑπομείνας, διὰ τὴν τοῦ κόσμου σωτηρίαν.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ.

Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, τὰ φρικτὰ Πάθη, καὶ τὸν ζωοποιὸν Σταυρὸν, καὶ τὴν ἑκούσιον Ταφὴν σαρκὶ καταδεξάμενος.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ,
ΚΑΙ ΠΑΣΑΙΣ ΤΑΙΣ ΚΥΡΙΑΚΑΙΣ ΤΟΥ ΧΡΟΝΟΥ.

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν.

ΤΗ ΠΕΜΠΤΗ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανοὺς, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ, ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους.

ΤΗ ΑΥΤΗ ΚΥΡΙΑΚΗ, ΕΣΠΕΡΑΣ.

Ὁ ἐκ τῶν Πατρικῶν κόλπων κενώσας ἑαυτὸν, καὶ τὴν ἡμετέραν ὅλην ἀνθρωπείαν προσλαβόμενος φύσιν, καὶ θεώσας αὐτὴν, μετὰ δὲ ταῦτα εἰς οὐρανοὺς αὖθις ἀνελθὼν, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρὸς, τό,τε θεῖον, καὶ ἅγιον, καὶ ὁμοούσιον, καὶ ὁμοδύναμον, καὶ ὁμόδοξον, καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, καὶ διὰ τούτου φωτίσας μὲν αὐτοὺς, δι' αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν· ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· τῶν ἁγίων, ἐνδόξων, πανευφήμων, Θεοκηρύκων, καὶ Πνευματοφόρων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, διὰ τὴν ἑαυτοῦ ἀγαθότητα. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ.

Ὁ ἐν τῷ Ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ ἐνώπιον τῶν ἁγίων αὐτοῦ Μαθητῶν καὶ Ἀποστόλων.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΕΡΜΗΝΕΙΑ ΤΩΝ ΟΦΦΙΚΙΩΝ

## ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ,

### Α ΔΙΗΡΜΗΝΕΥΘΗΣΑΝ ΚΑΤΑ ΤΑΞΙΝ.

## ΧΟΡΟΣ ΔΕΞΙΟΣ.

ΠΕΝΤΑΣ ΠΡΩΤΗ.

Α΄. Ὁ Μέγας Οἰκονόμος.
Β΄. Ὁ Μέγας Σακελλάριος.
Γ΄. Ὁ Μέγας Σκευοφύλαξ.
Δ΄. Ὁ Χαρτοφύλαξ.
Ε΄. Ὁ Σακελλίου.

ΠΕΝΤΑΣ ΔΕΥΤΕΡΑ.

Α΄. Ὁ Πρωτονοτάριος.
Β΄. Ὁ Καστρήνσιος.
Γ΄. Ὁ Ῥεφερενδάριος.
Δ΄. Ὁ Λογοθέτης.
Ε΄. Ὁ Ὑπομνηματογράφος.

ΠΕΝΤΑΣ ΤΡΙΤΗ.

Α΄. Ὁ Πρωτέκδικος.
Β΄. Ὁ Ἱερομνήμων.
Γ΄. Ὁ ἐπὶ τῶν γονάτων.
Δ΄. Ὁ Ὑπομιμνήσκων.
Ε΄. Ὁ Διδάσκαλος.

## ΧΟΡΟΣ ΕΥΩΝΥΜΟΣ.

Ὁ Πρωτοπαπᾶς.
Ὁ Δευτερεύων.
Ὁ Ἄρχων τῶν Ἐκκλησιῶν.
Ὁ Ἔξαρχος.
Ὁ Κατηχητής.
Ὁ Περιοδευτής.
Ὁ Βουτιστής.
Οἱ δύω Ἔκδικοι.
Οἱ δύω Δομέστικοι.
Οἱ δύω Λαοσυνάπται.
Οἱ δύω Πριμικήριοι.
Ὁ Πρωτοψάλτης.
Ὁ Πρώξιμος.
Ὁ Δεπουτάτος.
Οἱ Θεώριοι.
Οἱ ἐπὶ τῆς Εὐταξίας.
Ὁ Κατηγοριάρης.
Ὁ Δεκανός.
Ὁ Κουβούκλης.
Οἱ Λαμπαδάριοι.
Ὁ Περιεισερχόμενος.
Ὁ Βασταγάριος.
Ὁ Μυροδότης.

Ὁ Μέγας Ἀρχιδιάκονος καὶ ὁ δεύτερος τῶν Διακόνων οὐ τάσσονται μετὰ τῶν Ἀρχοντικίων τῆς ἁγίας Ἐκκλησίας, ἀλλ' Ὀφφίκια εἰσὶ καὶ μόνα.

Γίνωσκε δὲ τοῦτο, ὅτι εἴτις ἔχει ἀπὸ τὰς τρεῖς σφραγίδας ταύτας, δύναται εἰσελθεῖν εἰς οἷον Ὀφφίκιον καὶ Κληρικάτον, οἷον Ἀναγνώστης, Ὑποδιάκονος, καὶ Ἱεροδιάκονος· ὁμοίως δὲ καὶ ὁ Ἀρχιδιάκονος, καὶ ὁ Δευτερεύων τῶν Διακόνων· οὐκ ὀφείλει γὰρ εἶναι τὸν Ἱερέα Κληρικόν· διότι τοῖς Ἱερεῦσιν ἔταξεν ὁ Κανὼν ἱερουργεῖν τὴν ἀναίμακτον Θυσίαν, καὶ οὐκ οἰκέτας τοῦ Ἀρχιερέως εἶναι. Τὰ γὰρ Ἀρχοντίκια καὶ Ὀφφίκια τῆς Μεγάλης Ἐκκλησίας εἰς ὑπηρεσίαν τῷ Ἀρχιερεῖ γεγόνασι, καὶ εἰς κρίσιν τῶν ἐν βίῳ προσαγομένων· καὶ διερμηνεύονται κατὰ τάξιν ἐν ἕκαστον, κατὰ τὴν αὐτῶν ἐνέργειαν καὶ ὑπηρεσίαν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

## ΠΕΝΤΑΣ Η ΠΡΩΤΗ.

### Περὶ τοῦ Μεγάλου Οἰκονόμου.

Ὁ Μέγας Οἰκονόμος, φορῶν τὸ Στοιχάριον αὐτοῦ, ἵσταται ἐν τῷ δεξιῷ μέρει τῆς ἁγίας Τραπέζης, ὅταν λειτουργῇ ὁ Ἀρχιερεὺς, βαστῶν τὸ ἅγιον Ῥιπίδιον· λαμβάνων τε εἰσόδους καὶ ἐξόδους καὶ λογαριασμοὺς ἐν τῇ Ἐπισκοπῇ. Ἔστιν οὖν καὶ ἐπὶ πᾶν κτῆμα, κρατῶν καὶ Χαρτουλάρην, καὶ ἀναγράφει τὰ τῆς Ἐπισκοπῆς εἰσερχόμενα πράγματα, καὶ δὶς τοῦ ἐνιαυτοῦ ἀναφέρει τῷ Ἀρχιερεῖ· ἔστι δὲ καὶ εἰς τὰς κρίσεις, προσφέρων καὶ τὸν μέλλοντα χειροτονηθῆναι Ἱερέα· ὑποκρατῶν καὶ τὴν Ἐπισκοπὴν μετὰ τὴν παρέλευσιν τοῦ Ἀρχιερέως, μέχρις ἐλεύσεως τοῦ ἐρχομένου. Ἔστιν οὖν καὶ ἐπὶ ψήφους τοῦ Ἐπισκόπου πρῶτος, διανέμων καὶ τὰ δικαιώματα τοῖς ἀδελφοῖς αὐτοῦ, ἐκ τῶν εἰσερχομένων δικαίων τῆς Ἐπισκοπῆς.

Ὁ Μέγας Σακελλάριος, φορῶν τὸ Στοιχάριον αὐτοῦ καὶ τὸ Ὠράριον, ἵσταται ἐν τῷ εὐωνύμῳ μέρει τῆς ἁγίας Τραπέζης, βαστῶν τὸ ἅγιον Ῥιπίδιον. Ἔχει οὖν τὰ Μοναστήρια τὰ ἀνδρικὰ τῆς Ἐπισκοπῆς εἰς τὴν αὐτοῦ ἐπίσκεψιν, κρατῶν καὶ Χαρτουλάριον, καὶ ἀναγυρεύει τὰς τῶν Μοναστηρίων εἰσόδους καὶ ἐξόδους, βίους, καὶ πολιτείας τῶν Μοναχῶν· καὶ τρὶς τοῦ ἐνιαυτοῦ ἀναφέρει τῷ Ἀρχιερεῖ. Ἔστι δὲ καὶ εἰς τὰς κρίσεις, προσφέρων καὶ τὸν μέλλοντα χειροτονηθῆναι εἰς Ἱερέα, ἱστάμενος πλησίον τοῦ Μεγάλου Οἰκονόμου.

Ὁ Μέγας Σκευοφύλαξ ἵσταται, ὅταν λειτουργῇ ὁ Ἀρχιερεὺς, ἔμπροσθεν τοῦ Σκευοφυλακίου· καὶ εἴτι δ' ἂν ζητηθῇ ἐκ τοῦ Σκευοφυλακίου, ἤτοι σκεῦος, βιβλίον ἱερὸν, κηροὶ, καὶ ἀλλαγαὶ, αὐτὸς ἀποδίδωσιν, ὑποκρατῶν καὶ τὸ Σκευοφυλάκιον τῆς Ἐπισκοπῆς, καὶ πᾶν σκεῦος τῆς Ἐκκλησίας· ἔχων δὲ καὶ τὰς χηρευομένας Ἐκκλησίας εἰς τὴν αὐτοῦ ἐπίσκεψιν, καὶ τὰ ἱερὰ αὐτῶν πάντα. Ἔστι δὲ καὶ εἰς κρίσεις, φυλάττων καὶ τὰ δίκαια τῶν εἰσερχομένων εἰς τὴν Ἐκκλησίαν διὰ τοὺς Κληρικοὺς, μέχρι τοῦ διανέμειν αὐτοῖς ταῦτα.

Ὁ Χαρτοφύλαξ ἵσταται πλησίον τῶν ἁγίων Θυρῶν, καὶ ἐν τῇ ἁγίᾳ Μεταλήψει αὐτὸς λέγει· Ἱερεῖς, προσέλθετε· προσφέρων καὶ τὸ, Ψήφῳ κ.τ.λ. (*) τοῦ Ἐπισκόπου τοῖς Ἀρχιερεῦσιν. Ἔστι δὲ καὶ ἐκ προσώπου τοῦ Ἀρχιερέως εἰς πᾶσαν κρίσιν διδόναι τὰς ἀποφάσεις. Ἔστιν οὖν καὶ εἰς τὰς μνηστείας, καὶ ἀῤῥαβῶνας, τὰ γινόμενα ὑπ' αὐτοῦ, καὶ ἀναγράφει περὶ τοῦ Ἱερέως τοῦ μέλλοντος εὐλογῆσαι τοὺς γάμους.

Ὁ Σακελλίου ἐστὶν οἰκέτης τῆς πρώτης Πεντάδος, κρατῶν καὶ τὴν φυλακὴν τῆς Ἐπισκοπῆς· ἔχων δὲ καὶ ἐν ἐπισκέψει αὐτοῦ τῶν γυναικείων Μοναστηρίων τὴν σκέψιν.

Οὕτω περιέχει ἡ πρώτη Πεντὰς τῶν Ὀφφικίων.

(*) Τὸν χάρτην, δηλονότι, ἐν ᾧ γέγραπται· Ψήφῳ καὶ δοκιμασίᾳ κ. τ. λ. εἰς τὴν χειροτονίαν τοῦ Ἐπισκόπου.

Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

## ΠΕΝΤΑΣ Η ΔΕΥΤΕΡΑ.

### Ὁ Πρῶτος τῆς δευτέρας Πεντάδος.

Ὁ Πρωτονοτάριος ἵσταται ἐν τῇ Ἐκκλησίᾳ εἰς ὑπηρεσίαν τοῦ Ἀρχιερέως, καὶ δίδωσιν αὐτῷ νίψασθαι ἐν καιρῷ τῆς Λειτουργίας. Γράφει ὁ τοιοῦτος, εἴτις χρῆσις ἐςὶν, οἷον διατάξεις, ἐλευθερίας, προστάγματα, καὶ τὰ τούτοις ὅμοια· ἀναθεωρεῖ δὲ καὶ τοὺς νομικοὺς δὶς τοῦ ἐνιαυτοῦ.

Ὁ Καστρήνσιος ἀλλάσσει τὸν Ἀρχιερέα, καὶ κρατεῖ τὸν Θυμιατὸν, καὶ τὸν Ἀέρα· ἐν δὲ τῷ Τριαδικῷ ὕμνῳ ῥαντίζει τὸν λαὸν Ἁγιάσματι. Φυλάττει τὰ τοῦ Ἀρχιερέως ἀξιώματα, καὶ κρατεῖ τὸ Κιβώτιον τῶν ἀρωμάτων.

Ὁ Ῥεφερενδάριος, ἀποςελλόμενος εἰς Ἄρχοντας, καὶ εἰς μεγάλους ἀνθρώπȣς παρὰ τοῦ Ἀρχιερέως, μηνύματα, καὶ εἴτι ἂν βούληται, ἀναφέρει.

Ὁ Λογοθέτης, ὑποκρατῶν τὴν Βοῦλλαν τοῦ Ἀρχιερέως, σφραγίζει πᾶσαν γραφὴν, κρατῶν καὶ τὸν δίσκον μετὰ τοῦ ἁγίου Ἀντιδώρου ἐν τῇ Ἐκκλησίᾳ, διδομένου τοῦ κατακλαστοῦ παρὰ τοῦ Ἀρχιερέως.

Ὁ Ὑπομνηματογράφος, καθεζόμενος εἰς τὰς ψήφους τῶν Ἐπισκόπων, γράφει εἴτι αὐτῷ ὁρίσωσιν οἱ Ἀρχιερεῖς. Ἔστι δὲ καὶ οἰκέτης τῆς δευτέρας Πεντάδος.

---

## ΠΕΝΤΑΣ Η ΤΡΙΤΗ.

### Ὁ Πρῶτος τῆς τρίτης Πεντάδος.

Ὁ Πρωτέκδικος, κριτὴς ἐκ προσώπου τοῦ Ἀρχιερέως, κρίνει ὑποθέσεις μικρὰς μετὰ τῶν δύω Ἐκδίκων, τὰς εἰσερχομένας εἰς τὴν Ἐπισκοπήν.

Ὁ Ἱερομνήμων κρατεῖ ἐν τῇ φυλακῇ αὐτοῦ τὸν Κώδηκα τῆς Ἐκκλησίας· καὶ εἰ μὲν οὐκ ἔστιν Ἐπίσκοπος, μέλει αὐτῷ σφραγίζειν Ἀναγνώστας, καὶ ἐγκαινίζειν Ἐκκλησίας καινάς.

Ὁ ἐπὶ τῶν γονάτων, ὅταν ἱερουργῇ ὁ Ἀρχιερεὺς, φορεῖ αὐτῷ τὸ Ἐπιγονάτιον, κρατῶν καὶ τὸν δίσκον μετὰ τοῦ ἁγίου Ἀντιδώρου ἐν τῇ Ἐκκλησίᾳ, διδομένου τοῦ κατακλαστοῦ παρὰ τοῦ Ἀρχιερέως.

Ὁ Ὑπομιμνήσκων, δεχόμενος τὰς ὑπομνήσεις τῶν ὑπομνημάτων, τὰς εἰσερχομένας εἰς τὴν ἁγίαν Ἐκκλησίαν, ἀναφέρει αὐτὰς τῷ Ἀρχιερεῖ.

Ὁ Διδάσκαλος ἑρμηνεύει τὸ ἅγιον Εὐαγγέλιον, ὅταν ἱερουργῇ ὁ Ἀρχιερεὺς, ὁμοίως καὶ τὸ Ψαλτήριον· κρατῶν καὶ τὰ διδασκαλεῖα τῆς Ἐπισκοπῆς. Ἔστι καὶ οἰκέτης τῆς Τρίτης Πεντάδος.

Ἴσθι οὖν καὶ αὐτὸ, εἰς τὴν τῶν Κληρικῶν διάκρισιν, ὅτι τὸ μὲν ἅγιον Εὐαγγέλιον τῆς Βαϊοφόρου λέγει ὁ Πρωτονοτάριος· τῆς μεγάλης Δευτέρας, ὁ Ἱερομνήμων· τῆς μεγάλης Τρίτης, ὁ Καστρήνσιος· τῆς μεγάλης Τετάρτης, ὁ Σακελλάριος· τῆς μεγάλης Πέμπτης, ὁ Χαρτοφύλαξ· τοῦ μεγάλου Σαββάτου, ὁ Σκευοφύλαξ· τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, λέγει ὁ Μέγας Οἰκονόμος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Σάμου

## ΧΟΡΟΣ Ο ΕΥΩΝΥΜΟΣ.

Ὁ Πρωτοπαπᾶς, ὅταν λειτουργῇ ὁ Ἀρχιερεύς, ἵσταται ἐπάνω τῶν Ἀρχόντων πάντων τῆς Ἐκκλησίας· καὶ ἐν τῇ θείᾳ Λειτουργίᾳ μεταδίδωσι τοῖς Ἱερεῦσι τὴν ἁγίαν Μετάληψιν· ὁμοίως δὲ ὁ Ἐπίσκοπος τῷ Πρωτοπαπᾷ. Ἄρχει δὲ τῶν πρωτείων τῆς Ἐκκλησίας, καὶ ἐπέχει ἐν τῇ Ἐκκλησίᾳ τὸν τόπον τοῦ Ἀρχιερέως.

Ὁ Δευτερεύων, ἀπόντος τοῦ Πρωτοπαπᾶ, κρατεῖ τὸν τόπον αὐτοῦ.

Ὁ Ἄρχων τῶν Ἐκκλησιῶν γράφει τὰ Ἀντιμίνσια καὶ τὰ Σταυροπήγια.

Ὁ Ἔξαρχος ἀναθεωρεῖ τὰς κρίσεις τῆς ἁγίας Ἐκκλησίας, εἰ ἐκρίθησαν δικαίως.

Ὁ Κατηχητὴς κατηχίζει τὸν λαόν, καὶ πάντας τοὺς ἐρχομένους ἐκ τῶν ἑτεροδόξων εἰς τὴν Ὀρθόδοξον Πίστιν, καὶ μέλλοντας βαπτισθῆναι.

Ὁ Περιοδευτὴς περιπατεῖ, καὶ ὁδηγεῖ τοὺς θέλοντας εἰσελθεῖν εἰς τὴν Ὀρθόδοξον Πίστιν.

Οἱ δύω Ἔκδικοι κρίνουσι μετὰ τοῦ Πρωτεκδίκου μικρὰς ὑποθέσεις.

Ὁ Βουτιστής, μετὰ τὸ εἰπεῖν τὸν Ἱερέα τὰς Εὐχὰς τῆς Βαπτίσεως, λαμβάνει τὸ παιδίον, καὶ βαπτίζει αὐτό.

Οἱ δύω Δομέστικοι ἵστανται ἐν τοῖς δύω Χοροῖς, καὶ ψάλλουσι μετὰ τοῦ Πρωτοψάλτου.

Οἱ δύω Λαοσυνάκται συνάγουσι τοὺς Ἄρχοντας καὶ τὸν λαὸν εἰς τὴν Ἐκκλησίαν.

Οἱ δύω Πριμικήριοι ἵστανται καὶ αὐτοὶ ἐπάνω τῶν Ὑποδιακόνων, καὶ ψάλλουσι μετὰ τοῦ Πρωτοψάλτου.

Ὁ Πρωτοψάλτης ἵσταται μέσον τῆς Ἐκκλησίας, καὶ ἄρχεται τῆς ψαλμῳδίας, καὶ μετὰ τούτου οἱ Δομέστικοι καὶ οἱ Πριμικήριοι.

Ὁ Πρόξιμος κελεύει, ἵνα σημαίνωσιν ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ.

Ὁ Δεπουτάτος καλεῖ τοὺς Ἄρχοντας εἰς τὸν Ἀρχιερέα, καὶ τὸν ὄχλον μεθίστησιν ἀπὸ τῆς ὁδοῦ.

Οἱ Θεώριοι, ἵνα θεωρῶσι καὶ σκοπεύωσιν, ὅπως καθαρίζωνται, καὶ εἰστήκωσιν εὐτάκτως.

Οἱ ἐπὶ τῆς Εὐταξίας, ἵνα ὁρίζωσιν, ὅπως φιλοκαλῶσι καὶ πλύνωσι τὰς κανδήλας.

Ὁ Κατηγοριάρης, ἵνα ὑπομιμνήσκῃ τὰς ἐπισήμους Ἑορτὰς τῷ λαῷ, ἵνα σχολάζωσιν.

Ὁ Δεκανός, ἵνα καλῇ τοὺς Ἱερεῖς εἰς τὰ αὐτῶν δικαιώματα, καὶ προσφοράς.

Ὁ Κουβούκλης, ἵνα βαστάζῃ τὸ Δεκανίκιον τοῦ Ἀρχιερέως, ὅταν περιπατῇ.

Οἱ Λαμπαδάριοι, ἵνα καθαρίζωσι τὰς λαμπάδας εἰς τὴν Ἐκκλησίαν.

Ὁ Περιεισερχόμενος, ἵνα φέρῃ λαμπρὸν εἰς τὴν Ἐκκλησίαν.

Ὁ Βασταγάριος, ἵνα βαστᾷ τὸν τῆς Ἐκκλησίας Ἅγιον, εἰς λιτὰς καὶ ἑορτὰς ἐπισήμους.

Ὁ Μυροδότης, ἵνα ὑποκρατῇ τὸ ἅγιον Μύρον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἰστέον οὖν, ὅτι ὁ Ἀρχιδιάκονος καὶ ὁ Δεύτερος τῶν Διακόνων, ταῦτα οὐκ εἰσὶν Ἀρχοντίκια, ἀλλὰ Ὀφφίκια μόνον. Καὶ ὅταν λειτουργῇ ὁ Ἀρχιερεύς, λέγει ὁ Ἀρχιδιάκονος τὸ ἅγιον Εὐαγγέλιον· εἰ δὲ οὐ θέλει αὐτός, ὁρίζει ἄλλον, οἷον θέλει.

Ὁ Δεύτερος τῶν Διακόνων, ὅταν λείπῃ ὁ Ἀρχιδιάκονος, ὁρᾷ τὸν τόπον αὐτοῦ.

Ἴσθι δὲ καὶ τοῦτο, ὅτι τὸ Συνοδικὸν καὶ τὴν Ἀνάγνωσιν ἅπασαν ὁ Χαρτοφύλαξ ἀναγινώσκει. Εἰ δὲ οὐκ ἔστι Χαρτοφύλαξ, οἷος πρωτεύει τῶν ἀξιωμάτων. Καὶ διερμηνευόμενα τὰ μηναῖα τῶν Κληρικῶν, ἡ πρώτη Πεντάς, τὰ διπλᾶ· ἡ δευτέρα Πεντάς, ἓν ἥμισυ· ἡ τρίτη Πεντάς, ἓν τέταρτον. Ἄρχεται οὖν ὁ Πρωτοπαπᾶς εἰς τὰ διπλᾶ τοῦ εὐωνύμου Χοροῦ.

**Αὕτη ἐστὶν ἡ διάταξις τῆς Ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, ἥν περ ἐνομοθέτησαν οἱ ἁγιώτατοι Πατριάρχαι καὶ Οἰκουμενικοὶ Πατέρες παρὰ τῶν ἁγίων Συνόδων, καὶ ἀνέθηκαν αὐτὴν τῇ Ἐκκλησίᾳ, τοῦ ποιεῖν οὕτω.**

ΤΕΛΟΣ

ΤΩ ΔΕ ΘΕΩ ΔΟΞΑ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

# ΠΙΝΑΞ ΤΑΚΤΙΚΩΤΕΡΟΣ

ΠΡΟΣ ΕΥΚΟΛΩΤΕΡΑΝ ΕΥΡΕΣΙΝ

ΤΩΝ ΕΝ ΤΗ ΙΕΡΑ ΤΑΥΤΗ ΒΙΒΛΩ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.


Διάταξις τῆς Ἱεροδιακονίας. Σελ. 1

## Περὶ Ἑσπερινοῦ καὶ Ὄρθρου.

Ἀκολουθία τοῦ Ἑσπερινοῦ, ἤτοι τοῦ Λυχνικοῦ. 13

— τοῦ Ὄρθρου. 24

## Περὶ Θείας Λειτουργίας.

Διάταξις τῆς Θείας καὶ Ἱερᾶς Λειτουργίας. 33

Ἑρμηνεία σύντομος περὶ τοῦ, Τίνα τὰ δεξιὰ μέρη τοῦ Ἁγίου Ἄρτου. 42

Ἡ Θεία Λειτουργία Ἰωάννου τοῦ Χρυσοστόμου. 44

— τοῦ Μεγάλου Βασιλείου. 70

Ἀκολουθία τῶν Προηγιασμένων τῆς Ἁγίας καὶ Μεγάλης Τεσσαρακοστῆς. 92

Ἑρμηνεία περὶ τῆς Θείας Λειτουργίας τῶν Προηγιασμένων. 99

Ἡ Θεία Λειτουργία τῶν Προηγιασμένων. 102

Ἀπολύσεις τῶν Δεσποτικῶν Ἑορτῶν. 680

## Εἰς Γυναῖκα Λεχώ.

Εὐχαὶ εἰς Γυναῖκα Λεχώ, τῇ πρώτῃ ἡμέρᾳ τῆς γεννήσεως τοῦ Παιδίου αὐτῆς. 112

Εὐχὴ εἰς τὸ κατασφραγίσαι Παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ. Σελ. 114

— εἰς Γυναῖκα Λεχὼ μετὰ τεσσαράκοντα ἡμέρας· καὶ εἰς τὸ ἐκκλησιάσαι Παιδίον. 115

— εἰς Γυναῖκα, ὅταν ἀποβάλληται. 119

## Περὶ τοῦ Ἁγίου Βαπτίσματος.

Κανόνες τῶν ἁγίων Ἀποστόλων, καὶ τῶν Θείων Πατέρων περὶ τοῦ Ἁγίου Βαπτίσματος. 120

Εὐχὴ εἰς τὸ ποιῆσαι Κατηχούμενον. 124

Ἀκολουθία τοῦ Ἁγίου Βαπτίσματος. 130

Εὐχαὶ τῆς Ἀπολούσεως μεθ' ἡμέρας ἑπτά. 138

Εὐχὴ εἰς Τριχοκουρίαν. 140

## Περὶ Χειροτονιῶν, καὶ Μοναχικοῦ Σχήματος, καὶ ἑτέρων.

Τάξις ἐπὶ Χειροτονίᾳ Ἀναγνώστου καὶ Ψάλτου. 178

— Ὑποδιακόνου. 179

— Διακόνου. 154

— Πρεσβυτέρου. 157

— Ἐπισκόπου. 160

— Ἐπισκόπου, μετά τινος πλατυτέρας ἐκθέσεως τῶν γινομένων. 162

— Ἐπισκόπου, κατὰ τὴν Ἑρμηνείαν. 169


ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Ἀκολουθία τῦ Μικρῦ Σχήματος, ἤτοι τοῦ Μανδύου. Σελ. 182
— τοῦ Μεγάλου καὶ Ἀγγελικοῦ Σχήματος. 192
Εὐχὴ εἰς τὸ ἀποκουκουλίσαι. 212
Τάξις ἐπὶ προχειρίσει Ἡγεμένε. 174
— ἐπὶ χειροτονίᾳ Ἐκκλησιάρχου, ἢ Κελλαρίτου. 177
— εἰς τὸ γενέσθαι Ἀρχιδιάκονον, ἢ Μέγαν Οἰκονόμον, ἢ Πρωτοπρεσβύτερον. 338
Ἀκολουθία ὅταν ποιῇ ὁ Ἀρχιερεὺς Πνευματικόν. 213
— εἰς Ἀρχάριον Ῥασοφορῦντα. 181
Εὐχὴ εἰς τὸν εἰσερχόμενον εἰς διακονίαν Ἐκκλησιαστικήν. 178


## Περὶ Ἀῤῥαβῶνος, καὶ Στεφανώματος.


Ἀκολουθία τοῦ Ἀῤῥαβῶνος. 231
— τοῦ Στεφανώματος. 235
Εὐχαὶ ἐπὶ λύσιν Στεφάνων. 245
Κεφάλαιον Νικηφόρου Πατριάρχου Κωνσταντινουπόλεως περὶ Διγάμων. 246
Ἀκολουθία εἰς Δίγαμον. αὐτόθι.


## Περὶ Ἐξομολογουμένων.


Ἀκολουθία τῶν Ἐξομολογουμένων. 214
Εὐχὴ ἐπὶ Μετανοούντων. 217
— ἐπὶ τῶν ἐν ἐπιτιμίοις ὄντων, καὶ ἑαυτοὺς ὅρκῳ δεσμούντων. 216
— ἐπὶ τῶν ἐξ ἐπιτιμίων λυομένων. 217


## Περὶ τοῦ Ἁγίου Ἐλαίου.


Ἀκολουθία τοῦ Ἁγίου Ἐλαίου. 253


## Ἀκολουθίαι καὶ Εὐχαὶ Νεκρώσιμα.


Ἀκολουθία εἰς Ψυχοῤῥαγοῦντα. 379
Εὐχὴ εἰς Ψυχοῤῥαγοῦντα. Σελ. 327
— εἰς ψυχὴν κρινομένην. αὐτόθι.
— μετὰ θάνατον Συγχωρητική. 219
Εὐχαὶ Συγχωρητικαὶ εἰς πᾶσαν ἀρὰν καὶ ἀφορισμὸν, εἰς Τεθνεῶτας. αὐτόθι.
Ἀκολουθία Νεκρώσιμος εἰς Κοσμικούς. 384
— εἰς τοὺς αὐτούς. 461
— τοῦ Ἐξοδιαστικοῦ τῶν Μοναχῶν. 411
— εἰς Ἱερέα τελευτήσαντα, μετὰ πλατυτέρας ἐκθέσεως. 426
Κανὼν ἀναπαύσιμος εἰς Νήπια. 468
Ἐκ τῶν Ἀποκρίσεων τοῦ Πατριάρχου κυρίου Θεοδώρου, Πῶς δεῖ θάπτειν τοὺς νεκρούς. 384


## Περὶ Ναοῦ.


Τάξις ἐπὶ Θεμελίῳ Ἐκκλησίας. 322
Ἀκολουθία καὶ Τάξις εἰς Ἐγκαίνια Ναοῦ. 283
Εὐχαὶ τοῦ Ἁγιωτάτου Πατριάρχου Καλλίστου εἰς Ἐγκαίνια Ναοῦ. 281
Τάξις ἐπὶ καθιερώσει Ἀντιμινσίων. 317
— Περὶ τῆς ἁγίας Τραπέζης, ἧς τὰ Ἄμφια διεφθάρησαν. 326
— ἐπὶ σαλευθείσης ἁγίας Τραπέζης. 320
Ἀκολουθία εἰς Ἐγκαίνια Δίσκε καὶ Ποτηρίου καινοῦ. 474
Ἑτέρα, ὁμοία. 475
Εὐχὴ ἐπὶ ἀνοίξει Ἐκκλησίας ὑπὸ αἱρετικῶν βεβηλωθείσης, Ταρασίου Πατριάρχου. 476
— ἐπὶ ἀνοίξει Ναοῦ, βεβηλωθέντος ὑπὸ Ἐθνῶν, ἀλλὰ δὴ καὶ Αἱρετικῶν. 477
Εὐχὴ λεγομένη ἐν τῇ Εἰσόδῳ, πρὸ τῆς συνήθους, ἐπὶ ἀνοίξει Ναοῦ, ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον βιαίως. 478


ΔΗΜΟΣΙΑ ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Περὶ Σταυροπηγίου. Σελ. 328

## Ἀκολουθίαι καὶ Τάξεις εἰς διαφόρους περιστάσεις.

Ἀκολουθία τοῦ Μικροῦ Ἁγιασμοῦ. 330
— ἐπὶ αὐχμῷ ἀνομβρίας. 509
— Περὶ Ὑψώσεως τῆς Παναγίας, ὅταν μέλλῃ τις ἀποδημῆσαι ἐν ταξειδίῳ. 585
— εἰς Παράπλησιν ἀσθενῶν χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων. 372
— εἰς διαφόρους λιτὰς καὶ ἀγρυπνίας Παρακλήσεων. 499
Ἀκολȣθία περὶ τῶν ἀπ' ἀρνήσεως διαφόρων προσώπων καὶ ἡλικιῶν πρὸς τὴν Ὀρθόδοξον καὶ ἀληθῆ Πίςιν ἐπιστρεφόντων. 589
— εἰς Ἱερέα ἐνυπνιασθέντα. 595
— εἰς Υἱοθεσίαν. 601
— εἰς Κάμινον. 603
— εἰς Παῖδας κακοσκόπους. 605
Τάξις ἐν τῇ ἐκπλύσει τοῦ ἁγίας Τραπέζης. 323
— γινομένη, εἰ συμβῇ τι μιαρὸν οἱονδήποτε ἐμπεσεῖν εἰς φρέαρ ὕδατος. 480
— γινομένη, εἰ συμβῇ τι μιαρὸν, ἢ ἀκάθαρτον, προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου, ἢ μέλιτος, ἢ ἄλλου τινός. 481
— γινομένη εἰς Χωράφιον, ἢ εἰς Ἀμπελῶνα, ἢ εἰς Κῆπον, εἰ συμβῇ βλάπτεσθαι ὑπὸ ἑρπετῶν, ἢ ἄλλων τινῶν. 492
— περὶ τῶν ἐξ Ἰουδαίων προσερχομένων τῇ Πίστει. 668

## Εὐχαὶ, καὶ Κανόνες Παρακλητικοὶ εἰς διαφόρους περιςάσεις.

Εὐχαὶ, ἤτοι Ἐξορκισμοὶ τȣ̃ Μεγάλου Βασιλείου. 142
Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων. Σελ. 221
— ἐπὶ τῶν μιαροφαγησάντων. 222
— ἐπὶ αἰσχρῶν λογισμῶν. 223
— ἐπὶ πόλεμον πορνείας. αὐτόθι.
— πρὸ τοῦ ὑπνῶσαι, καὶ εἰς ἐνυπνιαζόμενον. 224
— ἐπὶ πᾶσαν ἀῤῥωστίαν. 225
— τῶν ἁγίων ἑπτὰ Παίδων, εἰς ἀσθενῆ, καὶ μὴ ὑπνοῦντα. 377
— ἐπὶ ἱστορηθεῖσαν καινὴν Εἰκόνα. 478
— ἐπὶ σκεύους μιανθέντος. 482
— ἐπὶ σίτου μιανθέντος, ἢ ἀλεύρου, ἢ εἴδους τινός. 483
— ἐπὶ Θεμελίου Οἴκου. αὐτόθι.
— ὅταν μέλλῃ τις εἰσελθεῖν εἰς Οἶκον νέον. 484
— ἐπὶ οἰκίας περιεργαζομένης ὑπὸ κακῶν πνευμάτων. 485
— ἐπὶ Σπόρου. 486
— ἐπὶ Ἅλατος. 487
— ἐπὶ τῶν προσφερόντων ἀπαρχὰς ὀπώρας. αὐτόθι.
— ἐπὶ Ἅλωνος. 488
— ἐπὶ τῶν Κολλύβων. αὐτόθι.
— εἰς φύτευμα Ἀμπελῶνος. 489
— ἐπὶ τρυγῆς Ἀμπέλου. 490
— ἐπὶ εὐλόγησιν Οἴνου. 491
— εἰς μετάληψιν Σταφυλῆς τῇ ϛ'. τοῦ Αὐγούστου. αὐτόθι.
— τοῦ ἁγίου Μάρτυρος Τρύφωνος εἰς κήπους, ἀμπελῶνας, καὶ χωράφια. 493
— εἰς τὸ εὐλογῆσαι Ποίμνην. 496
— εἰς τὸ εὐλογῆσαι ἐδέσματα κρεῶν τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα. αὐτόθι.
— εἰς τὸ εὐλογῆσαι τυρὸν καὶ ὠά. 497
— εἰς τὸ κατασκευάσαι πλοῖον. αὐτόθι.
— εἰς τὸ εὐλογῆσαι δίκτυα. 498
— ἐπὶ ὀρύξει φρέατος. αὐτόθι.
— παρακλητικὴ εἰς πᾶσαν Λιτήν. 505



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

Εὐχαὶ ἐπὶ Ἀνομβρίας, Καλλίςυ Πατριάρχου Κωνσταντινυπόλεως. Σελ. 515
— τοῦ αὐτοῦ, ἐπὶ ἀνομβρίας καὶ ἐξαλλαγῆς ἀνέμων. 522
— τοῦ αὐτοῦ, ἐπὶ ἀνομβρίας καὶ προσβολῆς. 523
Εὐχὴ εἰς λοιμικὴν νόσον. 540
— εἰς πληγὴν Θανατικοῦ. 546
Εὐχαὶ λεγόμεναι ἐν καιρῷ λοιμῦ καὶ λιμοῦ. 549
— ἐπὶ ἀπειλὴν σεισμοῦ. 530
Εὐχὴ ἐπὶ ἀπειλὴν βροντῶν καὶ ἀστραπῶν. 551
— ἐπὶ δυσκρασίας ἀνέμων καὶ κλύδωνα θαλάσσης. 552
— Μακαρίου Φιλαδελφείας, ἐπὶ ἐπιδρομὰς Ἐθνῶν. 559
— Ἑτέρα ὁμοία. 561
— τοῦ ἁγιωτάτου Πατριάρχου Καλλίςου ἐπὶ συμφορᾷ Λαοῦ. 564
— τοῦ αὐτοῦ, ὑπὲρ τοῦ Χριστωνύμου Λαοῦ. 569
— εἰς Βασιλέα καὶ εἰς τὸν Στρατὸν αὐτοῦ. 570
— ἐπὶ μέλλοντος πλεῖν. 588
— ἐπὶ τοῖς ἀπὸ ἔχθρας εἰρηνεύουσιν. 600
— ὅταν ςαυροῖ ὁ Ἱερεὺς πάθος νοσήματος μετὰ τῆς ἁγίας Λόγχης. 601
— ὅταν ἀπέρχεται Παιδίον μανθάνειν τὰ Ἱερὰ γράμματα. 607
Κανὼν ἱκετήριος εἰς τὸν φιλάνθρωπον Κύριον, εἰς ἀνομβρίαν. 541
— εἰς φόβον σεισμοῦ. 525
— εἰς τὴν Ἁγίαν Τριάδα καὶ εἰς πάντας τὺς Ἁγίους, εἰς ἀπειλὴν λοιμικῆς ἀσθενείας. 536
— Παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ἐν ἐξομολογήσει ἁμαρτωλοῦ. 226
— ἕτερος εἰς τὴν Θεοτόκον ἐπὶ προσδοκίᾳ πολέμου. 555
— Παρακλητικὸς εἰς τὴν Θεοτόκον ψαλλόμενος ἐν πάσῃ θλίψει καὶ περιστάσει. Σελ. 575

## Τριώδιον.

### Τῇ Κυριακῇ τῶν Βαΐων.

Εὐχὴ εἰς τὸ εὐλογῆσαι τὰ Βαΐα. 600

### Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ.

Ἀκολουθία τοῦ Ἱεροῦ Νιπτῆρος. 352
— Ἑτέρα τοῦ ἁγίου Μύρου. 151
Τοῦ Χρυσοστόμου Λόγος παραινετικὸς τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Πέμπτῃ. 608

## Πεντηκοστάριον.

Τοῦ Χρυσοστόμου Λόγος Κατηχητικὸς τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα. 609
Ἀκολουθία τῆς Γονυκλισίας τῇ Κυριακῇ τῆς ἁγ. Πεντηκοςῆς. 358

## Μηνολόγιον.

### Ἀποςολευάγγελα τῶν Ἑορτῶν.

### Σεπτέμβριος.

Τῇ Η΄. Τὸ Γενέθλιον τῆς Ὑπεραγίας Θεοτόκου. 614
» ΙΔ΄. Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ. 613
» ΚϚ΄. Ἡ Μετάστασις Ἰωάννου τοῦ Θεολόγου. 616

### Ὀκτώβριος.

Τῇ ΚϚ΄. Δημητρίου τοῦ Μεγαλομάρτυρος. 617

### Νοέμβριος.

Τῇ Α΄. Κοσμᾶ καὶ Δαμιανοῦ τῶν Ἀναργύρων. 619
» Η΄. Ἡ Σύναξις τοῦ Ἀρχιστρατήγου Μιχαήλ. 620
» ΙΓ΄. Ἰωάννυ τῦ Χρυσοςόμυ. 622
» ΚΑ΄. Ἡ ἐν τῷ Ναῷ Εἴσοδος τῆς Θεοτόκου. 623
» Λ΄. Ἀνδρέου τοῦ Ἀποστόλου. 624

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημοτική Ιστορική Βιβλιοθήκη Σάμου

## Δεκέμβριος.

Τῇ Ε΄. Σάββα τοῦ Ἡγιασμένου. Σελ. 627
» Ϛ΄. Νικολάȣ Ἐπισκόπȣ Μύρων, τοῦ θαυματουργοῦ. αὐτόθι.
» ΚΔ΄. Ἡ Παραμονὴ τῆς Χριστοῦ Γεννήσεως. αὐτόθι.
» ΚΕ΄. Ἡ κατὰ σάρκα Γέννησις τοῦ Χριστοῦ. 630

## Ἰανουάριος.

Τῇ Α΄. Ἡ Περιτομὴ τοῦ Χριςοῦ· καὶ Βασιλείου τοῦ Μεγάλου. 632
» Τὰ ἅγια Θεοφάνεια τοῦ Χριστοῦ. 634
Ἀκολουθία τῶν ἁγίων Θεοφανείων. 341
» ΙΖ΄. Ἀντωνίȣ τοῦ Μεγάλου. 635
» Λ΄. Τῶν τριῶν Ἱεραρχῶν. 636

## Φεβρουάριος.

Τῇ Β΄. Ἡ Ὑπαπαντὴ τοῦ Χριστοῦ. 638

## Μάρτιος.

Τῇ Θ΄. Τῶν ἁγίων Μ΄. Μαρτύρων. 640
» ΚΕ΄. Ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου. 642

## Ἀπρίλιος.

Τῇ ΚΓ΄. Γεωργίου Μεγαλομάρτυρος, τοῦ Τροπαιοφόρου. 644

## Μάϊος.

Τῇ Η΄. Ἰωάννου τοῦ Θεολόγου. 646
» ΚΑ΄. Τῶν ἁγίων Μεγάλων Βασιλέων Κωνσταντίνου καὶ Ἑλένης. αὐτόθι.

## Ἰούνιος.

Τῇ ΚΔ΄. Τὸ Γενέθλιον τȣ̃ Προδρόμου. Σελ. 648
» ΚΘ΄. Τῶν Κορυφαίων Ἀποστόλων Πέτρου καὶ Παύλου. 651

## Ἰούλιος.

Τῇ Κ΄. Τοῦ ἁγίου Προφήτου Ἠλιοὺ τοῦ Θεσβίτου. 653

## Αὔγουστος.

Τῇ Ϛ΄. Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ. 655
» ΙΕ΄. Ἡ Κοίμησις τῆς Θεοτόκου. 657
» ΚΘ΄. Ἡ Ἀποτομὴ τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου. αὐτόθι.

## Ἀποστολοευάγγελα εἰς διαφόρους Ἁγίους, καὶ περιστάσεις.

Εἰς Γυναῖκας Μάρτυρας. 660
— Ὁσίας Γυναῖκας. 662
— Γυναῖκας Ὁσιομάρτυρας. 663
— Ἀνομβρίαν. 508
— ἐπέλευσιν βαρβάρων καὶ ἐπιδρομὰς Ἐθνῶν. 553
— φόβον Σεισμοῦ. 535
— Ἐμπρησμόν. 572
— πᾶσαν Αἴτησιν. 573
Τὰ Ἕνδεκα Ἑωθινὰ Εὐαγγέλια. 664

## Παράρτημα.

Γράμμα Συστατικόν. 673
— Ἐνταλτήριον. αὐτόθι.
Ἑρμηνεία τῶν Ὀφφικίων τῆς Ἁγίας καὶ Μεγάλης Ἐκκλησίας. 682

ΤΕΛΟΣ ΤΟΥ ΠΙΝΑΚΟΣ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Ιστορική Βιβλιοθήκη Σάμου